*A. B.*

Commentatio de ordine quo Plutarchus vitas scripserit. Retractavit atque iterum edidit Alb. Lion. Gott. 1837. 8
31 S.

Plutarchi Philopoemen, Flamininus, Pyrrhus. Textum e codd. recogn. perpetua annotat. instr. etc. J. C. F. Baehr. Lips. 1826. 8. 1 Th. ..

Plutarchi Themistocles. Ex cod. Paris. rec. et integra lect. varietate et brevi annotatione crit. instr. C. Sintenis. Lips. 1829. 8 maj. 1 Th. 6 Gr.
Rec. Jen. Lit. Ztg. Novbr 1831. No. 218. S. 297.
S. Leipz. Lit. Ztg. Septbr 1833. No 213. S. 1713.

Plutarchi vita Themistoclis. Rec. et commentariis suis illustravit Car. Sintenis. Lips. 1832. 8. 1 Th. 6 Gr.
Rec. Jen. Lit. Ztg. Februar 1834. No. 37. S. 292.

Plutarchi Pericles. Rec. et commentariis suis illustr. C. Sintenis. Lips. 1835. 8. 330 S.
Rec. Gött. gel. Anz. April 1836. No 64. S. 625.
Hall. Lit. Ztg. Juli 1836. No 131. S. 425.

# ΠΛΟΥΤΑΡΧΟΣ

# PLVTARCHI CHAERONENSIS

## QVAE SVPERSVNT OMNIA.

CVM ADNOTATIONIBVS VARIORVM
ADJECTAQVE LECTIONIS DIVERSITATE.

OPERA

JOANNIS GEORGII HVTTEN
PHILOS. MAG. ET SCHOL. ANATOL. TVBING. RECTORIS.




*VOLVMEN PRIMVM*

TVBINGAE
IMPENSIS JOANNIS GEORGII COTTAE
CIϽIϽCCXCI

BIBLIOTEKA ELBL...

3993

BIBLIOTEKA UNIWERSYTECKA W TORUNIU

92.399

II

# *NOMINA EORVM, QVI SVBSCRIBENDO,*
VT VOCANT,
*HVIC EDITIONI FAVERVNT.*

---

(Quae in posterum nobismet innotescent Plutarchi amicorum nomina, tomis continebuntur sequentibus.)

---

Aravii Helvetorum.

*Wanger*, Bibliopega. 6 Exempl.

Argentorati.

*J. M. Emmerich*, Pastor.

Baruthi.

*Lubeccii Vidua.* 2 Exempl.

In Cœnobio, quod Bebenhusae Suevorum est.

Studiosi: *Bilfinger. Fehleisen. Georgii. Hagmaier. Hochstetter. Paulus. Scheid. Schelling. Zeller.*

Beilsteini in Wirtembergia.

*Krais*, municipio Beilsteinensi ab Actis.

Berolini.

*Aug. Mylius*, Bibliopola. — *Nicolai*, Bibliopola. 10 Expl.

In Cœnobio Blavifontano.

*Bräunlin*, Professor. — Studiosi: *Becher. Bühler. Denzel. Faber. Flatt. Gratianus. Hartmann. Kornbeck. Kuhn. Reuchlin. Rößler.*

Bonnae.

*Eulogius Schneider*, Professor.

Buttenhusae, in Wirtembergia.

M. *Bockshammer*, Pastor.

Buxovillae.

*Seybold*, Professor Gymnasii.

Calvae, in Wirtembergia.

*Bibliotheca Scholae.*

Cassellis Cattorum.

*Richter*, Rector Lycei. — *Hosbach*, Praeceptor secundae Classis. — *Robert*, Praeceptor quartae Classis.

Coloniae Agrippinae.

*Bibliopolium Metternichianum.*

In Cœnobio, quod Denkendorfii est.

*Dreher*, Professor. — *Ehmann*, Professor.

Studiosi: *Köstlin. Arleder Hangleitner. Binder. Hölder. Gräter. Zenneck. Muff. Oetinger. Maier. Herdegen Klemm. Immendörfer. Dörner. Seiz. Hefelin. Weiss. Bardili. Bellon.*

Dresdae.

*Bibliopolium Richteri.* 6 Exempl.

Dusseldorfii.

*Dünzer*, Bibliopola.

Ebingae, in Wirtembergia.

*Rud. Andler.*

Erfurti.

*Keyser*, Bibliopola.

Gochsheimae, in Wirtembergia.

M. *Bührer*, Diaconus — M. *Beck*, Vicarius.

Goeppingae Suevorum.

M. *Gess*, Diaconus. — *Knörr*, munic. Goepping. ab Actis.

Goettingae.

*Dieterich*, Bibliopola. 3.

Goslariae.

*Witting*, Pastor & Senior. 3.

Grimmae Saxonum.

*Füllkruse*, Tributorum Circuli Receptor. 2.

Grosbottwariae.

M. *Stang*, Pastor. — M. *Andler*, Praeceptor.

Hafniae Danorum.

*Faber* & *Nitschke*, Bibliopolae. — *Proft*, Bibliopola. 2.

Halae Saxonum.

*Hemmerde* & *Schwetchke*, Bibliopolae. 2.

*Bibliopolium Orphanotrophei.* 2.

Hamburgi.

*Bohn*, Bibliopola. 6. *Hoffmann*, Bibliopola. 3.

Hannoverae.

*Ritscher*, Bibliopola. 6.

Heidenheimii Suevorum.

M. *Brastberger*, Diaconus. — M. *Wurster*, Praeceptor.

Heitersheimii.

*de Ittner*, Cancellarius aulicus.

Helmstadii.

*Fleckeisen*, Bibliopola.

Jenae.

*Paulus*, Professor.

Irrsee

Irrsee Suevorum.

*Vlricus Peutinger*, Professor.

Kilonii.

*C. F. Cramer*, D. & Professor LL. Graecae & Orient.
*E. Danielssen*, Professor & Rector Scholae Kilon.
*J. E. R. Eckermann*, D. & Prof. Theologiae.
*F. C. Jensen*, D. & Prof. Juris.
*J. C. König*, Archidiaconus.
*N. B. Lange*, Diac. ad aed. St. Nicolai.
*J. H. Meyer*, Prof. Pastor Primar. & Scholarcha.
*H. H. Meyer*, Subrector Scholae municipalis.
*F. A. Schröder*, Conrector.
*Bibliotheca Scholae.*

Kirchheimii infra Teccam.

M. *Schwarz*, Praeceptor. 2 Exempl.

Kusterdingae, prope Tubingam.

M *Binder*, Vicarius.

Lipsiae.

*Barth*, Bibliopola. 2. — *Crusius*, Bibliopola.
*Fleischer*, Bibliop. 2. — *Bibliopolium Graeffianum.*
*Kummer*, Bibliop. 2. — *Martini*, Rector.

Lugduni Batavorum.

*S. & J. Luchtmanns*, Bibliopolae.

Lustnaviae, prope Tubingam.

D. *Storr*, Consiliarius Aulicus.

Mannhemii.

*Kämmerer*, Clericus secularis. 2 Exempl.

Mulifontii.

Studiosi: *Eisenlohr.* — *Mannhard.*

Neresheimii.

*Bibliotheca Abbatiae Imperialis.*

Pfullingae, in Wirtembergia.

M. *Schmid*, Praeceptor.

Pliederhusae, in Wirtembergia.

M. *Pichler*, Pastor.

Reutlingae.

*Fleischhauer*, Cand. Theologiae.

Salisburgi.

*Bibliopolium Mayerianum.* 2.

Schmidae, in Wirtembergia.

M. *Baur*, Pastor.

Schorndorfii.

M. *Reinhard.* — M. *Weckerlin*, Praeceptor.

Spirae.

*Hauth*, Bibliopola.

*J. C. A. Köhler*, Medic. D. & Phyf. ord. Elect. Mog. a Conf. aul.

Stuttgardiae.

*Bibliotheca ducalis.* — M. *Dann*, Repetens.
*Drück*, Prof. & Bibliothecarius. — *Hopf*, Profeffor.

Tennebronnae, in Wirtembergia.

M. *Goll*, Paftor.

Tubingae.

Cand. *Andreae.* M. *Authenrieth.* Cand. *Beck.* *J. C. D. Beck.* Decan. *Bengel.* Cand. *Bilfinger.* Stud. Jur. *Bolley.* *E. G. Boffert.* M. *Breyer.* Cand. *Breyer.* M. *Cammerer*, Tufsling. Cand. *Chriftlieb.* M. *Duttenhofer.* M. *Faber*, Teuffring. M. *Fink.* M. *Fifcher*, Nürting. M. *Fifcher*, Heimsheim. *Flatt*, Prof. Cand. *Flatt.* M. *Gaab*, Repetens. M. *Harpprecht*, Tubing. M. *Hegel.* Cand. *Hochftetter.* M. *Hölderlin.* *H. J. John*, Herim. M. *Kapf.* Cand. *Kapf.* M. *Kind.* Stud. Theol. *Kleinmann.* M. *Lang* α. M. *Landerer.* M. *Leutwein.* M. *Magenau.* M. *Maier* α. M. *Mörz.* 2 Exempl. Cand. *Müller.* Cand. *Naft.* Cand. *Neubert.* M. *Neuffer* β. M. *Neuffer* γ. Cand. *Pfifter.* M. *Renz.* M. *Rothacker.* Stud. Jur. *Schröter.* M. *Vifcher* β. Stud. Theol. *Weißhaar.* M. *Wieland.* Cand. *Zilling.*

Ulmae.

Stud. *J. M. Geuß.* — *Wagner.* — *J. A. Cellarius.*

Trajecti ad Rhenum.

*Juft. Vifch*, Bibliopola.

Viennae.

*Degen*, Bibliopola. 2. — *Wappler*, Bibliopola. 6.

Waiblingae.

M. *Hauff*, Diaconus. — M. *Bührer*, Praeceptor.

Weimariae.

*Vidua Hofmanni*, Bibliopolae.

Weingarten.

*Reiner*, Profeffor.

Wernigerode.

*Bibliotheca Comit. Stollbergiana.* — *Benzler*, Secretarius. — *Blum*, Secret. — *Gier*, Collaborator.

Wildbergae.

M. *Duttenhofer*, Praeceptor.

Windsheimae.

*J. G. Nehr*, Rector Gymnafii.

# CVLTORI LECTORIQVE
## PLVTARCHI
### S. P. D.
### JOANNES GEORGIVS HVTTEN.

Plutarchi operum, quotquot ad noſtram ætatem pervenerunt, editionem, cujus curandae concinnandaeque provincia, aliqua meae, qua ad literas adiuvandas, literarumque ſtudioſam iuventutem excitandam trahi me rapique facile profiteor, propenſionis opinione, ad me fuit delata, non eſt, cur copioſiori commendatione aut excuſatione indigere, arbitrer. Quis neſciat Plutarchum? quis eum non digniſſimum cenſeat, quem omnes, ſanioris & ſolidioris doctrinae cupidi quam diligentiſſime legant relegantque, diurna nocturnaque manu verſandum? Quis eius, quantum fieri poteſt, divulgandi curam parum aeſtimet, levemque iudicet? Omnem potius gratiam apud omnes initurum eſſe bibliopolam, qui ſeſe ad ſumtus, in edendo tantae molis opere neceſſarios, ſuſcipiendos ſuſtinendosque promtiſſimum exhibet, neglectaque lucri ratione, literas graecas ſuo commercio decorare geſtit, perſuaſiſſimum habeo; noſtraeque aetati hac de re praecipue gratulor, elapſa, ut videtur, iſta periodo, qua plures, de iuventute mereri ſe poſſe ſperantes, ſomniare haud dubitaverunt, verae eruditionis ſtudi-

um facile in usurpandis veterum auctorum versionibus, quas habemus, aut quas cudi voluerunt novas, posse acquiescere, molestiasque & difficultates, quibuscum in addiscendis linguis Graeca Latinave, & intelligendis ipsis auctoribus sit pugnandum, evitari. Non minus confido, neminem non consilio viri esse fauturum, qui, graecae linguae studium adiuturus, iustae laudandaeque bibliopolae voluntati non defuit, & novae scriptoris eximii editioni omnem, quanta penes ipsum est, operam navare non recusat. Quid ergo est, quod prolixius commendem, quod defendam?

Nec nisi pauca de ipsa totius nostri instituti ratione praefanda esse existimo, cum iam, hoc primo tomo in lucem edito, penes quemvis sit lectorem, suis oculis videre, suaque mente iudicare. Quae forsan ut dicantur, necesse est, haec sunt.

Typi electi sunt maiores illis, quos dedit promisitque primum specimen. Nemo sane de hac mutatione queretur, quae non solum editionem reddidit venustiorem, sed & lectoris oculos minus laedit. In textu recudendo prorsus sum secutus *Reiskium*, Virum cum de aliis literarum partibus, tum maxime de Plutarcho nostro optime meritum, cum eum principibus ex editionibus castigatum, virorumque doctorum & suis annotationibus instructum reipublicae literariae dederit. Nihil mutare sum ausus, nisi quod ipsi Reiskio, uti ex annotationibus, cuique volumini in fine adiunctis, apparet, mutari placuit, vel quod ex manifesta menda typographica restituendum fuit, aut corrigendum. De eo quam maxime fui sollicitus, ne textus novis mendis, lectorem turbantibus, deformetur. Omnis tamen

gene-

generis mendas esse prorsus evitatas, quis contendere audeat? Etiam in hoc negotio pro me valere spero, quod dici solet: Humani nihil a me alienum. De omittenda latina versione, qua Reiske suam editionem illustrandam censuit, nolui dissuadere. Si ulla versio hunc in finem adiungenda est, ut lectoris intelligentiam adiuvet; omnino ad textum ipsum accommodata esse debet. At quot locis textus iam receptus, Reiskii opera emendatus, ab eo textu discrepat, quem Xylander, Cruserius, Amiotus, Lapus aliique transtulerunt? Adeoque vix mihi persuadeo, versionem quamcunque earum, quas habemus, lectori verè utilem fuisse, nisi prorsus mutatam, & ad textum ipsum accommodatam. Hoc tamen nihil obstante, simulatque de lectorum voluntate certior fuero, lubentissime spondeo, me novae versionis, sive latine, sive germanice conficiendae, curam esse habiturum, eamque Plutarcho absoluto, eius lectioni verè consulentem, iri subiunctum. Nec est, quod dubitem, quin idem, cuius impensis nunc Plutarchus vulgatur, hac ipsa in re lectorum studiis promtissime satisfaciat. Alia ratio, cur versio, meo saltim iudicio, abesse posse videretur, omne nostrum consilium, ut spero, optime defendet. Locupletissimo nimirum, omnique, quae unquam exigi poterit, opera elaborato indice Plutarchi opera illustrare, apud animum statui. Quidquid ergo ad interpretandum intelligendumque hunc, quem cum Reiskio damus, Plutarchum valet, aut necessarium & optandum videtur, facillime & certissime ex hoc indice suo tempore poterit desumi petique. In annotanda lectionis diversitate, nec non observationibus Variorum colligendis & excerpendis brevitati potissimnm

ftudui, ne praeter neceffitatem numerus voluminum augeatur, vel ipfa volumina fingula evadant fpiffiora. Meam tamen diligentiam nemo facile in hac re defiderabit, qui hunc tomum cum Reiskiano, & praefertim cum editione Francofurtana confert, quam, ut mihi videtur, Reiske minus, quam par erat, ufurpavit. Quod *Schirachi* verfionem germanicam, quae poft editionem Reiskianam apparuit, haud neglexerim, neminem non effe probaturum, fpero. De meis qualibuscunque coniecturis, hic ibi infperfis, iudicet velim ipfe lector. Satis habebo, me non, eo iudice, ex palaeftra critica prorfus eiici, quam non nifi caute ingredi cupio. Praeter indicem, quem fpopondi, eft mihi in animo, hiftoricam de Plutarcho eiusque operibus, fingulis & univerfis, notitiam commentationibus fingularibus fubinde adiuvare, nec non de viris, qui in Plutarcho edendo, emendando, vertendo, interpretando, vel aliis quibuscunque modis illuftrando funt verfati, & quorum de hoc fcriptore merita gratis animis venerari decet, non obiter leviterque, fed accurate & copiofe differere.

Unum eft, quod vereor, ne plures adducat, ut curae noftrae, in Plutarcho ponendae, minus faveant. Satis fcilicet conftat, *Wyttenbachium*, Bernatem, apud Amftelodamenfes bonarum literarum Profefforem, Virum omni exiftimatione nominandum, novam Plutarchi editionem annis abhinc amplius viginti, edito fingulari eius libello de fera Numinis vindicta, fuiffe, pollicitum, eundemque alio fpecimine, bibliothecae criticae V, III. P. I. Amftelod. 1787. inferto, hanc pollicitationem denuo confirmaffe, ac defcriptione ulteriori editionis, ab ipfo (ut eius verbis utar:) exhi-

exhibendae, nisi omnibus suis numeris absolutae, tamen emendationis & interpretationis commendatione superioribus editionibus multum anteponendae, plenam sui consilii rationem dedisse. In hac ergo spe, quam orbi litterario capere & fovere licet, quid valeat Tubingensis editio? — — Sane non mirum, lectorem fidei, a Wyttenbachio datae, in has illasve de nostro merito conatuque dubitationes incidere. At, si iam Reiske in sua ad Plutarchum praefatione de Wyttenbachiano opere ita sentit: „Quod consilium „ipsi cum gratulor, illudque specimen exquisita re„fertam aio literatura, tum rursus vereor, ne illa „ipsa ubertas cœpto sit obstaculo futura. Neque enim „editori ipsi facile sit totum Plutarchum hac veluti „rerum bonarum prodigentia obruere, neque lecto„rum patientia eum ferat. Et quantam, quam enor„mem ad molem excessurus sit Plutarchus ita pastus? „Qui foruli eum capient?" — Quid nos post tot annorum spatium, novo isto, iam citato, specimine inspecto, sentire licet? Equidem, si quis unquam, maxime in optatis habeo, ut videam, legam, cognoscam Plutarchum, a Wyttenbachio, sit venia verbo, regeneratum. Nec Plutarcho solum, sed cuilibet bonae notae auctori, ex cuius lectione & usu ad veram eruditionem concipiendam augendamque multum affertur momenti, ut talis & tanta editoris assiduitas, diligentia, probitas & solertia contingat, omnes sane mecum ex animo cupient. Quicunque tamen rem ipsam propius perpenderit, Wyttenbachiique specimina totamque consilii rationem penitius investigaverit, laetabitur quidem de eo, quod eius opera & doctrina graecis literis & Plutarcho tribuetur, neutiquam tamen

men nostrum laborem supervacaneum inutilemve habebit, praesertim nobis pariter fidem dantibus, nos esse curaturos, ut, suo tempore, quaecunque speranda Wyttenbachii editio praecipua contineat, modo nostrae editioni eiusque fini & formae congruo suppleantur.

Haud pauca fortassis a lectore & iudice huius primi tomi posse desiderari, facile credam. At, non defensurus, quae mea culpa in istum imperfecta, vitiosa, manca irrepsisse videbuntur, rei ipsius meaeque vitae rationem pro me certaturam esse, & aliqua venia haud indignam, spero. Eo demum tempore, quo iam primae paginae prelo erant subiectae, a Dn. Mag. *Kapsio*, primo de Plutarchi operibus edendis consilii auctore, curatae, & impressio haud interrupta sequi debuit, ad me cura operis pervenit. Quare facillima est cuilibet coniectura, multum difficultatis mihi, a *critica* Plutarchi lectione per omnem vitam alienissimo, fere per totum hocce tempus, quod huic auctori fuit dandum, obtigisse. Addas, Benevole Lector, si aequum de me meoque labore te praestare cupis iudicem, muneris publici, quo fungor, onera — non onera, quatenus ex studio formandae tenerae iuventutis, & excolendorum ingeniorum mira & singularis in me quidem semper redundavit, redundabitque voluptas, sed quatenus mihi, omnibus muneris partibus satisfacturo, vix aliqua diei particula frui licet, qua privatis studiis aut ulli alii negotio, quo animum reficiam, vacare possim. Persuasissimum tamen tibi habeas velim, me ipso neminem fore mei meique laboris acriorem iudicem, me, nulla in re mihi indulgen-

tem,

tem, sollicite omnibus prospecturum esse, quae emendatione egere videntur, non minus omnibus subsidiis, quae in meas manus venient, & de quibus comparandis magis magisque ero sollicitus, quam aliorum iudiciis consiliisque exactissime usurum, omnem denique operam adhibiturum, ut Tubingensis editio studiosis Plutarchi lectoribus cultoribusque probetur, optatamque praestet utilitatem & commoditatem.

Vale, Lector Benevole! Fave Plutarcho nostro, fave mihi. Dabam Tubingae Calendis Septemb. MDCCLXXXXI.

---

*Expli-*

## *Explicatio quorundam ſignorum, in notis obviorum.*

Bodl. 1. 2. 3. ſive B. 1. 2. 3. denotat Bodleianos iſtos codices, quos Bryanus uſurpavit.

Vulcob. Vulc. ſive ſimpliciter V. deſignat Jacobum Vulcobium vel Du Vulcob, penes quem, iudice Reiskio, fuit Aldina Plutarchi, cuius marginibus ſive ille ipſe, ſive alius, lectiones varias undecunque corraſas, illeverat. Male notatur a Reiskio.

Junt. Ald. Fl. ſive Flor. Frft. — intellige, ut facile appa- ret, Juntinam, Aldinam, Florentinam, Francofurtanam.

R. denotat Reiskium, uti Br. Bryanum, &

Anon. lectiones variantes ex codicibus anonymis excerptas, & in calce editionis Francofurtanae congeſtas;

SG. denique codicem, in coenobio Sancti Germani in pratis aſſervatum. De omnibus & ſingulis his aliisque editionibus & codicibus prolixius ſuo tempore diſſeretur.

PLV-

# PLVTARCHI
# VITARVM PARALLELARVM
## *PARS PRIMA,*

CONTINENS

THESEVM, ROMVLVM, LYCVRGVM, NVMAM, SOLONEM, POPLICOLAM, THEMISTOCLEM, CAMILLVM, PERICLEM, FABIVM MAXIMVM.

# ΠΛΟΥΤΑΡΧΟΥ

# ΠΑΡΑΛΛΗΛΑ,

## Η ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

---

## ΘΗΣΕΥΣ.

Ὥσπερ ἐν ταῖς γεωγραφίαις, ὦ Σόσσιε Σενεκίων, οἱ ἱςορικοὶ τὰ διαφεύγοντα τὴν γνῶσιν [1] αὐτῶν τοῖς ἐχάτοις μέρεσι τῶν πινάκων πιεζȣ̃ντες, ἐνίοις [2] παραγράφȣσιν, ὅτι τὰ δ᾽ ἐπέκεινα, θῖνες ἄνυδροι καὶ θηριώδεις, ἢ πηλὸς ἀϊδνὴς, ἢ Σκυθικὸν κρύος [3] ἢ πέλαγος πεπηγός· ȣ̔́τως ἐμοὶ περὶ τὴν τῶν βίων τῶν παραλλήλων συγγραφὴν [4], τὸν ἐφικτὸν εἰκότι λόγῳ καὶ βάσιμον ἱςορίᾳ πραγμάτων ἐχομένῃ χρόνον διελθόντι περὶ τῶν ἀνωτέρω καλῶς εἶχεν εἰπεῖν. τὰ δ᾽ ἐπέκεινα, τερατώδη καὶ τραγικὰ, ποιηταὶ καὶ μυθογράφοι νέμονται, καὶ ȣ̓κέτ᾽ ἔχει πίςιν ȣ̓δὲ σαφήνειαν. ἐπεὶ δὲ τὸν περὶ Λυκȣ́ργȣ τȣ̃ νομοθέτȣ, καὶ Νομᾶ τȣ̃ βασιλέως λόγον ἐκδόντες [5], ἐδοκȣ̃μεν ȣ̓κ ἂν ἀλόγως τῷ Ῥωμύλῳ προσαναβῆναι,

1 Bodl. 1. 2. τήν τε ὄψιν καὶ γνῶσιν. Reiske conj. τὴν γνῶσιν αὐτῶν ἐν τοῖς ε.

2 Vulcob. quidam teste Stephano Codd. αἰτίως.

3 Iunt. Ald. & Bodl. 1. 2. & lat. Interpretes ὄρος.

4 Vulcob. ἀναγραφήν.

5 H. Stephanus ob apodosin legendum censet ἐξέδομεν, si part. ἐπεὶ sensu, quo passim solet, accipiatur; vel ἐπεὶ per ἀλλὰ (cf. Viger. Idiot. p. 389. ed. Zeun.) explicandum. Reiske post ἐκδόντες abesse putat εὐδοκιμήσαμεν.

βῆναι, πλησίον τῶν χρόνων αὐτῦ τῇ ἱςορίᾳ γεγονότες. σκοπῦντι δέ μοι,

— τοιῷδε [1] φωτὶ (κατ' Αἰσχύλον) τίς ξυμβήσεται;
Τίν' ἀντιτάξω τῷδε; τίς φερέγγυος;

ἐφαίνετο τὸν τῶν καλῶν καὶ ἀοιδίμων οἰκιςὴν Ἀθηνῶν ἀντιςῆσαι καὶ παραβαλεῖν τῷ πατρὶ τῆς ἀνικήτυ καὶ μεγαλοδόξυ Ῥώμης. εἴη μὲν ὖν ἡμῖν ἐκκαθαιρόμενον λόγῳ τὸ μυθῶδες ὑπακῦσαι καὶ λαβεῖν ἱςορίας ὄψιν· ὅπυ δ' ἂν αὐθαδῶς τῦ πιθανῦ περιφρονῇ, καὶ μὴ δέχηται τὴν πρὸς τὸ εἰκὸς μίξιν, εὐγνωμόνων ἀκροατῶν δεησόμεθα, καὶ πρᾴως τὴν ἀρχαιολογίαν προσδεχομένων.

II. Ἐδόκει δ' ὖν ὁ Θησεὺς τῷ Ῥωμύλῳ κατὰ πολλὰς ἐναρμόττειν ὁμοιότητας· ἄμφω μὲν γὰρ ἀνεγγύω καὶ σκοτίω γενόμενοι, δόξαν ἔχον ἐκ Θεῶν γεγονέναι·

Ἄμφω [2] δ' αἰχμητὰ, (τό γε δὴ καὶ ἴδμεν ἅπαντες) καὶ μεταξὺ [3] τῦ δυνατῦ τὸ συνετὸν ἔχοντες. πόλεων δὲ τῶν ἐπιφανεςάτων, ὁ μὲν ἔκτισε τὴν Ῥώμην· ὁ δὲ συνῴκισε τὰς Ἀθήνας. ἁρπαγὴ δὲ γυναικῶν ἑκατέρῳ πρόσεςιν. ὐδέτερος δὲ δυςυχίαν περὶ τὰ οἰκεῖα καὶ νέμεσιν ἐγγενῆ διέφυγεν· ἀλλὰ καὶ τελευτῶντες ἀμφότεροι λέγονται τοῖς ἑαυτῶν προσκρῦσαι πολίταις, εἴ τι τῶν ἥκιςα [4] τραγικῶς εἰρῆσθαι δοκύντων ὄφελός ἐςι πρὸς ἀλήθειαν.

III. Θησέως τὸ μὲν πατρῷον γένος εἰς Ἐρεχθέα καὶ τὺς πρώτυς αὐτόχθονας ἀνήκει· τῷ δὲ μητρῴῳ Πελοπίδης

1 al. τοσῷδε; & in Aeschylo pro ξυμβήσεται est ξυςήσεται. Bodl. 1. 2. ante τίν' ἀντ. & ante τίς φερ. add. καὶ - καί. Sunt enim tragoediæ, cui titulus, ἑπτὰ ἐπὶ Θήβαις, versus 397. 398. & 437.

2 Hom. η, 238.

3 V. μετά. R. conj. καὶ μέγα ξὺν τῷ δυνατῷ καὶ τὸ ξυνετὸν ἔχοντες.

4 R. quærit: nonne scripserit Plut. εἴ τι τῶν μάλιςα τραγικῶς εἰρῆσθαι δοκύντων ὄφελός ἐςι πρὸς ἀλήθειαν ἐνδέχεσθαι?

δης ἦν. Πέλοψ γὰρ οὐ χρημάτων πλήθει μᾶλλον, ἢ παίδων, μέγιστον ἴσχυσε τῶν ἐν Πελοποννήσῳ βασιλέων, πολλὰς μὲν ἐκδόμενος θυγατέρας τοῖς ἀρίστοις, πολλὰς δὲ ταῖς πολιτείαις υἱοὺς [1] ἐγκατασπείρας ἄρχοντας· ὧν εἷς γενόμενος Πιτθεὺς ὁ Θησέως πάππος, πόλιν μὲν οὐ μεγάλην τὴν Τροιζηνίων ᾤκισε, δόξαν δὲ μάλιστα πάντων, ὡς ἀνὴρ λόγιος ἐν τοῖς τότε καὶ σοφώτατος, ἔσχεν. ἦν δὲ τῆς σοφίας ἐκείνης τοιαύτη τις, ὡς ἔοικεν, ἰδέα καὶ δύναμις, οἵᾳ χρησάμενος Ἡσίοδος εὐδοκίμει μάλιστα περὶ τὰς ἐν τοῖς Ἔργοις γνωμολογίας. καὶ μίαν γε τούτων ἐκείνην λέγουσι Πιτθέως εἶναι,

Μισθὸς [2] δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.

τοῦτο μὲν οὖν καὶ Ἀριστοτέλης ὁ φιλόσοφος εἴρηκεν. ὁ δ' Εὐριπίδης, τὸν Ἱππόλυτον ἁγνοῦ Πιτθέως παίδευμα [3] προσειπὼν, ἐμφαίνει τὴν περὶ τὸν Πιτθέα δόξαν. Αἰγεῖ δὲ παίδων δεομένῳ τὴν Πυθίαν ἀνελεῖν λέγουσι τὸν θρυλλούμενον χρησμὸν [4], διακελευομένην μηδεμιᾷ γυναικὶ συγγενέσθαι, πρὶν ἐλθεῖν εἰς Ἀθήνας· οὐ πάνυ δὲ τοῦτο φράζειν εὐδήλως δοκοῦσαν· ὅθεν εἰς Τροιζῆνα παρελθὼν ἀνεκοινοῦτο Πιτθεῖ τὴν τοῦ θεοῦ φωνὴν οὕτως ἔχουσαν·

Ἀσκοῦ τὸν προὔχοντα πόδα [5], μέγα φέρτατε λαῶν,
Μὴ λύσῃς, πρὶν δῆμον Ἀθηνῶν εἰσαφικέσθαι.



1 B. 1. 2. τοῖς πολίταις. V. ταῖς πόλεσιν. υἱοὺς deest in antiq. editt. & omnibus B.

2 Hes. ἔργ. 370.

3 Br. mavult παιδεύματα, ut est in Eurip. Hippol. v. 11.

4 B. 1. 2. addunt ἐκεῖνον; & Br. post διακελευομένην inserendam putat particulam μέν.

5 Varie hoc oraculum apud veteres expressum invenitur. Schol. ad Eurip. Medeam v. 679. priorem v. eodem modo laudat, posteriorem autem:

μὴ λῦσαι, πρὶν γουνὸν Ἀθηναίων ἀφικέσθαι.

Apollod. III. 15. 6.

Ἀσκοῦ τὸν προὔχοντα ποδάονα, φέρτατε λαῶν,
Μὴ λύσῃς, πρὶν ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι.

Δῆλον ὂν ὅτι [1] νοήσας ὁ Πιτθεὺς ἔπεισεν αὐτὸν, ἢ [2] διηπάτησε τῇ Αἴθρᾳ συγγενέσθαι. συνελθὼν [3] δὲ καὶ γνοὺς ἐκεῖνος, ὅτι τῇ Πιτθέως θυγατρὶ συγγέγονε, καὶ κύειν [4] αὐτὴν ὑπονοήσας, ἀπέλιπε ξίφος καὶ πέδιλα, κρύψας ὑπὸ πέτραν μεγάλην, ἐντὸς ἔχουσαν κοιλότητα συμμέτρως ἐμπεριλαμβάνουσαν τὰ κείμενα· φράσας δὲ πρὸς μόνην ἐκείνην, καὶ διακελευσάμενος, ἂν υἱὸς ἐξ αὐτοῦ γένηται [5], καὶ λαβὼν ἀνδρὸς ἡλικίαν, δυνατὸς ᾖ τὴν πέτραν ἀναστῆσαι καὶ ὑφελεῖν τὰ καταλειφθέντα, πέμπειν πρὸς αὐτὸν ἔχοντα ταῦτα, μηδενὸς εἰδότος, ἀλλ᾽ ὡς ἔνεσι μάλιστα λανθάνοντα πάντας, (ἰσχυρῶς γὰρ ἐδεδοίκει τοὺς Παλλαντίδας ἐπιβουλεύοντας αὐτῷ, καὶ διὰ τὴν ἀπαιδίαν καταφρονοῦντας· ἦσαν δὲ πεντήκοντα παῖδες ἐκ Πάλλαντος γεγονότες) ἀπῄει.

IV. Τεκούσης δὲ τῆς Αἴθρας υἱὸν, οἱ μὲν εὐθὺς ὀνομασθῆναι Θησέα λέγουσι διὰ τὴν τῶν γνωρισμάτων θέσιν· οἱ δὲ ὕστερον Ἀθήνησι [6], παῖδα θεμένου τοῦ Αἰγέως αὐτόν· τρεφόμενον δὲ ὑπὸ τοῦ Πιτθέως, ἐπιστάτην ἔχειν [7] καὶ παιδαγωγὸν, ὄνομα Κοννίδαν, ᾧ μέχρι νῦν Ἀθηναῖοι μιᾷ πρότερον ἡμέρᾳ τῶν Θησείων κριὸν ἐναγίζουσι· μεμνημένοι καὶ τιμῶν-

& ſic quoque Tzetzes ad Lycophr. p. 86. Muretus Var. Lect. l. III, 14.

Τὸν προὔχοντ᾽ ἀσκοῦ ποδεῶν᾽ ὦ φίλτατε λαῶν
Μὴ λῦσαι, πρὶν γουνὸν &c.

1 V. ἂ δηλονότι, quod etiam Philelphus & Amiotus amplectuntur. Alii ἄδηλον ὂν, ὅ τι. B. 1. 2. ἄδηλον — συγγενέσθαι plane omittunt.

2 R. mavult: ἢ νὴ Δί᾽ ἠπάτησε.

3 B. 1. 2. συνελθὼν δὲ ἐκεῖνος ἐκεῖ τῇ π.

4 B. 1. 2. γνοὺς δὲ καὶ κύειν.

5 B. 1. 2. ἐξ αὐτῆς, quæ lectio confirmatur a Schol. ad Lycophr. v. 494. τῇ δὲ Αἴθρᾳ ἐντέλλεται, ἐὰν υἱὸς ἐξ αὐτῆς γεννηθῇ cet. unde hoc loco etiam γεννηθῇ legendum ſuſpicatur Br.

6 V. Ἀθήνησιν ὕστερον ταῦτα, παῖδα omittit Mſcr. Par. Bibl. Reg. & R. delendum putat, quia θεμένου per ſe *adoptatum* ſignificat, ſine adjectione vocum παῖς aut υἱὸς, ut infra pag. 12. θετὸς — cet.

7 B. 1, 2. addunt λέγουσι, ut ſæpe.

τιμῶντες πολὺ δικαιότερον, ἢ Σιλανίωνα τιμῶσι καὶ Παῤῥάσιον, εἰκόνων Θησέως γραφεῖς καὶ πλάςας γενομένϐς.

V. Ἔθϐς δὲ ὄντος ἔτι τότε τϐς μεταβαίνοντας ἐκ παίδων, ἐλθόντας εἰς Δελφϐς ἀπάρχεσθαι τῷ Θεῷ τῆς κόμης, ἦλθε μὲν εἰς Δελφὰς ὁ Θησεὺς, καὶ τόπον ἀπ' αὐτϐ τὴν Θησείαν ἔτι νῦν ὀνομάζεσθαι λέγϐσιν. ἐκείρατο δὲ τῆς κεφαλῆς τὰ πρόσθεν μόνον, ὥσπερ Ὅμηρος [1] ἔφη τϐς Ἄβαντας· καὶ τϐτο τῆς κϐρᾶς τὸ γένος Θησηῒς ὠνομάσθη δἰ ἐκεῖνον. οἱ δὲ Ἄβαντες ἐκείραντο πρῶτοι τὸν τρόπον τϐτον, ϐχ ὑπ' Ἀράβων διδαχθέντες, ὡς ἔνιοι νομίζϐσιν, ϐδὲ Μυσϐς ζηλώσαντες, ἀλλ' ὄντες πολεμικοὶ καὶ ἀγχέμαχοι, καὶ μάλιςα δὴ πάντων εἰς χεῖρας ὠθεῖσθαι τοῖς ἐναντίοις μεμαθηκότες, ὡς μαρτυρεῖ καὶ Ἀρχίλοχος ἐν τϐτοις·

Οὔ τοι πόλλ' ἐπὶ τόξα τανύσσεται, ϐδὲ θαμειαὶ
Σφενδόναι, εὖτ' ἂν δὴ μῶλον Ἄρης συνάγῃ
Ἐν πεδίῳ· ξιφέων δὲ πολύςονον ἔσσεται ἔργον.
Ταύτης γὰρ κεῖνοι δαήμονες [2] εἰσὶ μάχης
Δεσπόται Εὐβοίας δϐρικλυτοί.

Ὅπως ϐν μὴ παρέχοιεν ἐκ τῶν τριχῶν ἀντίληψιν τοῖς πολεμίοις, ἀπεκείραντο. τϐτο δὲ ἀμέλει καὶ Ἀλέξανδρον τὸν Μακεδόνα ἐννοήσαντα φασὶ προστάξαι τοῖς ςρατηγοῖς ξυρεῖν τὰ γένεια τῶν Μακεδόνων, ὡς λαβὴν ταύτην ἐν ταῖς μάχαις ϐσαν προχειροτάτην.

VI. Τὸν μὲν ϐν ἄλλον χρόνον ἔκρυπτεν Αἴθρα τὴν ἀληθινὴν τϐ Θησέως γένεσιν. ἦν δὲ λόγος ὑπὸ τϐ Πιτθέως διαδοθεὶς, ὡς ἐκ Ποσειδῶνος τεκνωθείη. Ποσειδῶνα γὰρ Τροιζήνιοι σέβϐσι διαφερόντως, καὶ Θεὸς ϐτός ἐςιν αὐτοῖς πολιϐχος, ᾧ καὶ καρπῶν ἀπάρχονται, καὶ τρίαιναν ἐπίσημον ἔχϐσι τϐ νομίσματος. ἐπεὶ δὲ μειράκιον ὢν, ἅμα τῇ τϐ σώματος ῥώμῃ διέφαινεν ἀλκὴν καὶ φρόνημα



1 Hom. ψ, 145.

2 B. 1, 2, δαίμονες. Sic quoque Brunek in Anal. Gr. T. I. p. 41.

μετὰ νȣ̃ καὶ συνέσεως βέβαιον, ὅτως αὐτὸν ἡ Αἴθρα πρὸς τὴν πέτραν προσαγαγȣ̃σα, καὶ φράσασα περὶ τῆς γενέσεως τἀληθὲς [1], ἐκέλευσεν ὑφελεῖν τὰ πατρῷα σύμβολα, καὶ πλεῖν εἰς Ἀθήνας. ὁ δὲ τὴν μὲν πέτραν ὑπέδυ [2], καὶ ῥᾳδίως ἀνέωσε, πλεῖν δὲ ἀπέγνω, καίπερ ὅσης ἀσφαλείας, καὶ δεομένων τȣ̃ τε πάππȣ καὶ τῆς μητρός. χαλεπὸν γὰρ ἦν πεζῇ [3] πορεύεσθαι τὴν εἰς Ἀθήνας ὁδὸν, ὅδὲν μέρος καθαρὸν ὅδὲ ἀκίνδυνον ὑπὸ λῃστῶν καὶ κακȣ́ργων ἔχȣσαν. ὁ γὰρ δὴ χρόνος ἐκεῖνος ἤνεγκεν ἀνθρώπȣς, χειρῶν μὲν ἔργοις καὶ ποδῶν τάχεσι καὶ σωμάτων ῥώμαις, ὡς ἔοικεν, ὑπερφυεῖς καὶ ἀκαμάτȣς, πρὸς ὅδὲν δὲ τῇ φύσει χρωμένȣς ἐπιεικὲς, ὅδὲ ὠφέλιμον, ἀλλ' ὕβρει τε χαίροντας ὑπερηφάνῳ, καὶ ἀπολαύοντας τῆς δυνάμεως ὠμότητι καὶ πικρίᾳ, καὶ τῷ κρατεῖν, βιάζεσθαί [4] τι καὶ διαφθείρειν τὸ παραπίπτον· αἰδῶ δὲ καὶ δικαιοσύνην, καὶ τὸ ἴσον καὶ τὸ φιλάνθρωπον, (ὡς ἀτολμίᾳ τȣ̃ ἀδικεῖν, καὶ φόβῳ τȣ̃ ἀδικεῖσθαι, τȣ̀ς πολλȣ̀ς ἐπαινȣ̃ντας) ὅδὲν οἰομένȣς προσήκειν τοῖς πλέον ἔχειν δυναμένοις. τȣ́των Ἡρακλῆς τȣ̀ς μὲν ἐξέκοπτε καὶ ἀνῄρει περιιὼν, οἱ δὲ λανθάνοντες ἐκείνȣ παριόντος ἔπτησσον καὶ ἀνεδύοντο, καὶ παρημελȣ̃ντο ταπεινὰ πράττοντες. ἐπεὶ δὲ Ἡρακλῆς ἐχρήσατο συμφορᾷ, καὶ κτείνας Ἴφιτον, εἰς Λυδίαν ἀπῆρε, καὶ συχνὸν ἐκεῖ χρόνον ἐδȣ́λευε παρ' Ὀμφάλῃ, δίκην τȣ̃ φόνȣ ταύτην ἐπιθεὶς [5] αὑτῷ, τότε τὰ μὲν Λυδῶν πράγματα πολλὴν ἔσχεν εἰρήνην καὶ ἄδειαν. ἐν δὲ τοῖς περὶ τὴν Ἑλλάδα τόποις αὖθις ἐξήνθησαν αἱ κακίαι καὶ ἀνεῤῥάγησαν, ὅδε-

1 Deest B 1. 2. 3.

2 V. ὑπέστη, quod verbum accusativo non quadrare, dicit H Stephanus

3 Omittunt B. 1. 2.

4 Delent τι, & inserunt ante βιαζ. καὶ B 1. 2 3. Quum autem καὶ & κατὰ sæpissime confunduntur in Mscr. & V. legat τε pro τι, leg. esse videtur: καταβιάζεσθαί τε, καὶ διαφθ. R. conj. βιαζ. ἀεί τι καὶ δ.

5 R. conj αὐτὸς αὑτῷ.

οὐδενὸς πιεζοῦντος, οὐδὲ κατείργοντος. ἦν οὖν ὀλέθριος ἡ πορεία τοῖς Ἀθήναζε πεζῇ βαδίζουσιν ἐκ Πελοποννήσου· καὶ τῶν λῃστῶν καὶ κακούργων ἐξηγούμενος ἕκαστον ὁ Πιτθεὺς ὁποῖος εἴη, καὶ ὁποῖα δρῴη περὶ τοὺς ξένους, ἔπεισε τὸν Θησέα κομίζεσθαι διὰ θαλάττης. Τὸν δὲ πάλαι μὲν, ὡς ἔοικε, λεληθότως διέκαιεν ἡ δόξα τῆς Ἡρακλέους ἀρετῆς, καὶ πλεῖστον ἐκείνου λόγον εἶχε, καὶ προθυμότατος ἀκροατὴς ἐγίνετο τῶν διηγουμένων ἐκεῖνον, οἷος εἴη, μάλιστα δὲ τῶν αὐτὸν ἑωρακότων, καὶ πράττοντι καὶ λέγοντι προστετυχηκότων. τότε δὲ παντάπασιν ἦν φανερὸς πεπονθὼς, ὅπερ ὕστερον χρόνοις πολλοῖς Θεμιστοκλῆς ἔπαθε, καὶ εἶπεν [1], ὡς καθεύδειν αὐτὸν οὐκ ἐῴη τὸ Μιλτιάδου τρόπαιον· οὕτως ἐκείνῳ τοῦ Ἡρακλέους θαυμάζοντι τὴν ἀρετὴν, καὶ νύκτωρ ὄνειρος ἦσαν αἱ πράξεις, καὶ μεθ᾽ ἡμέραν ἐξῆγεν αὐτὸν ὁ ζῆλος, καὶ ἀνηρέθιζε ταυτὰ πράττειν διανοούμενον.

VII. Ἐτύγχανον δὲ καὶ γένους κοινωνοῦντες, ἐξ ἀνεψιῶν ὄντες. Αἴθρα μὲν γὰρ ἦν Πιτθέως θυγάτηρ· Ἀλκμήνη δὲ Λυσιδίκης· Λυσιδίκη δὲ καὶ Πιτθεὺς, ἀδελφοὶ, γεγονότες ἐξ Ἱπποδαμείας καὶ Πέλοπος. Δεινὸν οὖν ἐποιεῖτο καὶ οὐκ ἀνεκτὸν, ἐκεῖνον μὲν ἐπὶ τοὺς πανταχοῦ πονηροὺς βαδίζοντα, καθαίρειν γῆν καὶ θάλατταν, αὐτὸν δὲ τοὺς ἐν ποσὶν [2] ἄθλους ἀποδιδράσκειν· τὸν μὲν δόξῃ καὶ λόγῳ πατέρα καταισχύνων, διὰ θαλάττης φυγῇ κομιζόμενος, τῷ δὲ ὄντι προσφέρων γνωρίσματα, πέδιλα [3] καὶ ξίφος ἀναίμακτον, οὐκ [4] ἔργοις εὐθὺς ἀγαθοῖς καὶ πράξεσι παρέχων ἐμφανῆ χαρακτῆρα τῆς εὐγενείας.

 τοι-

1 R. conj. καὶ ὡς οὗτος εἶπεν, ὡς (id est ὅτι); seu ἔπαθε· δι᾽ ὃ καὶ εἶπεν.

2 B. 1. 2. 3. τοὺς ἐμποδὼν; consent. Edd. Flor. & Ald.

3 R. sic nude positum non placet Subaudiri igitur jubet ἀναίμακτα, aut forte addi, ἀνεπισήμαντα, *nullo nobili facinore insignitos.*

4 B. 1. 2. οὐκ ἦν, & omitt. ἀγαθοῖς.

τοιούτῳ Φρονήματι καὶ τοιούτοις λογισμοῖς ἐξώρμησεν, ὡς αδικήσων μὲν οὐδένα, τοὺς δὲ ὑπάρχοντας βίας ἀμυνούμενος.

VIII. Καὶ πρῶτον μὲν ἐν τῇ Ἐπιδαυρίᾳ Περιφήτην [1], ὅπλῳ χρώμενον κορύνῃ, καὶ διὰ τοῦτο Κορυνήτην ἐπικαλούμενον, ἁπτόμενον αὐτοῦ καὶ κωλύοντα προάγειν, συμβαλὼν ἀπέκτεινεν· ἡσθεὶς δὲ τῇ κορύνῃ, λαβὼν, ὅπλον ἐποιήσατο, καὶ διετέλει χρώμενος, ὥσπερ ὁ Ἡρακλῆς τῷ δέρματι τοῦ λέοντος. ἐκείνῳ μὲν οὖν ἐπίδειξις ἦν Φορούμενον [2], ἡλίκου τὸ μέγεθος θηρίου κρατήσειεν· οὗτος δὲ τὴν κορύνην ἐπεδείκνυεν ἡττημένην μὲν ὑπ' αὐτοῦ, μετ' αὐτοῦ δὲ ἀήττητον οὖσαν. Ἐν δ' Ἰσθμῷ Σίννιν τὸν πιτυοκάμπτην, ᾧ τρόπῳ πολλοὺς ἀνῄρει, τούτῳ διέφθειρεν αὐτὸς, οὐ μεμελετηκὼς, οὐδ' εἰθισμένος, ἐπιδείξας δὲ τὴν ἀρετὴν, ὅτι καὶ τέχνης περίεστι καὶ μελέτης ἁπάσης. Ἦν δὲ τῷ Σίννιδι καλλίστη καὶ μεγίστη θυγάτηρ, ὄνομα Περιγούνη· ταύτην τοῦ πατρὸς ἀνῃρημένου Φυγοῦσαν ἐζήτει περιιὼν ὁ Θησεύς· ἡ δ' εἰς τόπον ἀπελθοῦσα λόχμην ἔχοντα πολλὴν, στοιβήν τε πλείστην καὶ ἀσφάραγον, ἀκάκως πάνυ καὶ παιδικῶς, ὥσπερ αἰσθανομένων, δεομένη, προσηύχετο μεθ' ὅρκων, ἂν σώσωσιν αὐτὴν καὶ ἀποκρύψωσι, μηδέποτε λυμανεῖσθαι, μηδὲ καύσειν. ἀνακαλουμένου δὲ τοῦ Θησέως, καὶ πίστιν διδόντος, ὡς ἐπιμελήσεται καλῶς αὐτῆς, καὶ οὐδὲν ἀδικήσει, προῆλθε· καὶ τῷ μὲν Θησεῖ συγγενομένη, Μελάνιππον ἔτεκε· Δηϊονεῖ δὲ τῷ Εὐρύτου τοῦ Οἰχαλιέως ὕστερον συνῴκησε, Θησέως δόντος. ἐκ δὲ Μελανίππου τοῦ Θησέως γενόμενος Ἴωξος, Ὀρνύτῳ τῆς εἰς Καρίαν ἀποικίας μετέσχεν· ὅθεν Ἰωξίδαις [3] καὶ Ἰωξίσι πάτριον καθέστη,

1 Suidas Περίφανον.

2 Br. leg. putat, τὸ Φορ. & R. aut τοῦτ' (sc. δέρμα λέοντος) ἐπιδ. aut, λέοντος, ὃ ἐκείνῳ μὲν ἐπίδ.

3 Hanc lectionem habet B. 3. Omnes Editt. R. priores habent Ἰωξίδαις καὶ Ἰωξίσι; tum vero legendum foret, καὶ Ἰωξίδαις

ἐςῃ, μήτε ἄκανθαν ἀσφαράγε, μήτε ςοιβὴν καίειν, ἀλλὰ σέβεσθαι καὶ τιμᾶν.

IX. Ἡ δὲ Κρομμυωνία σῦς, ἣν Φαιὰν προσωνόμαζον, ἐ φαῦλον ἦν θηρίον, ἀλλὰ μάχιμον καὶ χαλεπὸν κρατηθῆναι. ταύτην, ὁδὲ πάρεργον, ὡς μὴ δοκοίη πάντα πρὸς ἀνάγκην ποιεῖν [1], ὑποςὰς ἀνεῖλε· καὶ ἅμα, τῶν μὲν ἀνθρώπων τοῖς πονηροῖς ἀμυνόμενον οἰόμενος δεῖν τὸν ἀγαθὸν προσφέρεσθαι, τῶν δὲ θηρίων καὶ προεπιχειρᾶντα [2] τοῖς γενναίοις μάχεσθαι καὶ διακινδυνεύειν. ἔνιοι δέ φασι τὴν Φαιὰν ληςρίδα [3] γενέσθαι γυναῖκα, φονικὴν καὶ ἀκόλαςον, αὐτόθι κατοικᾶσαν ἐν Κρομμυῶνι, Σῦν δὲ ἐπονομασθεῖσαν διὰ τὸ ἦθος καὶ τὸν βίον, εἶτα ὑπὸ Θησέως ἀποθανεῖν.

X. Σκίρωνα δὲ πρὸ τῆς Μεγαρικῆς [4] ἀνεῖλε, ῥίψας κατὰ τῶν πετρῶν, ὡς μὲν ὁ πολὺς λόγος, ληςεύοντα τὰς παριόντας· ὡς δ' ἔνιοι λέγεσιν, ὕβρει καὶ τρυφῇ προτείνοντα τὼ πόδε τοῖς ξένοις, καὶ κελεύοντα νίπτειν, εἶτα λακτίζοντα καὶ ἀπωθᾶντα νίπτοντας [5] εἰς τὴν θάλασσαν. οἱ δὲ Μεγαρόθεν συγγραφεῖς, ὁμόσε τῇ φήμῃ βαδίζοντες, καὶ τῷ πολλῷ χρόνῳ, κατὰ Σιμωνίδην, πολε-

A 5

ξίδαις. B. 1. 2. τοῖς Ἰωξίδαις καὶ ταῖς Ἰωξίσι, quod etiam Philelphus exprimit.

1 Al. πονεῖν H. Stephanus.

2 Flor. Ald. προσεπιχειρᾶντα. Προσεπιχειρεῖ, *qui aggreditur aliquem ad injuriam illatam ulciscendam*; προεπιχειρεῖ, *qui ultro aggreditur*.

3 Flor. & Ald. Ληςρίδω i. e. *uxorem seu filiam Lystridis*. R. de formatione vocabuli Ληςρὶς dubitat, rectene, an secus habeat, quum ordinaria formatio ferat, ut Ληςὶς dicatur. Fortasse quoque, addit, sit, qui sic malit interpunctum, Ληςίδα (vel Ληςρίδα) γυναῖκα φονικὴν —

4 Potestne hoc idem significare, atque πρὸς τοῖς ὁρίοις τῆς M. an leg. est πρὸ τᾶ ἐπιβῆναι τοῖς ὁρίοις τῆς M. an denique προμαχόμενον [aut προλοχῶντα] τῆς M. R.

5 Sic primus edidit H. Steph. e consensu vet. Codd. antea legebatur ῥίπτειν.

πολεμῦντες, ὗτε λῃςὴν, ὗτε ὑβριςὴν γεγονέναι τὸν Σκίρωνα φασὶν, ἀλλὰ λῃςῶν μὲν κολαςὴν, ἀγαθῶν δὲ καὶ δικαίων οἰκεῖον ἀνδρῶν καὶ φίλον. Αἰακόν τε γὰρ Ἑλλήνων ὁσιώτατον νομίζεσθαι, καὶ Κυχρέα τιμὰς Θεῶν ἔχειν Ἀθήνῃσι τὸν Σαλαμίνιον, τὴν δὲ Πηλέως καὶ Τελαμῶνος ἀρετὴν ὑπ' ὐδενὸς ἀγνοεῖσθαι. Σκίρωνα τοίνυν, Κυχρέως μὲν γενέσθαι γαμβρὸν, Αἰακῦ δὲ πενθερὸν, Πηλέως δὲ καὶ Τελαμῶνος πάππον, ἐξ Ἐνδηΐδος γεγονότων, τῆς Σκίρωνος καὶ Χαρικλῦς θυγατρός. ὔκυν εἰκὸς εἶναι τῷ κακίςῳ τὺς ἀρίςυς εἰς κοινωνίαν τῦ γένυς ἐλθεῖν, τὰ μέγιςα καὶ τιμιώτατα λαμβάνοντας καὶ διδόντας. ἀλλὰ Θησέα φασὶν, ὐχ ὅτε τὸ πρῶτον ἐβάδιζεν εἰς Ἀθήνας, ἀλλ' ὕςερον, Ἐλευσῖνά τε λαβεῖν, Μεγαρέων ἐχόντων, παρακρυσάμενον Διοκλέα τὸν ἄρχοντα, καὶ Σκίρωνα ἀποκτεῖναι. ταῦτα μὲν ὖν ἔχει τοιαύτας ἀντιλογίας.

XI. Ἐν δὲ Ἐλευσῖνι Κερκύονα τὸν ἐξ Ἀρκαδίας καταπαλαίσας ἀνεῖλε· καὶ μικρὸν προελθὼν, Δαμάςην ἐν Ἑρμίονι [1] τὸν Προκρύςην, ἀναγκάσας αὐτὸν ἀπισῦν τοῖς κλιντῆρσιν, ὥσπερ τὺς ξένυς ἐκεῖνος. ἔπραττε δὲ ταῦτα μιμύμενος τὸν Ἡρακλέα. καὶ γὰρ ἐκεῖνος, οἷς ἐπεβυλεύετο τρόποις, ἀμυνόμενος τὺς προεπιχειρῦντας, ἔθυσε τὸν Βύσιριν, καὶ κατεπάλαισε τὸν Ἀνταῖον, καὶ τὸν Κύκνον κατεμονομάχησε, καὶ τὸν Τέρμερον συῤῥήξαντα [2] τὴν κεφαλὴν [3] ἀπέκτεινεν. ἀφ' ὖ δὴ καὶ τὸ Τερμέρειον κακὸν ὀνομασθῆναι λέγυσι. παίων γὰρ, ὡς ἔοικε, κεφαλῇ τὺς ἐντυγχάνοντας ὁ Τέρμερος ἀπώλλυεν. ὕτω δὴ καὶ Θησεὺς κολάζων τὺς πονηρὺς ἐπεξῆλθεν, οἷς μὲν ἐβιάζοντο

1 B. tres Ἑρμιόνῃ. Meziriacus vult ἐν Ἐρινεῷ. Br. mavult ἐν Ἑρμείῳ, ut in Phoc. c. 22. Sed ibi ἐν Ἑρμεῖ legendum esse, ostendit Meursius de Popp. Attic p. 715 & Palmer. Exercit. p. 184. isque etiam hic ita scribendum contendit.

2 Anon. συῤῥάξας; Dacerius ex Mscr. συῤῥήξας.

3 B 1. 2. τὰς κεφαλάς. V. τῇ κεφαλῇ.

ζοντο τοὺς ἄλλους, ὑπ' ἐκείνου [1] καταβιαζομένους [2], ἐν δὲ τοῖς τρόποις τῆς ἑαυτῶν [3] ἀδικίας τὰ δίκαια πάσχοντας.

XII. Προϊόντι δὲ αὐτῷ καὶ γενομένῳ κατὰ τὸν Κηφισὸν ἄνδρες ἐκ τοῦ Φυταλιδῶν γένους ἀπαντήσαντες ἠσπάσαντο πρῶτοι [4], καὶ δεομένου [5] καθαρθῆναι, τοῖς νενομισμένοις ἁγνίσαντες, καὶ μειλίχια [6] θύσαντες, εἱστίασαν οἴκοι, μηδενὸς πρότερον αὐτῷ φιλανθρώπου καθ' ὁδὸν ἐντυχόντος. ἡμέρᾳ μὲν οὖν ὀγδόῃ λέγεται Κρονίου μηνὸς, ὃν νῦν Ἑκατομβαιῶνα καλοῦσι, κατελθεῖν· [7] κατελθὼν δὲ εἰς τὴν πόλιν, εὗρε τά τε κοινὰ ταραχῆς μεστὰ καὶ διχοφροσύνης, καὶ τὰ περὶ τὸν Αἰγέα καὶ τὸν οἶκον ἰδίᾳ νοσοῦντα. Μήδεια γὰρ ἐκ Κορίνθου φυγοῦσα, φαρμάκοις ὑποσχομένη τῆς ἀτεκνίας ἀπαλλάξειν Αἰγέα, συνῆν αὐτῷ. προαισθομένη δὲ περὶ τοῦ Θησέως αὕτη [8], τοῦ μὲν Αἰγέως ἀγνοοῦντος, ὄντος δὲ πρεσβυτέρου καὶ φοβουμένου πάντα διὰ τὴν στάσιν, ἔπεισεν αὐτὸν, ὡς ξένον ἑστιῶντα, φαρμάκοις ἀνελεῖν. ἐλθὼν οὖν ὁ Θησεὺς ἐπὶ τὸ ἄριστον, οὐκ ἐδοκίμαζε φράζειν αὐτὸν, ὅστις εἴη, πρότερος, ἐκείνῳ δὲ βουλόμε-

1 V. *ὑπ' ἐκείνων.*

2 R. inconsentaneum esse dicit, Plut. eodem versu idem verbum modo pro medio, modo pro pass. usurpasse; quamvis certum sit, v. *βιάζεσθαι* utroque modo usurpari: Duram præterea & futilem esse dictionem, quum prorsus iteret, quod modo dictum sit. Conjicit igitur: *οἷς μὲν ἐβιάζοντο τοὺς ἄλλους, τούτοις ἐκείνους καὶ αὐτὸς βιαζόμενος.*

3 Al. *τοῖς ἑαυτῶν.* R. plane damnat, ut Tavtologiam: legendum igitur esse aut *ἐν δὲ ταῖς τροπαῖς* [vel *μετατροπαῖς*] aut *ἐν τοῖς τροπικοῖς.* — Esse autem *τροπικὰ* sc. *ἐναλλάγματα* sive *solis annuæ conversiones brumales & æstivæ*, sive *subitæ ventorum conversiones.*

4 Sic V. & Steph. al. *πρῶτον.*

5 R. mavult *δεόμενον.*

6 Br. suspicatur *Μειλιχίῳ* sc. Jovi.

7 Mscr. Reg. Par legit *κατελθεῖν εἰς τὴν πόλιν, εὗρε δὲ τά τε κοινὰ* cet V etiam *εὗρε δέ.*

8 R. conj *αὐτὴ*, *ipsa*, *sola*, *inscio Aegeo.*

λόμενος ἀρχὴν ἀνευρέσεως παρασχεῖν, κρεῶν παρακειμένων, σπασάμενος τὴν μάχαιραν, ὡς ταῦτα τέμνων [1], ἐδείκνυεν ἐκείνῳ. ταχὺ δὲ καταμαθὼν ὁ Αἰγεὺς, τὴν μὲν κύλικα τȣ̃ φαρμάκȣ κατέβαλε, τὸν δὲ υἱὸν ἀνακρίνας, ἠσπάζετο, καὶ συναγαγὼν τȣ̀ς πολίτας, ἐγνώριζεν, ἡδέως αὐτὸν δεχομένοις [2] διὰ τὴν ἀνδραγαθίαν. λέγεται δὲ, τῆς κύλικος πεσȣ́σης, ἐκχυθῆναι τὸ φάρμακον, ὅπȣ νῦν ἐν Δελφινίῳ τὸ περιφρακτόν [3] ἐςιν. ἐνταῦθα γὰρ ὁ Αἰγεὺς ᾤκει· καὶ τὸν Ἑρμῆν, τὸν πρὸς ἕω τȣ̃ ἱερȣ̃, καλȣ̃σιν ἐπ' Αἰγέως πύλαις.

XIII. Οἱ δὲ Παλλαντίδαι πρότερον [4] μὲν ἤλπιζον αὐτοὶ τὴν βασιλείαν καθέξειν, Αἰγέως ἀτέκνȣ τελευτήσαντος· ἐπεὶ δὲ Θησεὺς [5] ἀπεδείχθη διάδοχος, χαλεπῶς φέροντες, εἰ βασιλεύει μὲν Αἰγεὺς [6], θετὸς γενόμενος Πανδίονι, καὶ μηδὲν Ἐρεχθείδαις προσήκων, βασιλεύσει δ' ὁ Θησεὺς, πάλιν ἔπηλυς ὢν καὶ ξένος, εἰς πόλεμον καθίςαντο· καὶ διελόντες ἑαυτȣ̀ς, οἱ μὲν ἐμφανῶς Σφηττόθεν ἐχώρȣν ἐπὶ τὸ ἄςυ μετὰ τȣ̃ πατρὸς, οἱ δὲ Γαργηττοῖ κρύψαντες ἑαυτȣ̀ς, ἐνήδρευον, ὡς διχόθεν ἐπιθησόμενοι τοῖς ὑπεναντίοις. ἦν δὲ κῆρυξ μετ' αὐτῶν ἀνὴρ Ἀγνȣ́σιος, ὄνομα Λεώς. ȣ̔̃τος ἐξήγγειλε τῷ Θησεῖ τὰ βεβȣλευμένα τοῖς Παλλαντίδαις. ὁ δὲ ἐξαίφνης ἐπιπεσὼν τοῖς ἐνεδρεύȣσι, πάντας διέφθειρεν· οἱ δὲ μετὰ τȣ̃ Πάλλαντος πυθόμενοι, διεσπάρησαν. ἐκ τȣ́τȣ φασὶ τῷ Παλληναίων δήμῳ πρὸς τὸν Ἀγνȣσίων ἐπιγαμίαν μὴ εἶναι, μηδὲ κηρύττεσθαι τȣ̓πιχώριον παρ' αὐτοῖς Ἀκȣ́ετε

τε

1 Br. mavult τεμών, & post ἐδείκνυεν del. ἐκείνῳ. Dacerius inserit ξίφος post ἐδείκνυεν.

2 Ex conj. R. ut pendeat ab ἐγνώριζεν, quum dicatur, γνωρίζειν τινὰ τινί. Vulgo δεχομένȣς. αὐτὸν deest B. 1. 2. 3.

3 Ald. & Flor. περιφραςόν.

4 V. πρῶτον

5 B. 1. 2. ὁ Θησεύς.

6 R. conj. Αἰγεὺς, καὶ αὐτὸς θετὸς γ.

ἀε λεώς·[1] μισῦσι γὰρ τὔνομα διὰ τὴν προδοσίαν τῦ τνδρός.

XIV. Ὁ δὲ Θησεὺς ἐνεργὸς εἶναι βυλόμενος, ἅμα δὲ καὶ δημαγωγῶν, ἐξῆλθεν ἐπὶ τὸν Μαραθώνιον ταῦρον, ὐκ ὀλίγα πράγματα τοῖς οἰκῦσι τὴν Τετράπολιν παρέχοντα· καὶ χειρωσάμενος ἐπεδείξατο ζῶντα, διὰ τῦ ἄςεος ἐλάσας, εἶτα τῷ Ἀπόλλωνι τῷ Δελφινίῳ κατέθυσεν. ἡ δὲ Ἑκάλη, καὶ τὸ περὶ αὐτὴν μυθολόγημα τῦ ξενισμῦ καὶ τῆς ὑποδοχῆς, ἔοικε μὴ πάσης ἀμοιρεῖν ἀληθείας. ἔθυον γὰρ Ἑκαλήσιον οἱ πέριξ δῆμοι συνιόντες Ἑκάλῳ[2] Διΐ, καὶ τὴν Ἑκάλην ἐτίμων, Ἑκαληνην ὑποκοριζόμενοι[3], διὰ τὸ κἀκείνην νέον ὄντα κομιδῇ τὸν Θησέα ξενίζυσαν ἀσπάσασθαι πρεσβυτικῶς, καὶ φιλοφρονεῖσθαι[4] τοιύτοις ὑποκορισμοῖς. ἐπεὶ δὲ ηὔξατο μὲν ὑπὲρ αὐτῦ τῷ Διΐ, βαδίζοντος ἐπὶ τὴν μάχην, εἰ σῶς παραγένοιτο, θύσειν, ἀπέθανε δὲ, πρὶν ἐκεῖνον ἐπανελθεῖν, ἔσχε τὰς εἰρημένας ἀμοιβὰς τῆς φιλοξενίας, τῦ Θησέως κελεύσαντος, ὡς Φιλόχορος ἱςόρηκεν.

XV. Ὀλίγῳ δὲ ὕςερον ἧκον ἐκ Κρήτης τὸ τρίτον οἱ τὸν δασμὸν ἀπάξοντες. Ὅτι μὲν ὖν[5] Ἀνδρόγεω περὶ τὴν Ἀττικὴν ἀποθανεῖν δόλῳ δόξαντος, ὅ τε Μίνως πολλὰ κακὰ πολεμῶν εἰργάζετο τὺς ἀνθρώπυς, καὶ τὸ δαιμόνιον ἔφθειρε τὴν χώραν· ἀφορία τε γὰρ καὶ νόσος ἐπέσκηψε πολλὴ, καὶ ἀνέδυσαν οἱ ποταμοί· καὶ τῦ Θεῦ προστάξαν-

1 V. B 1. 2. 3. λεώ. Sic etiam Flor. & Ald. cf. Ariſtoph. in Pace v. 550. & in Avib. v. 448.

2 Heſych. Ἑκάλειος Ζεὺς habet.

3 Al. addunt λέγοντες ὑποκορ. At id jam incluſum eſt in ὑποκοριζόμενοι.

4 R. mavult aor. 1. conven. cum præced. ἀσπάσασθαι.

5 Servata lectione textus Junt. & Ald. V. B. 1. 2. 3. non opus eſt correctione Anon. ante ὁμολογῦσιν addentis ὡς. Includantur autem parentheſi ἀφορία — τοσαύτας. Omittunt alii ὅτι μὲν ὖν, & legunt Ἀνδρογίω γὰρ περὶ.

τάξαντος ἱλασαμένοις τὸν Μίνω καὶ διαλλαγεῖσι, λωφήσειν τὸ μήνιμα, καὶ τῶν κακῶν ἔσεσθαι παῦλαν, ἐπικηρυκευσάμενοι καὶ δεηθέντες, ἐποιήσαντο συνθήκας, ὥςε πέμπειν δἰ ἐννέα ἐτῶν δασμὸν, ἠϊθέȣς ἑπ]ὰ καὶ παρθένȣς τοσαύτας, ὁμολογȣ̃σιν οἱ πλεῖςοι τῶν συγγραφέων. τȣ̀ς δὲ παῖδας εἰς Κρήτην κομιζομένȣς ὁ μὲν τραγικώτατος μῦθος ἀποφαίνει τὸν Μινώταυρον ἐν τῷ Λαβυρίνθῳ διαφθείρειν, ἢ πλανωμένȣς αὐτȣ̀ς, καὶ τυχεῖν ἐξόδȣ μὴ δυναμένȣς, ἐκεῖ καταθνήσκειν, τὸν δὲ Μινώταυρον, ὥσπερ Εὐριπίδης φησὶ,

Σύμμικτον εἶδος κἀποφώλιον [1] βρέφος

γεγονέναι, καὶ

Ταύρȣ μεμίχθαι καὶ βροτȣ̃ διπλῇ φύσει.

XVI. Φιλόχορος δέ φησιν ȣ̓ ταῦτα συγχωρεῖν Κρῆτας, ἀλλὰ λέγειν, ὅτι φρȣρὰ μὲν ἦν ὁ Λαβύρινθος, ȣ̓δὲν ἔχων κακὸν, ἀλλ᾽ ἢ τὸ μὴ διαφυγεῖν τȣ̀ς φυλατ]ομένȣς. ἀγῶνα δὲ ὁ Μίνως ἐπ᾽ Ἀνδρόγεῳ γυμνικὸν ἐποίει [2], καὶ τȣ̀ς παῖδας ἆθλα τοῖς νικῶσιν ἐδίδȣ, τέως ἐν τῷ Λαβυρίνθῳ φυλατ]ομένȣς. ἐνίκα δὲ τȣ̀ς προτέρȣς [3] ἀγῶνας ὁ μέγιςον παῤ αὐτῷ δυνάμενος τότε καὶ ςρατηγῶν, ὄνομα Ταῦρος, ἀνὴρ ȣ̓κ ἐπιεικὴς καὶ ἥμερος τὸν τρόπον, ἀλλὰ καὶ τοῖς παισὶ τῶν Ἀθηναίων ὑπερηφάνως καὶ χαλεπῶς προσφερόμενος. Ἀριςοτέλης δὲ καὶ αὐτὸς ἐν τῇ Βοττιαίων πολιτείᾳ δῆλός ἐςιν ȣ̓ νομίζων ἀναιρεῖσθαι τȣ̀ς παῖδας ὑπὸ τȣ̃ Μίνω, ἀλλὰ θητεύοντας ἐν τῇ Κρήτῃ καταγηράσκειν· καί ποτε Κρῆτας [4], εὐχὴν παλαιὰν ἀποδιδόντας, ἀνθρώπων ἀπαρχὴν εἰς Δελφȣ̀ς ἀποςέλλειν· τοῖς δὲ πεμπομένοις ἀναμιχθέντας ἐκγόνȣς ἐκείνων συνεξελθεῖν·

1 Cod. quidam H. Steph. ἀπόφημον. Plut. ipſe περὶ πολυπραγμοσύνης citat ἀποφώλιον ]έρας.

2 R. mavult ἐποιεῖτο, in medio.

3 V. τȣ̀ς πρότερον.

4 B. 1. adult φησὶν ὁ Ἀριςοτέλης.

θεῖν· ὡς δὲ ἐκ ἦσαν ἱκανοὶ τρέφειν ἑαυτὲς [1] αὐτόθι, πρῶτον μὲν εἰς Ἰταλίαν διαπεράσαι, κἀκεῖ κατοικεῖν περὶ τὴν Ἰαπυγίαν· ἐκεῖθεν δὲ αὖθις εἰς Θρᾴκην κομισθῆναι, καὶ κληθῆναι Βοττιαίες· διὸ τὰς κόρας τῶν Βοττιαίων θυσίαν τινὰ τελἐσας ἐπᾴδειν, Ἴωμεν εἰς Ἀθήνας. Ἔοικε γὰρ ὄντως χαλεπὸν εἶναι Φωνὴν ἐχέσῃ πόλει καὶ μἔσαν ἀπεχθάνεθαι. καὶ γὰρ ὁ Μίνως αἰεὶ διετέλει κακῶς ἀκέων καὶ λοιδορέμενος ἐν τοῖς Ἀττικοῖς θεάτροις. καὶ ἔτε Ἡσίοδος αὐτὸν ὤνησε, βασιλεύτατον, ἔτε Ὅμηρος [2], ὀαριςὴν Διὸς προσαγορεύσας, ἀλλ' ἐπικρατήσαντες οἱ τραγικοὶ, πολλὴν ἀπὸ τἔ λογείε καὶ τῆς σκηνῆς ἀδοξίαν αὐτἔ κατεσκέδασαν, ὡς χαλεπἔ καὶ βιαίε γενομένε· καίτοι Φασὶ τὸν μὲν Μίνω βασιλέα καὶ νομοθέτην· δικαςὴν δὲ τὸν Ῥαδάμανθυν εἶναι καὶ Φύλακα τῶν ὡρισμένων ὑπ' ἐκείνε δικαίων.

XVII. Ἐπεὶ δ' ἔν καθῆκεν ὁ χρόνος τἔ τρίτε δασμἔ, καὶ παρέχειν ἔδει τὲς πατέρας ἐπὶ τὸν κλῆρον [3], οἷς ἦσαν ἠίθεοι παῖδες, αὖθις ἀνεΦύοντο τῷ Αἰγεῖ διαβολαὶ πρὸς τὲς πολίτας, ὀδυρομένες καὶ ἀγανακτἔντας, ὅτι πάντων αἴτιος ὢν ἐκεῖνος, ἐδὲν μέρος μετέχει [4] τῆς κολάσεως μόνος, ἀλλ' ἐπὶ νόθῳ καὶ ξένῳ παιδὶ τὴν ἀρχὴν πεποιημένος, αὐτὲς περιορᾷ [5] γνησίων ἐρήμες καὶ ἄπαιδας ἀπολειπομένες. ταῦτ' ἠνία τὸν Θησέα, καὶ δικαιῶν μὴ ἀμελεῖν, ἀλλὰ κοινωνεῖν τῆς τύχης τοῖς πολίταις, ἐπέδωκεν ἑαυτὸν ἄνευ κλήρε προσελθών. καὶ τοῖς μὲν ἄλλοις τό τε Φρόνημα θαυμαςὸν ἐΦάνη, καὶ τὸ δημοτικὸν ἠγάπησαν· ὁ δὲ Αἰγεὺς, ἐπεὶ δεόμενος καὶ καθικετεύων ἀμετάπειςον ἑώρα καὶ ἀμετάτρεπτον, ἀπεκλήρωσε τὲς ἄλλες παῖδας. Ἑλλάνικος δέ Φησιν ἐ τὲς λαχόντας

1 V. αὐτὲς.
2 Odyss. τ', 179.
3 V. ἐπὶ πρῶτον τὸν κλῆρον.
4 V. ἔχει.
5 Junt. & Ald. ὑπερορᾷ.

τας ἀπὸ κλήρȣ καὶ τὰς λαχέσας ἐκπέμπειν τὴν πόλιν, αὐτὸν δὲ τὸν Μίνω παραγενόμενον ἐκλέγεσθαι, καὶ τὸν Θησέα πάντων ἑλέσθαι πρῶτον ἐπὶ τοῖς ὁρισθεῖσιν· ὡρισμένον δ' εἶναι, τὴν μὲν ναῦν Ἀθηναίȣς παρέχειν, ἐμβάντας δὲ πλεῖν σὺν αὐτῷ τȣ̀ς ἠϊθέȣς, μηδὲν ὅπλον ἀρήϊον ἐπιφερομένȣς· ἀπολομένȣ δὲ τȣ̃ Μινωταύρȣ, πέρας ἔχειν τὴν ποινήν. πρότερον μὲν ȣ̂ν ȣ̓δεμία σωτηρίας ἐλπὶς ὑπέκειτο· διὸ καὶ μέλαν ἱςίον ἔχȣσαν, ὡς ἐπὶ συμφορᾷ προδήλῳ, τὴν ναῦν ἔπεμπον· τότε δὲ τȣ̃ Θησέως τὸν πατέρα θαῤῥύνοντος καὶ μεγαληγορȣ̃ντος, ὡς χειρώσεται τὸν Μινώταυρον, ἔδωκεν ἕτερον ἱςίον λευκὸν τῷ κυβερνήτῃ, κελεύσας ὑποςρέφοντα σωζομένȣ τȣ̃ Θησέως ἐπάρασθαι τὸ λευκόν· εἰ δὲ μὴ, τῷ μέλανι πλεῖν, καὶ ἀποσημαίνειν τὸ πάθος. ὁ δὲ Σιμωνίδης ȣ̓ λευκόν φησιν εἶναι τὸ δοθὲν ὑπὸ τȣ̃ Αἰγέως, ἀλλὰ φοινίκεον ἱςίον ὑγρῷ πεφυρμένον πρινὸς [1] ἄνθει ἐριθάλλȣ· καὶ τȣ̃το τῆς σωτηρίας αὐτῶν ποιήσασθαι σημεῖον. ἐκυβέρνα δὲ τὴν ναῦν Ἀμαρσυάδας Φέρεκλος, ὥς φησι Σιμωνίδης. Φιλόχορος δὲ παρὰ Σκίρȣ φησὶν ἐκ Σαλαμῖνος τὸν Θησέα λαβεῖν κυβερνήτην μὲν Ναυσίθοον, πρωρέα δὲ Φαίακα, μηδέπω τότε τῶν Ἀθηναίων προσεχόντων τῇ θαλάσσῃ· καὶ γὰρ εἶναι τῶν ἠϊθέων ἕνα Μενέσθην Σκίρȣ θυγατριδȣ̃ν. μαρτυρεῖ δὲ τȣ́τοις ἡρῷα Ναυσιθόȣ καὶ Φαίακος, εἱσαμένȣ [2] Θησέως Φαληροῖ πρὸς τῷ τȣ̃ Σκίρȣ ἱερῷ, καὶ τὴν ἑορτὴν τὰ κυβερνήσια φησὶν ἐκείνοις τελεῖσθαι.

XVIII. Γενομένȣ δὲ τȣ̃ κλήρȣ, παραλαβὼν τȣ̀ς λαχόντας ὁ Θησεὺς ἐκ τȣ̃ πρυτανείȣ, καὶ παρελθὼν εἰς Δελφίνιον, ἔθηκεν ὑπὲρ αὐτῶν τῷ Ἀπόλλωνι τὴν ἱκετηρίαν. ἦν δὲ κλάδος ἀπὸ τῆς ἱερᾶς ἐλαίας ἐρίῳ λευκῷ κατεστεμμένος. εὐξάμενος δὲ κατέβαινεν ἕκτῃ μηνὸς ἐπὶ θάλασσαν ἱςαμένȣ Μȣνυχιῶνος, ᾗ καὶ νῦν ἔτι τὰς κόρας πέμ-

1 Anon ὀργυγὸς; Meziriacus & Dac. dant πρίνȣ.
2 V. ἱςαμένȣ.

πέμπουσιν ἱλασομένας εἰς Δελφίνιον [1]. λέγεται δὲ αὐτῷ τὸν μὲν ἐν Δελφοῖς ἀνελεῖν Θεὸν, Ἀφροδίτην καθηγεμόνα ποιεῖσθαι καὶ παρακαλεῖν συνέμπορον. θύοντι δὲ πρὸς θαλάσσῃ τὴν αἶγα θήλειαν οὖσαν, αὐτομάτως τράγον γενέσθαι· διὸ καὶ καλεῖσθαι τὴν Θεὸν Ἐπιτραγίαν.

XIX. Ἐπεὶ δὲ κατέπλευσεν εἰς Κρήτην, ὡς μὲν οἱ πολλοὶ γράφουσι καὶ ᾄδουσι, παρὰ τῆς Ἀριάδνης ἐρασθείσης τὸ λίνον [2] λαβὼν, καὶ διδαχθεὶς, ὡς ἔστι τοῦ λαβυρίνθου τοὺς ἑλιγμοὺς διεξελθεῖν, ἀπέκτεινε τὸν Μινώταυρον, καὶ ἀπέπλευσε τὴν Ἀριάδνην ἀναλαβὼν καὶ τοὺς ἠϊθέους. Φερεκύδης δὲ καὶ τὰ ἐδάφη τῶν Κρητικῶν νεῶν φησιν ἐκκόψαι τὸν Θησέα, τὴν δίωξιν ἀφαιρούμενον. Δήμων δὲ καὶ τὸν Ταῦρον ἀναιρεθῆναί φησι τὸν τοῦ Μίνω στρατηγὸν, ἐν τῷ λιμένι διαναυμαχοῦντα, τοῦ Θησέως ἐκπλέοντος. ὡς δὲ Φιλόχορος ἱστόρηκε, τὸν ἀγῶνα τοῦ Μίνω συντελοῦντος, ἐπίδοξος ὢν ἅπαντας πάλιν [3] νικήσειν ὁ Ταῦρος ἐφθονεῖτο. καὶ γὰρ ἡ δύναμις αὐτοῦ διὰ τὸν τρόπον ἦν ἐπαχθὴς, καὶ διαβολὴν εἶχεν, ὡς τῇ Πασιφάῃ πλησιάζων. διὸ καὶ τοῦ Θησέως ἀξιοῦντος ἀγωνίσασθαι, συνεχώρησεν ὁ Μίνως. ἔθους δὲ ὄντος ἐν Κρήτῃ θεᾶσθαι καὶ τὰς γυναῖκας, Ἀριάδνη παροῦσα πρός τε τὴν ὄψιν ἐξεπλάγη τοῦ Θησέως, καὶ τὴν ἄθλησιν ἐθαύμασε πάντων κρατήσαντος. ἡσθεὶς δὲ καὶ ὁ Μίνως, μάλιστα τοῦ Ταύρου καταπαλαισθέντος καὶ προπηλακισθέντος, ἀπέδωκε τῷ Θησεῖ τοὺς παῖδας, καὶ ἀνῆκε τῇ πόλει τὸν δασμόν. ἰδίως δέ πως καὶ περιττῶς ὁ Κλείδημος ἀπήγγειλε περὶ τούτων, ἄνωθέν ποθεν ἀρξάμενος· ὅτι δόγμα κοινὸν ἦν Ἑλλήνων μηδεμίαν ἐκπλεῖν τριήρη μηδαμόθεν ἀνδρῶν πέντε πλείονας [4] δεχομένην· τὸν δὲ ἄρχοντα τῆς Ἀργοῦς Ἰάσονα

1 V. Δελφοὺς.
2 Junt. & Ald. dant τὸν λίνον.
3 B. 1. 2. ἐν τῇ πάλῃ. Hinc Br. πάλιν.
4 Pone πλείονας deest secundum R. sive ζυγοὺς, sive στίχους, sive tale quid; — aut δεκάδας τῶν πέντε πλείονας.



BIBLIOTEKA W TORUNIU UNIWERSYTECKA

σουα μόνον περιπλεῖν [1], ἐξείργοντα τῆς θαλάσσης τὰ λῃςήρια. Δαιδάλȣ δὲ πλοίῳ φυγόντος [2] εἰς Ἀθήνας, Μίνως παρὰ τὰ δόγματα μακραῖς ναυσὶ διώκων, ὑπὸ χειμῶνος εἰς Σικελίαν ἀπηνέχθη, κἀκεῖ κατέςρεψε τὸν βίον. ἐπεὶ δὲ Δευκαλίων ὁ υἱὸς αὐτȣ̃ πολεμικῶς ἔχων πρὸς τȣ̀ς Ἀθηναίȣς, ἔπεμψεν ἐκδιδόναι Δαίδαλον αὐτῷ κελεύων, ἢ τȣ̀ς παῖδας ἀποκτενεῖν ἀπειλῶν, ȣ̔̃ς ἔλαβεν ὁμήρȣς ὁ Μίνως· τȣ́τῳ μὲν ἀπεκρίνατο πρᾴως ὁ Θησεὺς, παραιτȣ́μενος ἀνεψιὸν ὄντα Δαίδαλον, κἀκείνῳ κατὰ γένος προσήκοντα, μητρὸς ὄντα [3] Μερόπης τῆς Ἐρεχθέως, αὐτὸς δὲ [4] ναυπηγίᾳ ἐπεβάλλετο, τῇ μὲν ἐν Θυμοιταδῶν [5] αὐτόθι, μακρὰν τῆς ξενικῆς ὁδȣ̃, τῇ δὲ διὰ Πιτθέως ἐν Τροιζῆνι, βȣλόμενος λανθάνειν [6]. γενομένων δὲ ἑτοίμων, ἐξέπλευσε, τόν τε Δαίδαλον ἔχων καὶ φυγάδας ἐκ Κρήτης καθηγεμόνας, ȣ̓δενὸς δὲ προειδότος, ἀλλὰ ναῦς φιλίας οἰομένων τῶν Κρητῶν προσφέρεσθαι, τȣ̃ λιμένος κρατήσας καὶ ἀποβὰς ἔφθασεν εἰς τὴν Κνωσσὸν παρελθὼν, καὶ μάχην ἐν πύλαις τȣ̃ Λαβυρίνθȣ συνάψας, ἀπέκτεινε τὸν Δευκαλίωνα καὶ τȣ̀ς δορυφόρȣς. ἐν δὲ τοῖς πράγμασι τῆς Ἀριάδνης γενομένης, σπεισάμενος πρὸς αὐτὴν, τȣ́ς τε ἠϊθέȣς ἀνέλαβε, καὶ φιλίαν ἐποιήσατο

1 Glossa B. 1. ad vocem περιπλεῖν hæc annotat: Τριήρη πλήρη ἀνδρῶν ἱκανῶν; — Ex hac glossa Br. vocem πλήρη reponendam censet, & legendum μόνον πλήρη πλεῖν, sc. νηΐ; — R. post μόνον deesse putat Τοσȣ́τȣς ἐπιβάτας ἔχοντα, aut ἐν τοσȣ́τῳ ἀνδρῶν πλήθει, aut σὺν τοσȣ́τῳ ἑταίρων ἀριθμῷ.

2 B. 1. 2. 3. addunt Κρητῆθεν.

3 R. de suo dedit, loco ὄντι, quod vulgo legitur.

4 Vulg. legitur αὐτὸς ναυπηγίαν ἐπεβ. τὴν μὲν — τὴν δὲ;

5 Junt. & Ald. εὐθυμαιταδῶν, conf. B. 3. — B. 1. 2. habent εὐθυμειταδῶν.

6 H. Steph. in quodam exempl. invenisse se testatur: λανθάνειν, συμπλεῖν πείσας. Καὶ γενομένων ἑτοίμων &c. Post ἑτοίμων Bodl. 1. 2. νηῶν.

σατο [1] τοῖς Ἀθηναίοις πρὸς τὰς Κρῆτας, ὀμόσαντας μηδέποτε πολέμου κατάρξειν.

XX. Πολλοὶ δὲ λόγοι καὶ περὶ τούτων ἔτι λέγονται, καὶ περὶ τῆς Ἀριάδνης, οὐδὲν ὁμολογούμενον ἔχοντες. οἱ μὲν γὰρ ἀπάγξασθαι φασὶν αὐτὴν ἀπολειφθεῖσαν ὑπὸ τοῦ Θησέως, οἱ δὲ εἰς Νάξον ὑπὸ ναυτῶν κομισθεῖσαν, Ὠνάρῳ τῷ ἱερεῖ τοῦ Διονύσου συνοικεῖν, ἀπολειφθῆναι δὲ τοῦ Θησέως ἐρῶντος ἑτέρας·

Δεινὸς γάρ μιν ἔτειρεν ἔρως Πανοπηΐδος Αἴγλης.

τοῦτο γὰρ τὸ ἔπος ἐκ τῶν Ἡσιόδου Πεισίστρατον ἐξελεῖν φησιν Ἡρέας ὁ Μεγαρεύς· ὥσπερ αὖ πάλιν ἐμβαλεῖν εἰς τὴν Ὁμήρου νεκυίαν [2] τό·

Θησέα, Πειρίθοόν τε, θεῶν ἀριδείκετα τέκνα,

χαριζόμενον Ἀθηναίοις. ἔνιοι δὲ καὶ τεκεῖν [3] ἐκ Θησέως Ἀριάδνην Οἰνοπίονα καὶ Στάφυλον· ὧν καὶ ὁ Χῖος Ἴων ἐστὶ περὶ τῆς ἑαυτοῦ πατρίδος λέγων·

Τήν ποτε Θησείδης ἔκτισεν Οἰνοπίων.

ἃ δ' ἐστὶν εὐφημότατα μυθολογουμένων, πάντες, ὡς ἔπος εἰπεῖν, διὰ στόματος ἔχουσιν [4]. ἴδιον δέ τινα περὶ τούτων λόγον ἐκδέδωκε Παίων ὁ Ἀμαθούσιος. τὸν γὰρ Θησέα φησὶν ὑπὸ χειμῶνος εἰς Κύπρον ἐξενεχθέντα, καὶ τὴν Ἀριάδνην ἔγκυον ἔχοντα [5], φαύλως δὲ διακειμένην ὑπὸ τοῦ σάλου καὶ δυσφοροῦσαν, ἐκβιβάσαι μόνην· αὐτὸν δὲ τῷ πλοίῳ βοηθοῦντα, πάλιν εἰς τὸ πέλαγος ἀπὸ τῆς γῆς φέρεσθαι. τὰς οὖν ἐγχωρίους γυναῖκας τὴν Ἀριάδνην ἀναλαβεῖν καὶ περιέπειν ἀθυμοῦσαν ἐπὶ τῇ μονώσει, καὶ γράμματα πλαστὰ προσφέρειν, ὡς τοῦ Θησέως γράφοντος αὐτῇ, καὶ περὶ τὴν ὠδῖνα συμπονεῖν καὶ βοηθεῖν· ἀποθανοῦσαν



1 Vulgar. lect. ἐποίησε, ut non græcam, R rejecit.
2 Odyss. λ, 630.
3 Subaud. φασί, quod add. B. 1. 2. leg. δὲ φασὶ τεκεῖν.
4 V. ᾄδουσιν.
5 Subaudi μεθ' ἑαυτοῦ. B. 1. 2. φέροντα.

δὲ θάψαι, μὴ τεκοῦσαν. ἐπανελθόντα [1] δὲ τὸν Θησέα καὶ περίλυπον γενόμενον, τοῖς μὲν ἐγχωρίοις ἀπολιπεῖν χρήματα, συντάξαντα θύειν τῇ Ἀριάδνῃ· δύο δὲ μικροὺς ἀνδριαντίσκους [2] ἱδρύσασθαι, τὸν μὲν ἀργυροῦν, τὸν δὲ χαλκοῦν. ἐν δὲ τῇ θυσίᾳ τοῦ Γορπιαίου [3] μηνὸς ἱσταμένου δευτέρᾳ, κατακλινόμενόν τινα τῶν νεανίσκων φθέγγεσθαι καὶ ποιεῖν, ἅπερ [4] ὠδίνουσαι γυναῖκες· καλεῖν δὲ τὸ ἄλσος Ἀμαθουσίους, ἐν ᾧ τὸν τάφον δεικνύουσιν, Ἀριάδνης Ἀφροδίτης. καὶ Ναξίων δέ τινες ἰδίως ἱστοροῦσι δύο Μίνωας γενέσθαι καὶ δύο Ἀριάδνας, ὧν τὴν μὲν Διονύσῳ γαμηθῆναι φασὶν ἐν Νάξῳ, καὶ τοὺς περὶ Στάφυλον τεκεῖν· τὴν δὲ νεωτέραν, ἁρπασθεῖσαν ὑπὸ τοῦ Θησέως, καὶ ἀπολειφθεῖσαν, εἰς Νάξον ἐλθεῖν· καὶ τροφὸν μετ' αὐτῆς ὄνομα Κορκύνην, ἧς δείκνυσθαι τάφον. ἀποθανεῖν δὲ καὶ τὴν Ἀριάδνην αὐτόθι, καὶ τιμὰς ἔχειν οὐχ ὁμοίως τῇ προτέρᾳ. τῇ μὲν γὰρ ἡδομένους καὶ παίζοντας ἑορτάζειν, τὰς δὲ ταύτῃ δρωμένας θυσίας εἶναι πένθει τινὶ καὶ συγνότητι μεμιγμένας.

XXI. Ἐκ δὲ τῆς Κρήτης ἀποπλέων εἰς Δῆλον κατέσχε, καὶ τῷ Θεῷ θύσας, καὶ ἀναθεὶς τὸ Ἀφροδίσιον, ὃ παρὰ τῆς Ἀριάδνης ἔλαβεν, ἐχόρευσε μετὰ τῶν ἠϊθέων χορείαν [5], ἣν ἔτι νῦν ἐπιτελεῖν Δηλίους λέγουσι, μίμημα τῶν ἐν τῷ Λαβυρίνθῳ περιόδων καὶ διεξόδων, ἔν τινι ῥυθμῷ παραλλάξεις [6] καὶ ἀνελίξεις ἔχοντι, γιγνομένην. καλεῖται δὲ τὸ γένος τοῦτο τῆς χορείας ὑπὸ Δηλίων γέρανος,

1 Ita leg. sec. B. 1. 2. Vulgo ἐπελθόντα.

2 V. ἀνδριάντας, quod Br. præfert ob præcedens μικρούς; sed diminutiva haud raro cum v. μικρὸς copulata inveniuntur.

3 V. τοῦ Σεπτεμβρίου, ἴσως Γορδιαίου. Manifesta Glossa. Ex lectione depravata Suidæ Γορδιαίου.

4 B. 1. 2. ἅπερ φθέγγονται καὶ ποιοῦσι. Iidem post καλεῖν δὲ add. λέγουσι.

5 Bodl 1. 2. τινα ἣν.

6 Br. mavult παρελίξεις f. περιελίξεις, ad analogiam præced. περιόδων καὶ διεξόδων, & cap. 19. λαβυρίνθου ἑλιγμούς.

νος, ὡς ἱςορεῖ Δικαίαρχος. ἐχόρευσε δὲ περὶ τὸν Κερατῶνα [1], βωμὸν ἐκ κεράτων συνηρμοσμένον εὐωνύμων ἁπάντων. ποιῆσαι δὲ καὶ ἀγῶνα φασὶν αὐτὸν ἐν Δήλῳ, καὶ τοῖς νικῶσι τότε πρῶτον ὑπ' ἐκείνου φοίνικα δοθῆναι.

XXII. Τῇ δὲ Ἀττικῇ προσφερομένων, ἐκλαθέσθαι μὲν αὐτὸν, ἐκλαθέσθαι δὲ καὶ [2] τὸν κυβερνήτην ὑπὸ χαρᾶς, ἐπάρασθαι τὸ ἱςίον, ᾧ τὴν σωτηρίαν αὐτῶν ἔδει γνώριμον τῷ Αἰγεῖ γενέσθαι· τὸν δὲ, ἀπογνόντα, ῥίψαι κατὰ τῆς πέτρας ἑαυτὸν, καὶ διαφθαρῆναι. καταπλεύσας δὲ ὁ Θησεὺς, ἔθυε μὲν αὐτὸς, ἃς ἐκπλέων θυσίας ηὔξατο τοῖς Θεοῖς, Φαληροῖ, κήρυκα δὲ ἀπέςειλε τῆς σωτηρίας ἄγγελον εἰς ἄςυ. οὗτος ἐνέτυχεν ὀδυρομένοις τε πολλοῖς τὴν τοῦ βασιλέως τελευτὴν, καὶ αὖ χαίρουσιν, ὡς εἰκὸς, ἑτέροις, καὶ φιλοφρονεῖσθαι καὶ ςεφανοῦν αὐτὸν ἐπὶ τῇ σωτηρίᾳ προθύμοις οὖσιν. τοὺς μὲν οὖν ςεφάνους δεχόμενος, τὸ κηρύκειον ἀνέςεφεν· ἐπανελθὼν δὲ ἐπὶ θάλασσαν, οὔπω πεποιημένου σπονδὰς τοῦ Θησέως, ἔξω περιέμεινε, μὴ βουλόμενος τὴν θυσίαν ταράξαι. γενομένων δὲ τῶν σπονδῶν, ἀπήγγειλε τὴν τοῦ Αἰγέως τελευτήν. οἱ δὲ σὺν κλαυθμῷ καὶ θορύβῳ σπεύδοντες [3] ἀνέβαινον εἰς τὴν πόλιν. ὅθεν καὶ νῦν ἐν τοῖς ὠχοφορίοις ςεφανοῦσθαι μὲν οὐ τὸν κήρυκα λέγουσιν, ἀλλὰ τὸ κηρύκειον· ἐπιφωνεῖν δὲ ταῖς [4] σπονδαῖς ἐλελεῦ, ἰοῦ, ἰοῦ, τοὺς παρόντας. ὧν τὸ μὲν σπεύδοντες ἀναφωνεῖν καὶ παιωνίζοντες εἰώθασι, τὸ δὲ ἐκπλήξεως καὶ ταραχῆς ἐςι. θάψας δὲ τὸν πατέρα,

 τῷ

1 H. Steph. leg. censet κερατοῦντα βωμὸν, *cornibus frequentem* aram, ut dixit Martialis; æque ac κερασοῦντα urbem dici ἀπὸ τῶν κεράσων. B. 1. 2. leg. τὸν ἐκ κεράτων συνηρμοσμένον καὶ cet. Edd. antiq. habent συνηρμοσμένον.

2 R. ex suo addidit, hanc verborum collocationem concinniorem putans: ἐκλαθέσθαι μὲν τὸν κυβερνήτην, ἐκλαθέσθαι δὲ καὶ αὐτὸν (Theseum) ὑπὸ χαρᾶς.

3 Anon. σπένδοντες.

4 Vulc. B. 1. 2. 3. ἐν ταῖς.

τῷ Ἀπόλλωνι τὴν εὐχὴν ἀπεδίδȣ τῇ ἑβδόμῃ [1] τȣ͂ Πυανεψιῶνος μηνὸς ἱςαμένȣ· ταύτῃ γὰρ ἀνέβησαν εἰς ἄςυ σωθέντες. ἡ μὲν ȣ͂ν ἕψησις τῶν ὀσπρίων λέγεται γενέϑαι διὰ τὸ σωθέντας αὐτȣ̀ς εἰς ταυτὸ συμμίξαι τὰ περιόντα τῶν σιτίων, καὶ μίαν χύτραν κοινὴν ἑψήσαντας συνεςιαϑῆναι, καὶ συγκαταφαγεῖν ἀλλήλοις. τὴν δὲ εἰρεσιώνην ἐκφέρȣσι, κλάδον ἐλαίας ἐρίῳ μὲν [2] ἀνεςεμμένων, ὥσπερ τότε τὴν ἱκετηρίαν, παντοδαπῶν δὲ ἀνάπλεων καταργμάτων, διὰ τὸ λῆξαι τὴν ἀφορίαν, ἐπᾴδοντες·

Εἰρεσιώνη σῦκα φέρειν καὶ πίονας ἄρτȣς,
Καὶ μέλι ἐν κοτύλῃ, καὶ ἔλαιον ἀναψήσαϑαι,
Καὶ κύλικ' εὔζωρον, ὡς ἂν μεθύȣσα καϑεύδῃ [3].

καίτοι ταῦτά τινες ἐπὶ τοῖς Ἡρακλείδαις γενέϑαι λέγȣσιν, ȣ̓́τως διατρεφομένοις ὑπὸ τῶν Ἀϑηναίων· οἱ δὲ πλείονες, ὡς προείρηται.

XXIII. Τὸ δὲ πλοῖον [4], ἐν ᾧ μετὰ τῶν ἠϊθέων ἔπλευσε, καὶ πάλιν ἐσώθη, τὴν τριακόντορον, ἄχρι τῶν Δημητρίȣ τȣ͂ Φαληρέως χρόνων διεφύλαττον οἱ Ἀϑηναῖοι, τὰ μὲν παλαιὰ τῶν ξύλων ὑφαιρȣ͂ντες, ἄλλα δὲ ἐμβάλλοντες ἰσχυρὰ καὶ συμπηγνύντες, ȣ̓́τως ὥςε καὶ τοῖς φιλοσόφοις εἰς τὸν αὐξόμενον [5] λόγον ἀμφιδοξȣ́μενον παράδει-

1 Br. mavult ὀγδόῃ ex collat. cap. ult. ὀγδόῃ πυανεψιῶνος, ἐν ᾗ — ἐπανῆλθεν. — Vulc. πανεψιῶνος.

2 Post hæc inserendum suspicatur R. καὶ αὐτὸν, ob insequens ὥσπερ τότε — cf. c. 18.

3 Hi versus alibi aliter leguntur, ex. gr. pro φέρειν, φέρε & φέροι; pro μέλι ἐν κοτύλῃ, μέλιτος κοτύλην; pro ἀναψήσαϑαι, ἀποψήσαϑαι, ὑποψήσαϑαι, ἐπικρήσαϑαι, ἀνεψήσαϑαι; pro εὔζωρον, εὐζώρȣ; pro ὡς ἂν, ὅπως; pro καϑεύδῃ, καϑεύσῃς. Quare non mirum, quod Interpp. in illis explicandis multum dissentiant, aliisque alia placeant. Sensum, quem R. in v. tertio supponit, non sine causa rejecisse videtur G. B. de Schirach Biographien des Plutarchs mit Anm.

4 B. 1. 2. add. ἐκεῖνο; nec non lin. seq post ἐσώθη — φημὶ δή.

5 V. αὐξομένων; — Dacer. corrigit τῶν αὐξανομένων.

ράδειγμα τὸ πλοῖον εἶναι, τῶν μὲν, ὡς τὸ αὐτὸ, τῶν δὲ, ὡς οὐ τὸ αὐτὸ διαμένει, λεγόντων. ἄγουσι δὲ καὶ τὴν τῶν ὠχοφορίων ἑορτὴν, Θησέως καταστήσαντος. οὐ γὰρ ἁπάσας αὐτὸν ἐξαγαγεῖν τὰς λαχούσας τότε παρθένους, ἀλλὰ τῶν συνήθων νεανίσκων δύο θηλυφανεῖς μὲν ὀφθῆναι καὶ νεαροὺς, ἀνδρώδεις δὲ ταῖς ψυχαῖς [1] καὶ προθύμους, λουτροῖς τε θερμοῖς καὶ σκιατροφίαις, καὶ ταῖς περὶ τὴν κόμην καὶ λειότητα [2] καὶ χροιὰν ἀλοιφαῖς καὶ κοσμήσεσιν ὡς ἔστιν ἐξαλλάξαντα κομιδῇ, καὶ διδάξαντα φωνὴν καὶ σχῆμα καὶ βάδισιν ὡς ἔνι μάλιστα παρθένοις ὁμοιοῦσθαι, καὶ μηδὲν φαίνεσθαι διαφέροντας, ἐμβαλεῖν εἰς τὸν τῶν παρθένων ἀριθμὸν, καὶ διαλαθεῖν ἅπαντας· ἐπεὶ δὲ ἐπανῆλθεν, αὐτόν τε πομπεῦσαι καὶ τοὺς νεανίσκους οὕτως ἀμπεχομένους, ὡς νῦν ἀμπέχονται [3] τοὺς ὀχοὺς φέροντες. φέρουσι δὲ, Διονύσῳ καὶ Ἀριάδνῃ χαριζόμενοι, διὰ τὸν μῦθον· ἢ μᾶλλον, ὅτι συγκομιζομένης ὀπώρας ἐπανῆλθον· αἱ δὲ δειπνοφόροι παραλαμβάνονται, καὶ κοινωνοῦσι τῆς θυσίας, ἀπομιμούμεναι τὰς μητέρας [4] ἐκείνων τῶν λαχόντων. ἐπεφοίτων γὰρ αὐτοῖς ὄψα καὶ σιτία κομίζουσαι· καὶ μῦθοι λέγονται, διὰ τὸ κἀκείνας εὐθυμίας ἕνεκεν καὶ παρηγορίας μύθους διεξιέναι τοῖς παισίν. ταῦτα μὲν οὖν καὶ Δήμων ἱστόρηκεν. ἐξῃρέθη δὲ καὶ τέμενος αὐτῷ, καὶ τοὺς ἀπὸ τῶν παρασχόντων τὸν δασμὸν οἴκων [5] ἔταξεν εἰς θυσίαν αὐτῷ τελεῖν ἀποφοράς· καὶ τῆς θυσίας ἐπεμελοῦντο Φυταλίδαι, Θησέως ἀποδόντος αὐτοῖς ἀμοιβὴν τῆς φιλοξενίας.



1 V. τὰς ψυχάς; ut paulo post ἐναλλάξαντα pro ἐξαλλ.

2 R. quærit: annon legendum: καὶ εἰς (v. πρὸς) λειότητα — ἀλοιφαῖς; fatetur tamen, locum hunc, ut male tornatum, ipsi displicere.

3 R inserit articul. οἱ τοὺς ὀχούς.

4 V. ἀμπεχόμενοι τὰς μήτρας.

5 B. 1. 2. οἴκους; & V. ἀποτελεῖν pro τελεῖν.

XXIV. Μετὰ δὲ τὴν Αἰγέως τελευτὴν, μέγα καὶ θαυμαςὸν ἔργον εἰς νȣ̃ν βαλόμενος, συνῴκισε τȣ̀ς τὴν Ἀττικὴν κατοικȣ̃ντας εἰς ἓν ἄςυ, καὶ μιᾶς πόλεως ἕνα δῆμον ἀπέφηνε, τέως [1] σποράδας ὄντας καὶ δυσανακλήτȣς πρὸς τὸ κοινὸν πάντων [2] συμφέρον. ἔςι δ' ὅτε καὶ διαφερομένȣς ἀλλήλοις καὶ πολεμȣ̃ντας, ἐπιὼν ἀνέπειθε κατὰ δήμȣς καὶ γένη· τῶν μὲν ἰδιωτῶν καὶ πενήτων ἐνδεχομένων ταχὺ τὴν παράκλησιν αὐτȣ̃· τοῖς δὲ δυνατοῖς ἀβασίλευτον πολιτείαν προτείνων καὶ [3] δημοκρατίαν, αὐτῷ μόνον ἄρχοντι πολέμȣ καὶ νόμων φύλακι χρησομένην [4], τῶν δὲ ἄλλων παρέξȣσαν ἅπασιν ἰσομοιρίαν. τȣ̀ς μὲν ταῦτα ἔπειθεν [5]. οἱ δὲ τὴν δύναμιν αὐτȣ̃ δεδιότες, μεγάλην ȣ̃σαν ἤδη, καὶ τὴν τόλμαν, ἐβȣ́λοντο πειθόμενοι μᾶλλον, ἢ βιαζόμενοι, ταῦτα συγχωρεῖν. καταλύσας ȣ̃ν τὰ παρ' ἑκάςοις πρυτανεῖα καὶ βȣλευτήρια καὶ ἀρχὰς, ἓν δὲ ποιήσας ἅπασι κοινὸν ἐνταῦθα πρυτανεῖον καὶ βȣλευτήριον, ὅπȣ νῦν ἵδρυται τὸ ἄςυ [6], τήν τε πόλιν Ἀθήνας προσηγόρευσε, καὶ Παναθήναια θυσίαν ἐποίησε κοινήν. ἔθυσε δὲ καὶ μετοίκια [7] τῇ ἕκτῃ ἐπὶ δέκα τȣ̃ Ἑκατομβαιῶνος, ἣν ἔτι νῦν θύȣσι. καὶ τὴν βασιλείαν ἀφεὶς, ὥσπερ ὡμολόγησε, διεκόσμει τὴν πολιτείαν, ἀπὸ Θεῶν ἀρχόμενος·

1 B. 1. 2. τȣ̀ς τέως; unde R. ἀπέφηνεν, ὡς τέως suspicatur.
2 V. πᾶσι.
3 Forte καὶ τῷ δήμῳ. R.
4 V. χρωμένην.
5 B. 1. 2. μὲν κατὰ ἔπειθεν ταῦτα. R. suspicatur τȣ̀ς μὲν ἑκόντας ταῦτα ἔπειθεν.

6 Hanc textus interpunctionem debemus Reiskio, a vulgata, quae post ἵδρυται per comma distinguit, τὸ ἄςυ autem cum sequentibus conjungit, diversam, & ad rei sensum multo aptiorem. Ἄςυ convenit h. l. singulari urbis parti, in qua fuerat Prytaneum.

7 Meziriacus emendat συνοίκια. Sed utroque fortasse nomine gaudebat hoc festum, cum utrumque, συνοικεῖν & μετοικεῖν caussam illud celebrandi satis apte exprimat.

μενος· ἧκε γὰρ αὐτῷ χρησμὸς ἐκ Δελφῶν μαντευομένῳ περὶ τῆς πόλεως·

Αἰγεΐδη Θησεῦ Πιτθηΐδος ἔκγονε κούρης,
Πολλαῖς τοι πολίεσσι [1] πατὴρ ἐμὸς ἐγκατέθηκε
Τέρματα καὶ κλωστῆρας ἐν ὑμετέρῳ πτολιέθρῳ.
Ἀλλὰ σὺ μή τι λίην πεπονημένος ἐνδόθι θυμὸν
Βουλεύειν· ἀσκὸς γὰρ ἐν οἴδματι ποντοπορεύσῃ [2].

τοῦτο δὲ καὶ Σιβύλλαν ὕστερον ἀποσοματίσαι πρὸς τὴν πόλιν ἱστοροῦσιν [3] ἀναφθεγξαμένην·

Ἀσκὸς βαπτίζῃ, δῦναι δέ τοι οὐ θέμις ἐστίν.

XXV. Ἔτι δὲ μᾶλλον αὐξῆσαι τὴν πόλιν βουλόμενος, ἐκάλει πάντας ἐπὶ τοῖς ἴσοις, καὶ τὸ Δεῦρ' ἴτε πάντες λεῴ, κήρυγμα Θησέως γενέσθαι φασί, πανδημίαν τινὰ καθιστάντος. οὐ μὴν ἄτακτον, οὐδὲ μεμιγμένην περιεῖδεν ὑπὸ πλήθους ἐπιχυθέντος ἀκρίτου γενομένην τὴν δημοκρατίαν, ἀλλὰ πρῶτος [4] ἀποκρίνας χωρὶς εὐπατρίδας καὶ γεωμόρους καὶ δημιουργοὺς, εὐπατρίδαις μὲν γινώσκειν τὰ θεῖα, καὶ παρέχειν ἄρχοντας ἀποδοὺς, καὶ νόμων διδασκάλους εἶναι, καὶ ὁσίων καὶ ἱερῶν ἐξηγητάς· τοῖς ἄλλοις δὲ πολίταις [5] ὥσπερ εἰς ἴσον κατέστησε, δόξῃ μὲν εὐπατριδῶν, χρείᾳ δὲ γεωμόρων, πλήθει δὲ τῶν δημιουργῶν ὑπερέχειν δοκούντων. ὅτι δὲ πρῶτος ἀπέκλινε πρὸς τὸν ὄχλον, ὡς Ἀριστοτέλης φησὶ, καὶ ἀφῆκε τὸ μοναρχεῖν, ἔοικε μαρτυρεῖν καὶ Ὅμηρος ἐν νεῶν καταλόγῳ, μόνους Ἀθηναίους [6] δῆμον προσαγορεύσας. ἔκοψε δὲ καὶ νόμισμα,



1 Junt. & Ald. πολίεσσι.

2 Reiskio verbum ποντοπορεύεσθαι non videtur esse analogicum, sed ποντοπορεῖν. Legendum ergo putat ποντοπορήσεις, in act. aut ποντοπορήσῃ in med.

3 B 1. 2. inserunt τοῖς; hinc Br. suspicatur τινὲς ἱστορ.

4 B. 1. 2 πρῶτα; iidem inserunt post χωρὶς — τοὺς.

5 Br. πολίτας mavult. R. susp. τοῖς ἄλλοις πολίταις πάντα εἰς ἴσον κατέστησε.

6 Junt. habet Ἀθηναίων, quam lectionem R. cum reliquis interpp. merito rejicit.

βȣν ἐγχαράξας, ἢ διὰ τὸν Μαραθώνιον ταῦρον, ἢ διὰ τὸν Μίνω ϛρατηγὸν, ἢ πρὸς γεωργίαν τȣς πολίτας παρακαλῶν. ἀπ' ἐκείνȣ δέ φασι τὸ ἑκατόμβοιον καὶ τὸ δεκάβοιον ὀνομασθῆναι. προσκτησάμενος δὲ τῇ Ἀττικῇ τὴν Μεγαρικὴν βεβαίως, τὴν θρυλλȣμένην ἐν Ἰσθμῷ ϛήλην ἔϛησεν, ἐπιγράψας τὸ διορίζον ἐπίγραμμα τὴν χώραν δυσὶ τριμέτροις, ὧν ἔφραζε τὸ μὲν [1] πρὸς ἕω·

Τάδ' ȣχὶ Πελοπόννησος, ἀλλ' Ἰωνία.

τὸ δὲ πρὸς ἑσπέραν·

Τάδ' ἐϛὶ Πελοπόννησος, ȣκ Ἰωνία.

καὶ τὸν ἀγῶνα πρῶτος ἔθηκε κατὰ ζῆλον Ἡρακλέȣς, ὡς δι' ἐκεῖνον Ὀλύμπια τῷ Διὶ, καὶ δι' αὐτὸν Ἴσθμια τῷ Ποσειδῶνι φιλοτιμηθεὶς ἄγειν τȣς Ἕλληνας. ὁ γὰρ ἐπὶ Μελικέρτῃ τεθεὶς [2] αὐτόθι, νυκτὸς ἐδρᾶτο, τελετῆς ἔχων μᾶλλον, ἢ θέας καὶ πανηγυρισμȣ, τάξιν. ἔνιοι δέ φασιν ἐπὶ Σκίρωνι τὰ Ἴσθμια τεθῆναι, τȣ Θησέως ἀφοσιȣμένȣ τὸν φόνον διὰ τὴν συγγένειαν· Σκίρωνα γὰρ υἱὸν εἶναι Κανήθȣ καὶ Ἡνιόχης [3] τῆς Πιτθέως. οἱ δὲ Σίννιν [4], ȣχὶ Σκίρωνα· καὶ τὸν ἀγῶνα τεθῆναι διὰ τȣτον ὑπὸ Θησέως, ȣ δι' ἐκεῖνον. ἔταξεν ȣν καὶ διωρίσατο πρὸς τȣς Κορινθίȣς, Ἀθηναίων τοῖς ἀφικνȣμένοις ἐπὶ τὰ Ἴσθμια παρέχειν προεδρίαν, ὅσον ἂν τόπον ἐπίσχῃ καταπετασθὲν τὸ τῆς θεωρίδος νεὼς ἱϛίον, ὡς Ἑλλάνικος καὶ Ἄνδρων ὁ Ἁλικαρνασσεὺς ἱϛορήκασιν.

XXVI. Εἰς δὲ τὸν πόντον ἔπλευσε τὸν Εὔξεινον, ὡς μὲν Φιλόχορος καί τινες ἄλλοι λέγȣσι, μεθ' Ἡρακλέȣς ἐπὶ τὰς Ἀμαζόνας συϛρατεύσας, καὶ γέρας ἀριϛεῖον Ἀντιόπην

1 Vulg. τὰ μὲν, pro quo R. de ſuo dedit τὸ — referendum ſive ad ἐπίγραμμα, ſive ad τρίμετρον (ἔπος). Anon. ἔφραζεν ὁ μὲν πρὸς cet. B. 1. 2. δι' ὧν ἔφραζε.

2 B. 1. 2. ἀγὼν τεθεὶς.

3 V. Κανήθης καὶ Ἡνιόχȣ.

4 B. 1. 2. Σίτιν; uti paulo poſt pro διὰ τȣτον, δι' αὐτὸν; & pro θεωρίδος νεὼς leg. δωρίδος.

τιόπην ἔλαβεν· οἱ δὲ πλείȣς, ὧν ἐςὶ καὶ Φερεκύδης καὶ Ἑλλάνικος καὶ Ἡρόδωρος, ὕςερον φασὶν Ἡρακλέȣς ἰδιόςολον πλεῦσαι τὸν Θησέα, καὶ τὴν Ἀμαζόνα λαβεῖν αἰχμάλωτον· πιθανώτερα [1] λέγοντες. ȣ̓δεὶς γὰρ ἄλλος ἱςόρηται τῶν μετ᾽ αὐτȣ̃ [2] ςρατευσάντων Ἀμαζόνα λαβεῖν αἰχμάλωτον. Βίων δὲ, καὶ ταύτην παρακρȣσάμενον οἴχεσθαι λαβόντα· φύσει γὰρ ȣ̓́σας τὰς Ἀμαζόνας φιλάνδρȣς [3], ȣ̓́τε φυγεῖν τὸν Θησέα προσβάλλοντα τῇ χώρᾳ, ἀλλὰ καὶ ξένια πέμπειν· τὸν δὲ, τὴν κομίζȣσαν ἐμβῆναι παρακαλεῖν εἰς [4] τὸ πλοῖον· ἐμβάσης δὲ, ἀναχθῆναι. Μενεκράτης δέ τις ἱςορίαν περὶ Νικαίας τῆς ἐν Βιθυνίᾳ πόλεως ἐκδεδωκὼς, Θησέα φησὶ τὴν Ἀντιόπην ἔχοντα διατρίψαι περὶ τȣ́τȣς τȣ̀ς τόπȣς· τυγχάνειν δὲ συςρατεύοντας αὐτῷ τρεῖς νεανίσκȣς ἐξ Ἀθηνῶν, ἀδελφȣ̀ς ἀλλήλων [5], Εὔνεων καὶ Θόαντα καὶ Σολόοντα. τȣ́τον ȣ̃ν ἐρῶντα τῆς Ἀντιόπης, καὶ λανθάνοντα τȣ̀ς ἄλλȣς, ἐξειπεῖν πρὸς ἕνα τῶν συνήθων· ἐκείνȣ δὲ [6] περὶ τȣ́των ἐντυχόντος τῇ Ἀντιόπῃ, τὴν μὲν τὴν [7] πεῖραν ἰσχυρῶς ἀποτρίψασθαι, τὸ δὲ πρᾶγμα σωφρόνως ἅμα καὶ πρᾴως ἐνεγκεῖν, καὶ πρὸς τὸν Θησέα μὴ κατηγορῆσαι· τȣ̃ δὲ Σολόοντος, ὡς ἀπέγνω, ῥίψαντος ἑαυτὸν εἰς ποταμόν τινα καὶ διαφθαρέντος, ᾐσθημένον [8] τότε τὴν αἰτίαν καὶ τὸ πάθος τȣ̃ νεανίσκȣ τὸν Θησέα, βαρέως ἐνεγκεῖν· καὶ δυσφορȣ̃ντα, λόγιόν τι πυθόχρηςον ἀνενεγκεῖν πρὸς ἑαυτόν·

1 B. 1. 2. πιθανώτερον.

2 Cum Hercule Vulc. μετ᾽ αὐτῷ.

3 Post φιλάνδρȣς Reiskio deesse videtur ȣ̓κ ἀποςρέψασθαι, vel ȣ̓κ ἀποδιῶξαι, vel tale quid.

4 εἰς deest Juntinæ.

5 V. ἀλλήλȣς.

6 B. 1. 2. ald. εἰπεῖν.

7 Prius τὴν refer. ad Antiopam; posterius R. de suo addidit.

8 Vett. Edit. Junt. Ald. Cratandr. dant, sed vitiose, ᾐσθημένȣ.

τόν· εἶναι γὰρ αὐτῷ προστεταγμένον ἐν Δελφοῖς ὑπὸ τῆς Πυθίας, ὅταν ἐπὶ ξένης ἀνιαθῇ μάλιστα καὶ περίλυπος γένηται, πόλιν ἐκεῖ κτίσαι, καὶ τῶν ἀμφ' αὐτὸν τινὰς ἡγεμόνας καταλιπεῖν. ἐκ δὲ τούτου, τὴν μὲν πόλιν, ἣν ἔκτισεν, ἀπὸ τοῦ Θεοῦ Πυθόπολιν προσαγορεῦσαι· Σολόοντα δὲ, τὸν πλησίον ποταμὸν, ἐπὶ τιμῇ τοῦ νεανίσκου. καταλιπεῖν δὲ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οἷον ἐπιστάτας καὶ νομοθέτας, καὶ σὺν αὐτοῖς Ἕρμον, ἄνδρα τῶν Ἀθήνησιν εὐπατριδῶν· ἀφ' οὗ καὶ τόπον Ἑρμοῦ [1] καλεῖν οἰκίαν [2] τοὺς Πυθοπολίτας· οὐκ ὀρθῶς τὴν δευτέραν συλλαβὴν περισπῶντας, καὶ τὴν δόξαν ἐπὶ Θεὸν ἀπὸ ἥρωος μετατιθέντας.

XXVII. Πρόφασιν μὲν οὖν ταύτην ὁ τῶν Ἀμαζόνων πόλεμος ἔσχε. φαίνεται δὲ μὴ φαῦλον αὐτοῦ, μηδὲ γυναικεῖον γενέσθαι τὸ ἔργον. οὐ γὰρ ἂν ἐν ἄστει κατεστρατοπέδευσαν, οὐδὲ τὴν μάχην συνῆψαν ἐν χρῷ περὶ τὴν Πνύκα καὶ τὸ Μουσεῖον [3], εἰ μὴ κρατοῦσαι τῆς χώρας, ἀδεῶς τῇ πόλει προσέμιξαν. εἰ μὲν οὖν, ὡς Ἑλλάνικος ἱστόρηκε, τῷ Κιμμερικῷ Βοσπόρῳ παγέντι διαβᾶσαι [4] περιῆλθον, ἔργον ἐστὶ πιστεῦσαι. τὸ δὲ ἐν τῇ πόλει σχεδὸν αὐτὰς ἐνστρατοπεδεῦσαι, μαρτυρεῖται καὶ τοῖς ὀνόμασι τῶν τόπων, καὶ ταῖς θήκαις τῶν πεσόντων. πολὺν δὲ χρόνον ὄκνος ἦν καὶ μέλλησις ἀμφοτέροις τῆς ἐπιχειρήσεως· τέλος δὲ Θησεὺς κατά τι λόγιον τῷ Φόβῳ [5] σφαγιασάμενος, συνῆψεν αὐταῖς. ἡ μὲν οὖν μάχη Βοηδρομιῶνος ἐγένετο μηνὸς, ἐφ' ᾗ τὰ βοηδρόμια μέχρι νῦν Ἀθηναῖοι θύουσιν. ἱστορεῖ δὲ Κλείδημος, ἐξακριβοῦν τὰ καθ' ἕκαστα βουλόμενος, τὸ μὲν εὐώνυμον τῶν Ἀμαζόνων κέρας ἐπιστρέφειν

1 Recte repositum pro Ἕρμου, quod habent edd. vet.
2 Deest B. 1. 2.
3 B. 1. 2. add. πότε.
4 R. mavult ἐπιδιαβᾶσαι παρῆλθον scil. εἰς Ἀθήνας.
5 B. 1. 2. τῷ Φοίβῳ; uti & edit. Junt. Ald. Crat.

φειν πρὸς τὸ νῦν καλέμενον Ἀμαζόνειον, τῷ δὲ δεξιῷ πρὸς τὴν Πνύκα κατὰ τὴν Χρυσᾶν Νίκην [1]. μάχεσθαι δὲ πρὸς τῦτο τὺς Ἀθηναίυς ἀπὸ τῦ Μυσείυ ταῖς Ἀμαζόσι συμπεσόντας· καὶ τάφυς τῶν πεσόντων περὶ τὴν πλατεῖαν εἶναι τὴν φέρυσαν ἐπὶ τὰς πύλας [2], παρὰ τὸ Χαλκώδοντος ἡρῷου, ἃς νῦν Πειραϊκὰς ὀνομάζυσι. καὶ ταύτῃ μὲν ἐκβιασθῆναι μέχρι καὶ [3] τῶν Εὐμενίδων, καὶ ὑποχωρῆσαι ταῖς γυναιξίν· ἀπὸ δὲ Παλλαδίυ καὶ Ἀρδητῦ καὶ Λυκίυ προσβαλόντας, ὤσασθαι τὸ δεξιὸν [4] αὐτῶν ἄχρι τῦ ϛρατοπέδυ, καὶ πολλὰς καταβαλεῖν. τετάρτῳ δὲ μηνὶ συνθήκας γενέσθαι διὰ τῆς Ἱππολύτης· Ἱππολύτην γὰρ ὗτος ὀνομάζει τὴν τῷ Θησεῖ συνοικῦσαν, ὐκ Ἀντιόπην. ἔνιοι δέ φασι μετὰ τῦ Θησέως μαχομένην πεσεῖν τὴν ἄνθρωπον, ὑπὸ Μολπαδίας ἀκοντισθεῖσαν, καὶ τὴν ϛήλην τὴν παρὰ [5] τὸ τῆς γῆς τῆς Ὀλυμπίας ἱερὸν [6], ἐπὶ ταύτῃ κεῖσθαι. καὶ θαυμαϛὸν ὐκ ἔϛιν ἐπὶ πράγμασιν ὗτω παλαιοῖς πλανᾶσθαι τὴν ἱϛορίαν· ἐπεὶ καὶ τὰς τετρωμένας φασὶ τῶν Ἀμαζόνων ὑπ' Ἀντιόπης εἰς Χαλκίδα λάθρα διαπεμφθείσας, τυγχάνειν ἐπιμελείας, καὶ ταφῆναι τινὰς ἐκεῖ περὶ τὸ νῦν Ἀμαζόνειον καλέμενον. ἀλλὰ τῦ γε τὸν πόλεμον εἰς σπονδὰς τελευτῆσαι, μαρτύριόν ἐϛιν ἥτε τῦ τόπυ κλῆσις τῦ παρὰ [7] τὸ Θησεῖον, ὅνπερ Ὁρκωμόσιον καλῦσιν, ἥτε γινομένη πάλαι θυσία ταῖς Ἀμαζόσι πρὸ τῶν Θησείων. δεικνύυσι δὲ καὶ Μεγαρεῖς Ἀμαζόνων θήκην παρ' αὐτοῖς, ἐπὶ τὸν καλέμενον Ῥῦν βαδίζυσιν [8] ἐξ ἀγο-

1 Sic R. de suo pro vulg. ἥκειν — *illo in tractatu, ubi nunc est Aureæ Victoriæ simulacrum.*

2 R. suspicatur πύλας, τὰς παρὰ cet.

3 Ita R. transposuit vocabula in vulgatis ordine inverso exhibita.

4 R. vult ἐπώνυμον.

5 V. περὶ τό.

6 B. 1. 2. add. ὖσαν.

7 R. mavult περί.

8 V. καὶ βαδίζυσιν. Hinc Br. καταβαδίζυσιν.

ἀγορᾶς, ὅπȣ τὸ ῥομβοειδές. λέγεται δὲ καὶ περὶ Χαιρώνειαν ἑτέρας ἀποθανεῖν, καὶ ταφῆναι παρὰ τὸ ῥευμάτιον, ὃ πάλαι μὲν, ὡς ἔοικε [1], Θερμώδων, Αἵμων δὲ νῦν καλεῖται· περὶ ὧν ἐν τῷ Δημοσθένȣς βίῳ γέγραπται. Φαίνονται δὲ μηδὲ Θεσσαλίαν ἀπραγμόνως αἱ Ἀμαζόνες διελθȣ̃σαι. τάφοι γὰρ αὐτῶν ἔτι καὶ νῦν δείκνυνται περὶ τὴν Σκοτȣσσαίαν καὶ τὰς Κυνὸς κεφαλάς.

XXVIII. Ταῦτα μὲν ȣ̃ν ἄξια μνήμης περὶ [2] τῶν Ἀμαζόνων. ἣν γὰρ ὁ τῆς Θησηΐδος ποιητὴς Ἀμαζόνων ἐπανάςασιν γέγραφε, Θησεῖ γαμȣ̃ντι Φαῖδραν τῆς Ἀντιόπης ἐπιθεμένης, καὶ τῶν μετ' αὐτῆς Ἀμαζόνων ἀμυνομένων, καὶ κτείνοντος αὐτὰς Ἡρακλέȣς, περιφανῶς ἔοικε μύθῳ καὶ πλάσματι. τῆς δὲ Ἀντιόπης ἀποθανȣ́σης, ἔγημε Φαῖδραν, ἔχων υἱὸν Ἱππόλυτον ἐξ Ἀντιόπης· ὡς δὲ Πίνδαρός φησι, Δημοφῶντα. τὰς δὲ περὶ ταύτην καὶ τὸν υἱὸν αὐτȣ̃ δυςυχίας, ἐπεὶ μηδὲν ἀντιπίπτει παρὰ τῶν ἱςορικῶν τοῖς τραγικοῖς, ȣ̔́τως ἔχειν θετέον, ὡς ἐκεῖνοι πεποιήκασιν ἅπαντες.

XXIX. Εἰσὶ μέντοι λόγοι περὶ γάμων Θησέως καὶ ἕτεροι, τὴν σκηνὴν διαπεφευγότες, ȣ̈́τε ἀρχὰς εὐγνώμονας, ȣ̈́τε εὐτυχεῖς τελευτὰς ἔχοντες. καὶ γὰρ Ἀναξώ τινα Τροιζηνίαν ἁρπάσαι λέγεται, καὶ Σίννιν [3] ἀποκτείνας καὶ Κερκυόνα, συγγενέσθαι βίᾳ ταῖς θυγατράσιν αὐτῶν· γῆμαι δὲ καὶ Περίβοιαν τὴν Αἴαντος μητέρα, καὶ Φερέβοιαν αὖθις, καὶ Ἰόπην τὴν Ἰφικλέȣς· καὶ διὰ τὸν Αἴγλης ἔρωτα τῆς Πανοπέως, ὥσπερ εἴρηται, τὴν Ἀριάδνης ἀπόλειψιν αἰτιῶνται μὴ καλὴν γενέσθαι, μηδὲ πρέπȣσαν· ἐπὶ πᾶσι δὲ τὴν Ἑλένης ἁρπαγὴν, πολέμȣ μὲν ἐμπλῆσαι τὴν Ἀττικὴν, αὐτῷ δὲ εἰς φυγὴν καὶ ὄλεθρον τελευτῆσαι· περὶ ὧν ὀλίγων ὕςερον εἰρήσεται. πολλῶν δὲ τότε τοῖς ἀρίςοις ἄθλων γενομένων, Ἡρόδωρος μὲν ȣ̓δε-

1 B. 1. 2. ἔοικεν, ἐκαλεῖτο.

2 B. 1. 2. leg. καὶ περί.

3 B. 1. 2. Σίννιον.

ἐδενὸς οἴεται τὸν Θησέα μεταχεῖν, ἀλλὰ μόνοις Λαπίθαις τῆς κενταυρομαχίας· ἕτεροι δὲ καὶ μετὰ Ἰάσονος ἐν Κόλχοις γενέϑαι [1], καὶ Μελεάγρῳ συνεξελεῖν τὸν κάπρον· καὶ διὰ τῦτο παροιμίαν εἶναι τὴν, Οὐκ ἄνευ Θησέως· αὐτὸν μέντοι μηδενὸς συμμάχε δεηθέντα, πολλὲς καὶ καλὲς ἄθλες κατεργάσαϑαι [2]. καὶ τὸν, Ἄλλος ἔτος Ἡρακλῆς, λόγον ἐπ' ἐκείνε κρατῆσαι. συνέπραξε δὲ καὶ Ἀδράςῳ τὴν ἀναίρεσιν τῶν ὑπὸ τῇ Καδμείᾳ πεσόντων, ἐχ ὡς Εὐριπίδης ἐποίησεν ἐν τραγῳδίᾳ, μάχῃ τῶν Θηβαίων κρατήσας, ἀλλὰ πείσας [3] καὶ σπεισάμενος· ἔτω γὰρ οἱ πλεῖςοι λέγεσι· Φιλόχορος δὲ καὶ σπονδὰς περὶ νεκρῶν ἀναιρέσεως γενέϑαι πρώτας ἐκείνας [4]. ὅτι δὲ Ἡρακλῆς πρῶτος ἀπέδωκε [5] νεκρὲς τοῖς πολεμίοις, ἐν τοῖς περὶ Ἡρακλέες γέγραπται. ταφαὶ δὲ τῶν μὲν πολλῶν ἐν Ἐλευθεραῖς δείκνυνται, τῶν δὲ ἡγεμόνων, περὶ Ἐλευσῖνα, καὶ τῦτο Θησέως Ἀδράςῳ χαρισαμένε. καταμαρτυρῦσι δὲ τῶν Εὐριπίδε Ἱκετίδων [6] οἱ Αἰσχύλε Ἐλευσίνιοι, ἐν οἷς καὶ ταῦτα [7] λέγων ὁ Θησεὺς πεποίηται.

XXX. Τὴν δὲ πρὸς Πειρίθεν φιλίαν τῦτον τὸν τρόπον αὐτῷ γενέϑαι λέγεσι. δόξαν εἶχεν [8] ἐπὶ ῥώμῃ καὶ ἀνδρείᾳ μεγίςην· βελόμενος ἔν ὁ Πειρίθες ἐξελέγξαι καὶ λαβεῖν διάπειραν, ἠλάσατο [9] βῦς ἐκ Μαραθῶνος αὐτῦ· καὶ πυθόμενος διώκειν μετὰ τῶν ὅπλων ἐκεῖνον, ἐκ ἔφυγεν,

1 B. 1. 2. add. Θησέα.

2 V. ἀπεργάσαϑαι.

3 Sic prima correxit Aldina vitium Juntinæ — σπείσας, quod & legitur in B. 1. 2. 3.

4 V. πρώτας ἐκείνας γενέϑαι φησί.

5 al. ἐπέδωκε. R. ex Junt. & Ald. reſtituit ἀπέδωκε.

6 Legitur etiam: καὶ μαρτυρῦσι δὲ ταῖς Εὐριπίδε Ἱκέτισιν, ſenſu plane contrario.

7 R. ſuſp. καὶ αὐτὸς ταῦτα. G. B. de Schirach cum vet. Interprete legendum cenſet vertitque τὰ αὐτά.

8 Junt. dat vitioſe ἔχων.

9 V. ἀπήλασε.

γεν, ἀλλ' ἀναςρέψας ἀπήντησε. ὡς δὲ εἶδεν ἅτερος τὸν ἕτερον, καὶ τὸ κάλλος ἐθαύμασε καὶ τὴν τόλμαν ἠγάσθη, μάχης μὲν ἔσχοντο [1], Πειρίθȣς δὲ πρότερος τὴν δεξιὰν προτείνας, ἐκέλευσεν αὐτὸν γενέσθαι δικαςὴν τὸν Θησέα τῆς βοηλασίας· ἑκὼν γὰρ ὑφέξειν, ἣν ἂν ὁρίσῃ δίκην ἐκεῖνος. Θησεὺς δὲ καὶ τὴν δίκην ἀφῆκεν αὐτῷ, καὶ πρȣκαλεῖτο [2] φίλον εἶναι καὶ σύμμαχον. ἐποιήσαντο δὲ τὴν φιλίαν ἔνορκον. ἐκ δὲ τȣ́τȣ γαμῶν [3] ὁ Πειρίθȣς Δηϊδάμειαν, ἐδεήθη τȣ̃ Θησέως ἐλθεῖν, καὶ τὴν χώραν ἱςορῆσαι, καὶ συγγενέσθαι τοῖς Λαπίθαις. ἐτύγχανε δὲ καὶ τȣ̀ς Κενταύρȣς κεκληκὼς ἐπὶ τὸ δεῖπνον. ὡς δὲ ἠσέλγαινον ὕβρει, καὶ μεθύοντες ȣ̓κ ἀπείχοντο τῶν γυναικῶν, ἐτράποντο πρὸς ἄμυναν οἱ Λαπίθαι· καὶ τȣ̀ς μὲν ἔκτειναν αὐτῶν, τȣ̀ς δὲ, πολέμῳ κρατήσαντες, ὕςερον ἐξέβαλον ἐκ τῆς χώρας, τȣ̃ Θησέως αὐτοῖς συμμαχομένȣ καὶ συμπολεμȣ̃ντος. Ἡρόδωρος δὲ ταῦτα πραχθῆναι φησὶν ȣ̓χ ȣ̃τως, ἀλλὰ τȣ̃ πολέμȣ συνεςῶτος ἤδη, τὸν Θησέα βοηθȣ̃ντα τοῖς Λαπίθαις παραγενέσθαι, καὶ τότε πρῶτον ὄψει γνωρίσαι τὸν Ἡρακλέα, ποιησάμενον ἔργον ἐντυχεῖν αὐτῷ περὶ Τραχῖνα πεπαυμένῳ [4] πλάνης ἤδη καὶ ἄθλων· γενέσθαι δὲ μετὰ τιμῆς καὶ φιλοφροσύνης καὶ πολλῶν ἐπαίνων ἀμφοτέροις τὴν ἔντευξιν. ȣ̓ μὴν ἀλλὰ μᾶλλον ἄν τις πρόσχοι τοῖς πολλάκις ἐντυχεῖν αὐτȣ̀ς ἀλλήλοις [5] ἱςορȣ̃σι· καὶ τὴν μύησιν Ἡρακλεῖ γενέσθαι, Θησέως σπȣδάσαντος, καὶ τὸν πρὸ τῆς μυήσεως καθαρμὸν ὡς δεομένῳ διά τινας πράξεις ἀβȣλήτȣς.

XXXI. Ἤδη δὲ πεντήκοντα ἔτι γεγονὼς, ὥς φησὶν Ἑλλάνικος, ἔπραξε τὰ περὶ τὴν Ἑλένην, ȣ̓ καθ' ὥραν [6].

ὅθεν

1 B. 1. 2. ἴσχοντο.

2 V. προσεκαλεῖτο.

3 B. 1. 2. γήμας.

4 V. πεπαυμένων.

5 Ald. prima & insecutæ deinceps edit. ἀλλήλȣς. Rectius Junt. dativ. cum MSS. B. 1. 2. 3. & Anon.

6 B. 1. 2. add. ἡλικίας.

ὅθεν ὡς δὴ μέγιστον ἐπανορθȣ́μενοί τȣ̃το τῶν ἐγκλημάτων ἔνιοι, λέγȣσιν ȣ̓κ αὐτὸν ἁρπάσαι τὴν Ἑλένην, ἀλλὰ Ἴδα καὶ Λυγγέως ἁρπασάντων [1], παρακαταθήκην λαβόντα τηρεῖν, καὶ μὴ προΐεσθαι τοῖς Διοσκόροις ἀπαιτȣ̃σιν· ἢ νὴ Δία Τυνδάρεω παραδόντος αὐτȣ̃ [2], φοβηθέντος Ἐναρσφόρον τὸν Ἱπποκόωντος, ἔτι νηπίαν ȣ̓̃σαν βιαζόμενον τὴν Ἑλένην λαβεῖν [3]. τὰ δὲ εἰκότα καὶ πλείστȣς ἔχοντα μάρτυρας, τοιαῦτά ἐστιν. ἦλθον μὲν εἰς Σπάρτην ἀμφότεροι, καὶ τὴν κόρην ἐν ἱερῷ Ἀρτέμιδος Ὀρθίας χορεύȣσαν ἁρπάσαντες, ἔφυγον. τῶν δὲ πεμφθέντων ἐπὶ τὴν δίωξιν, ȣ̓ ποῤῥωτέρω Τεγέας ἐπακολȣθησάντων [4], ἐν ἀδείᾳ γενόμενοι, καὶ διελθόντες τὴν Πελοπόννησον, ἐποιήσαντο συνθήκας, τὸν μὲν λαχόντα κλήρῳ τὴν Ἑλένην ἔχειν γυναῖκα, συμπράττειν δὲ θατέρῳ γάμον ἄλλον. ἐπὶ ταύταις δὲ κληρȣμένων ταῖς ὁμολογίαις, ἔλαχε Θησεύς· καὶ παραλαβὼν τὴν παρθένον, ȣ̓́πω γάμων ὥραν ἔχȣσαν, εἰς Ἀφίδνας ἐκόμισε· καὶ τὴν μητέρα καταστήσας μετ' αὐτῆς, Ἀφίδνῳ παρέδωκεν, ὄντι φίλῳ, διακελευσάμενος φυλάττειν καὶ λανθάνειν τȣ̀ς ἄλλȣς. αὐτὸς δὲ Πειρίθῳ τὴν ὑπȣργίαν ἀποδιδȣ̀ς, εἰς Ἤπειρον συναπεδήμησεν ἐπὶ τὴν Ἀϊδωνέως θυγατέρα, τȣ̃ Μολοσσῶν βασιλέως· ὃς τῇ γυναικὶ Περσεφόνην ὄνομα θέμενος, Κόρην δὲ τῇ θυγατρὶ, τῷ δὲ κυνὶ Κέρβερον, ἐκέλευε τȣ́τῳ διαμάχεσθαι τȣ̀ς μνωμένȣς τὴν παῖδα, καὶ λαβεῖν τὸν κρατήσαντα. τȣ̀ς μέντοι περὶ τὸν Πειρίθȣν, ȣ̓ μνηστῆρας ἥκειν, ἀλλ' ἁρπασομέ-

1 B. 1. 2. add. αὐτήν.

2 Hanc lectionem revocavit R. ex J. A. loco vulg. αὐτῷ, quod facile subaudiri potest; in αὐτȣ̃ autem, *ipso Tyndaro, sponte sua*, vis inest, neque subaudienda, neque dissimulanda.

3 Deest λαβεῖν B. 1. 2.

4 Sic est in Stephanica, Junt. Ald. dant ἔτι ἀκολȣθησάντων.

σομένους πυνθανόμενος, συνέλαβε, καὶ τὸν μὲν Πειρίθουν εὐθὺς ἠφάνισε διὰ τοῦ κυνὸς, τὸν δὲ Θησέα καθείρξας ἐφύλαττεν.

XXXII. Ἐν δὲ τῷ χρόνῳ τούτῳ Μενεσθεὺς ὁ Πετεὼς [1], τοῦ Ὀρνέως, τοῦ Ἐρεχθέως, πρῶτος, ὥς φασιν, ἀνθρώπων ἐπιθέμενος τῷ δημαγωγεῖν, καὶ πρὸς χάριν ὄχλῳ διαλέγεσθαι, τούς τε [2] δυνατοὺς συνίστη καὶ παρώξυνε, πάλαι βαρυνομένους τὸν Θησέα, καὶ νομίζοντας ἀρχὴν καὶ βασιλείαν ἀφῃρημένον ἑκάστου τῶν κατὰ δῆμον εὐπατριδῶν, εἰς ἓν ἄστυ συνείρξαντα πάντας [3], ὑπηκόοις χρῆσθαι καὶ δούλοις· τούς τε πολλοὺς διετάραττε καὶ διέβαλλεν, ὡς ὄναρ ἐλευθερίας [4] ὁρῶντας, ἔργῳ δὲ ἀπεστερημένους πατρίδων καὶ ἱερῶν, ὅπως ἀντὶ πολλῶν καὶ ἀγαθῶν καὶ γνησίων βασιλέων πρὸς ἕνα δεσπότην ἔπηλυν καὶ ξένον ἀποβλέπωσι. ταῦτα δὲ αὐτοῦ πραγματευομένου, μεγάλην ῥοπὴν ὁ πόλεμος τῷ νεωτερισμῷ [5] προσέθηκε τῶν Τυνδαριδῶν ἐπελθόντων· οἱ δὲ καὶ ὅλως φασὶν ὑπὸ τούτου πεισθέντας ἐπελθεῖν. τὸ μὲν οὖν πρῶτον οὐδὲν ἠδίκουν, ἀλλ᾽ ἀπῄτουν τὴν ἀδελφήν. ἀποκριναμένων δὲ τῶν ἐν ἄστει μήτε ἔχειν, μήτε γινώσκειν, ὅπου καταλέλειπται, πρὸς πόλεμον ἐτράποντο. φράζει δὲ αὐτοῖς Ἀκάδημος, ᾐσθημένος ᾧ δή τινι τρόπῳ, τὴν ἐν Ἀφίδναις κρύψιν αὐτῆς. ὅθεν ἐκείνῳ τε τιμαὶ ζῶντι παρὰ τῶν Τυνδαριδῶν ἐγένοντο, καὶ πολλάκις ὕστερον ἐμβαλόντες εἰς τὴν

1 Omnes cod. Πετεὼ, & H. Steph. Πετεῶο.

2 B. 1. 2. τοὺς τότε, quod præfert Br. At R. minus ex relat. ad τοὺς τε πολλοὺς, quod ſequitur.

3 Junt. & Ald. συνείρξαντα, πάντως ὑπηκόοις.

4 Br. mavult ἐλευθερίαν.

5 H. Steph. legi etiam teſtatur τῶν νεωτερισμῶν. Junt. dat pro ὁ πόλεμος, ὁ πόλεως. Unde R. colligit, in libris quibusdam fuiſſe: ῥοπὴν τῆς πόλεως τῷ νεωτερισμῷ προσέθηκε τὸ τῶν Τυνδαριδῶν ſc. πρᾶγμα, negotium Tyndaridarum. Quid? ſi hæc verba ita transponi liceat: ῥοπὴν τῷ τῆς πόλεως νεωτερισμῷ cet. Vox ἐπελθόντων ex ἐπελθεῖν ſq. lin. facile irrepſiſſe videtur.

τὴν Ἀττικὴν οἱ Λακεδαιμόνιοι, καὶ πᾶσαν ὁμοῦ [1] τὴν χώραν τέμνοντες, τῆς Ἀκαδημίας ἀπείχοντο διὰ τὸν Ἀκάδημον. ὁ δὲ Δικαίαρχος, Ἐχεδήμου φησὶ καὶ Μαράθου συστρατευσάντων τότε τοῖς Τυνδαρίδαις ἐξ Ἀρκαδίας, ἀφ' οὗ μὲν Ἐχεδημίαν προσαγορευθῆναι τὴν νῦν Ἀκαδημίαν, ἀφ' οὗ δὲ Μαραθῶνα τὸν δῆμον [2], ἐπιδόντος ἑαυτὸν ἑκουσίως κατά τι λόγιον σφαγιάσασθαι πρὸ τῆς παρατάξεως. ἐλθόντες οὖν ἐπὶ τὰς Ἀφίδνας, καὶ μάχῃ κρατήσαντες, ἐξεῖλον τὸ χωρίον. ἐνταῦθα φασὶ καὶ Ἄλυκον πεσεῖν τὸν Σκίρωνος υἱὸν, συστρατευόμενον τότε τοῖς Διοσκουρίδαις [3]. ἀφ' οὗ καὶ τόπον τῆς Μεγαρικῆς Ἄλυκον καλεῖσθαι, τοῦ σώματος ἐνταφέντος [4]. Ἡρέας δ' ὑπὸ Θησέως αὐτοῦ περὶ Ἀφίδνας ἀποθανεῖν τὸν Ἄλυκον ἱστόρηκε· καὶ μαρτύρια ταυτὶ τὰ ἔπη παρέχεται περὶ τοῦ Ἀλύκου·

τὸν ἐν εὐρυχώρῳ ποτ' Ἀφίδνῃ
Μαρνάμενον Θησεὺς Ἑλένης ἕνεκ' ἠϋκόμοιο
Κτεῖνεν·

οὐ μὴν εἰκὸς, αὐτοῦ Θησέως παρόντος, ἁλῶναι τήν τε μητέρα καὶ τὰς Ἀφίδνας [5].

XXXIII. Ἐχομένων δ' οὖν τῶν Ἀφιδνῶν, καὶ τῶν ἐν ἄστει δεδιότων, ἔπεισε τὸν δῆμον ὁ Μενεσθεὺς δέχεσθαι τῇ πόλει καὶ φιλοφρονεῖσθαι τοὺς Τυνδαρίδας, ὡς μόνῳ Θησεῖ βίας ὑπάρξαντι πολεμοῦντας, τῶν δὲ ἄλλων εὐεργέτας ὄντας ἀνθρώπων καὶ σωτῆρας. ἐμαρτύρει δὲ αὐτῷ καὶ τὰ παρ' ἐκείνων· οὐδὲν γὰρ [6] ἠξίωσαν, ἁπάντων κρατοῦντες, ἀλλ' ἢ μυηθῆναι, μηδὲν ἧττον Ἡρακλέους τῇ



1 R. mavult ὁμοῦ τι — *propemodum, ferme.*
2 B. 1. 2. τὸν τόπον καὶ τὸν cet.
3 Br. vult Διοσκούροις, cum Plut. de Castore & Polluce loquatur, non de ipsorum prole, quam lectio vulg. denotaret.
4 B. 1. 2. ἐκεῖ ταφέντος.
5 Vulgo Ἀθήνας.
6 B. 1. 2. add. ἄλλο.

πόλει προσήκοντες· καὶ τοῦτο ἓν ὑπῆρξεν αὐτοῖς, Ἀφίδνου ποιησαμένου παῖδας [1], ὡς Πύλιος Ἡρακλέα· καὶ τιμὰς ἰσοθέους ἔχον, Ἄνακες προσαγορευθέντες, ἢ διὰ τὰς γενομένας ἀνοχὰς, ἢ διὰ τὴν ἐπιμέλειαν καὶ κηδεμονίαν τοῦ μηδένα κακῶς παθεῖν, στρατιᾶς [2] τοσαύτης ἔνδον οὔσης. ἀνακῶς γὰρ ἔχειν φαμὲν [3] τοὺς ἐπιμελομένους ἢ φυλάττοντας ὁτιοῦν· καὶ τοὺς βασιλεῖς ἴσως Ἄνακτας διὰ τοῦτο καλοῦσιν. εἰσὶ δὲ οἱ λέγοντες διὰ τὴν τῶν ἀστέρων ἐπιφάνειαν Ἄνακας ὀνομάζεσθαι· τὸ γὰρ ἄνω τοὺς Ἀττικοὺς ἀνέκας ὀνομάζειν, καὶ ἀνέκαθεν, τὸ ἄνωθεν.

XXXIV. Αἴθραν δὲ τὴν Θησέως μητέρα γενομένην αἰχμάλωτον, ἀπαχθῆναι λέγουσιν εἰς Λακεδαίμονα, κἀκεῖθεν εἰς Τροίαν μετὰ Ἑλένης· καὶ μαρτυρεῖν Ὅμηρον ἕπεσθαι τῇ Ἑλένῃ φάμενον·

Αἴθρην Πιτθῆος θύγατρα Κλυμένην τε βοῶπιν [4].

οἱ δὲ καὶ τοῦτο τὸ ἔπος διαβάλλουσι, καὶ τὴν περὶ Μουνύχου [5] μυθολογίαν, ὃν ἐκ Δημοφῶντος Λαοδίκης κρύφα τεκούσης ἐν Ἰλίῳ συνεκθρέψαι τὴν Αἴθραν λέγουσιν. ἴδιον δέ τινα καὶ παρηλλαγμένον ὅλως λόγον ὁ Ἴστρος ἐν τῇ τρισκαιδεκάτῃ τῶν Ἀττικῶν ἀναφέρει περὶ Αἴθρας, ὡς ἐνίων λεγόντων, Ἀλέξανδρον μὲν, τὸν ἐν Θεσσαλίᾳ Πάριν, ὑπ' Ἀχιλλέως καὶ Πατρόκλου μάχῃ κρατηθῆναι παρὰ τὸν Σπερχειὸν, Ἕκτορα δὲ τὴν Τροιζηνίων πόλιν λαβόντα διαρπάσαι, καὶ τὴν Αἴθραν ἀπάγειν ἐκεῖ καταλειφθεῖσαν. ἀλλὰ τοῦτο μὲν ἔχει πολλὴν ἀλογίαν.

XXXV. Ἀϊδωνέως δὲ τοῦ Μολοσσοῦ ξενίζοντος Ἡρακλέα, καὶ τῶν περὶ τὸν Θησέα καὶ Πειρίθουν κατὰ τύχην μνησθέντος ἅ τε πράξοντες ἦλθον, καὶ ἃ φωραθέντες ἔπαθον,

1 B. 1. 2. add. αὐτοῖς.
2 Vulgo στρατείας.
3 add ex B. 1. 2.
4 Iliad. γ. 144.
5 Dacer. & Meziriacus legendum monent Μουνίτου, ex Parthenio, Lycophrone & Tzetze ad Lyc.

θον, βαρέως ἤνεγκεν ὁ Ἡρακλῆς, τοῦ μὲν ἀπολωλότος ἀδόξως, τοῦ δὲ ἀπολλυμένου. καὶ περὶ Πειρίθου μὲν οὐδὲν ᾤετο ποιήσειν πλέον ἐγκαλῶν, τὸν δὲ Θησέα παρῃτεῖτο, καὶ χάριν ἠξίου ταύτην αὐτῷ δοθῆναι. συγχωρήσαντος δὲ τοῦ Ἀϊδωνέως, λυθεὶς ὁ Θησεὺς ἐπανῆλθε μὲν εἰς τὰς Ἀθήνας, οὐδέπω παντάπασι τῶν φίλων αὐτοῦ κεκρατημένων· καὶ ὅσα ὑπῆρχε τεμένη πρότερον αὐτῷ, τῆς πόλεως ἐξελούσης, ἅπαντα καθιέρωσεν Ἡρακλεῖ, καὶ προσηγόρευσεν ἀντὶ [1] Θησείων, Ἡράκλεια, πλὴν τεσσάρων, ὡς Φιλόχορος ἱστόρηκεν. εὐθὺς [2] δὲ βουλόμενος, ὡς πρότερον, ἄρχειν καὶ καθηγεῖσθαι τοῦ πολιτεύματος, εἰς στάσεις ἐνέπεσε καὶ ταραχὰς, οὓς μὲν ἀπέλιπε μισοῦντας αὐτὸν, εὑρίσκων τὸ μὴ φοβεῖσθαι τῷ μισεῖν [3] προσειληφότας, ἐν δὲ τῷ δήμῳ πολὺ τὸ διεφθαρμένον ὁρῶν καὶ θεραπεύεσθαι βουλόμενον, ἀντὶ τοῦ ποιεῖν σιωπῇ τὸ προσταττόμενον. ἐπιχειρῶν οὖν βιάζεσθαι, κατεδημαγωγεῖτο καὶ κατεστασιάζετο· καὶ τέλος ἀπογνοὺς τὰ πράγματα, τοὺς μὲν παῖδας [4] εἰς Εὔβοιαν ὑπεξέπεμψε πρὸς Ἐλεφήνορα τὸν Χαλκώδοντος, αὐτὸς δὲ Γαργηττοῖ κατὰ τῶν Ἀθηναίων ἀρὰς θέμενος, οὗ νῦν ἐστὶ τὸ καλούμενον Ἀρατήριον, εἰς Σκῦρον ἐξέπλευσεν, οὔσης αὐτῷ πρὸς τοὺς ἐκεῖ φιλίας, ὡς ᾤετο,



1 B. 1. 2. αὐτὰ ἀντί.

2 R. susp. αὖθις, iterum; — Vulgata lectio referenda est ad ἐνέπεσε.

3 B. 1. 2. 3. τῷ μὴ φοβεῖσθαι τὸ μισεῖν. R. hanc lectionem haud reprobans, rem ita legendo expeditam censet: οὓς μὲν ἀπέλιπε μὴ μισοῦντας αὐτὸν, εὑρίσκων τῷ μὴ φοβεῖσθαι τὸ μισεῖν cet. — Si legatur τῷ μισεῖν, mavult τῷ μίσει. Lapus ita legisse videtur, ut post ἀπέλιπε, nec non post εὑρίσκων, per comma distinguat. Si ita legere placet, &, connectendo per καὶ, continues, τὸ μὴ φοβ. — sensum erueres, haud sane contemnendum. Interim fateri haud dubito, lectionem in textu receptam mihi verisimillimam videri, conferendo οὓς μὲν & seq. ἐν δὲ τῷ δήμῳ cum supra dictis cap. 32. τούς τε δυνατοὺς — τούς τε πολλοὺς cet.

4 B. 1. 2. αὐτοῦ.

ᾤετο, καὶ χωρίων ἐν τῇ νήσῳ πατρῴων. ἐβασίλευε δὲ τότε Λυκομήδης τῶν Σκυρίων. πρὸς τοῦτον οὖν [1] ἀφικόμενος, ἐζήτει [2] τοὺς ἀγροὺς ἀπολαβεῖν· ὡς αὐτόθι κατοικήσων. ἔνιοι δέ φασι παρακαλεῖν [3] αὐτὸν βοηθεῖν ἐπὶ τοὺς Ἀθηναίους· ὁ δὲ Λυκομήδης, εἴτε δείσας τὴν δόξαν τοῦ ἀνδρὸς, εἴτε τῷ Μενεσθεῖ χαριζόμενος, ἐπὶ τὰ ἄκρα τῆς χώρας ἀναγαγὼν αὐτὸν, ὡς ἐκεῖθεν ἐπιδείξων τοὺς ἀγροὺς, ὦσε κατὰ τῶν πετρῶν, καὶ διέφθειρεν. ἔνιοι δ' ἀφ' ἑαυτοῦ πεσεῖν φασὶ σφαλέντα, μετὰ δεῖπνον, ὥσπερ εἰώθει, περιπατοῦντα. καὶ παραυτίκα μὲν οὐδεὶς ἔσχεν αὐτοῦ λόγον οὐδένα τεθνηκότος· ἀλλὰ τῶν μὲν Ἀθηναίων ἐβασίλευσε Μενεσθεὺς, οἱ δὲ παῖδες [4] ἰδιωτεύοντες Ἐλεφήνορι συνεστράτευσαν εἰς Ἴλιον. ἐκεῖ δὲ Μενεσθέως ἀποθανόντος, ἐπανελθόντες αὐτοὶ τὴν βασιλείαν ἀνεκομίσαντο [5]. χρόνοις δ' ὕστερον Ἀθηναίους ἄλλα τε παρέστησεν ὡς ἥρωα τιμᾶν Θησέα, καὶ τῶν ἐν Μαραθῶνι πρὸς Μήδους μαχομένων ἔδοξαν οὐκ ὀλίγοι φάσμα Θησέως ἐν ὅπλοις καθορᾶν πρὸ αὐτῶν ἐπὶ τοὺς βαρβάρους φερόμενον.

XXXVI. Μετὰ δὲ τὰ Μηδικὰ, Φαίδωνος [6] ἄρχοντος μαντευομένοις τοῖς Ἀθηναίοις ἀνεῖλεν ἡ Πυθία τὰ Θησέως ἀναλαβεῖν ὀστᾶ, καὶ θεμένους ἐντίμως παρ' αὐτοῖς φυλάττειν. ἦν δὲ καὶ λαβεῖν ἀπορία, καὶ γνῶναι τὸν τάφον, ἀμιξίᾳ καὶ χαλεπότητι τῶν ἐνοικούντων βαρβάρων [7]. οὐ μὴν ἀλλὰ καὶ Κίμων ἑλὼν τὴν νῆσον, ὡς ἐν τοῖς

1 abest a Junt. prima.
2 Ald. ἐζήτει.
3 B. 1. 2. ὡς παρακ.
4 B. 1. 2. τοῦ Θησέως παῖδες.
5 B. 1. 2. ἀνεκαλήσαντο. Br. susp. ἀνεκτήσαντο. R. mavult verb. simpl. ἐκομίσαντο.
6 B. 1. 2. ἐπὶ Φαίδ. Bentleius in diss. de Phalaridis epist. corrigit Ἀψεφίωνος.
7 V. Anon. B. 1. 2. Δολόπων.

τοῖς περὶ ἐκείνου γέγραπται, καὶ [1] φιλοτιμούμενος ἐξανευρεῖν [2], ἀετοῦ τινα τόπον βουνοειδῆ κόπτοντος, ὥς φασι, τῷ στόματι καὶ διαστέλλοντος τοῖς ὄνυξι, θείᾳ τινὶ τύχῃ συμφρονήσας, ἀνέσκαψεν. εὑρέθη δὲ θήκη τε [3] μεγάλου σώματος, αἰχμή τε παρακειμένη χαλκῆ, καὶ ξίφος. κομιθέντων δὲ τούτων ὑπὸ Κίμωνος ἐπὶ τῆς τριήρους, ἡσθέντες οἱ Ἀθηναῖοι πομπαῖς τε λαμπραῖς ἐδέξαντο καὶ θυσίαις, ὥσπερ αὐτὸν [4] ἐπανερχόμενον εἰς τὸ ἄστυ. καὶ κεῖται μὲν ἐν μέσῃ τῇ πόλει παρὰ τὸ νῦν γυμνάσιον· ἔστι δὲ φύξιον οἰκέταις [5] καὶ πᾶσι τοῖς ταπεινοτέροις καὶ δεδιόσι κρείττονας, ὡς καὶ τοῦ Θησέως προστατικοῦ τινος καὶ βοηθητικοῦ [6] γενομένου, καὶ προσδεχομένου φιλανθρώπως τὰς τῶν ταπεινοτέρων δεήσεις. θυσίαν δὲ ποιοῦσιν αὐτῷ τὴν μεγίστην ὀγδόῃ Πυανεψιῶνος, ἐν ᾗ μετὰ τῶν ἠϊθέων ἐκ Κρήτης ἐπανῆλθεν. οὐ μὴν ἀλλὰ καὶ ταῖς ἄλλαις ὀγδόαις τιμῶσιν αὐτὸν, ἢ διὰ τὸ πρῶτον ἐκ Τροιζῆνος ἀφικέσθαι τῇ ὀγδόῃ τοῦ Ἑκατομβαιῶνος, ὡς ἱστόρηκε Διόδωρος ὁ περιηγητής· ἢ νομίζοντες [7] ἑτέρου μᾶλλον ἐκείνῳ προσήκειν τὸν ἀριθμὸν τοῦτον, ἐκ Ποσειδῶνος γεγονέναι λεγομένῳ. καὶ γὰρ Ποσειδῶνα ταῖς ὀγδόαις τιμῶσιν. ἡ γὰρ ὀγδοὰς, κύβος ἀπ' ἀρτίου πρῶτος οὖσα, καὶ τοῦ πρώτου τετραγώνου διπλασία, τὸ μόνιμον καὶ δυσκίνητον οἰκεῖον ἔχει τῆς τοῦ Θεοῦ δυνάμεως, ὃν Ἀσφάλιον καὶ Γαιήοχον προσονομάζομεν.



1 Redundare videtur Bryano. R. hanc formulam Plutarcho solennem declarat, additque ὅμως.

2 B. 1. 2. add. τὰ Θησέως ὀστᾶ.

3 Prius δὲ omittit B. 3 posterius τε omitt. B. 1. 2. 3.

4 τὸν Θησέα add. B 1. 2.

5 B 1. 2. τοῖς οἰκέταις.

6 Junt. & Ald. βοηθηκοῦ; Bas. βοηθικοῦ.

7 νομίζοντος hab. B. 1. 2.

# ΡΩΜΥΛΟΣ.

Τὸ μέγα τῆς Ῥώμης ὄνομα, καὶ δόξῃ διὰ πάντων ἀνθρώπων κεχωρηκὸς, ἀφ' ὅτου καὶ δι' ἣν αἰτίαν τῇ πόλει γέγονεν, οὐχ ὡμολόγηται παρὰ τοῖς συγγραφεῦσιν. ἀλλ' οἱ μὲν [1], Πελασγοὺς ἐπὶ πλεῖστα τῆς οἰκουμένης πλανηθέντας, ἀνθρώπων τε πλείστων κρατήσαντας, αὐτόθι κατοικῆσαι, καὶ διὰ τὴν ἐν τοῖς ὅπλοις ῥώμην, οὕτως ὀνομάσαι τὴν πόλιν· οἱ δὲ, Τροίας ἁλισκομένης, διαφυγόντας ἐνίους καὶ πλοίων ἐπιτυχόντας, ὑπὸ πνευμάτων τῇ Τυῤῥηνίᾳ προσπεσεῖν φερομένους, καὶ περὶ τὸν Θύμβριν ποταμὸν ὁρμίσασθαι [2], ταῖς δὲ γυναιξὶν αὐτῶν ἀπορουμέναις ἤδη καὶ δυσανασχετούσαις πρὸς τὴν θάλασσαν, ὑποθέσθαι μίαν, ἣ καὶ [3] γένει προὔχειν καὶ φρονεῖν ἐδόκει μάλιστα, Ῥώμην ὄνομα, καταπρῆσαι τὰ πλοῖα· πραχθέντος δὲ τούτου, πρῶτον μὲν ἀγανακτεῖν τοὺς ἄνδρας, ἔπειτα δι' ἀνάγκην ἱδρυνθέντας περὶ τὸ Παλλάντιον, ὡς [4] ὀλίγῳ χρόνῳ κρεῖττον ἐλπίδος ἔπραττον, ἀγαθῆς τε πειρώμενοι [5] χώρας, καὶ δεχομένων αὐτοὺς τῶν προσοίκων, ἄλλην [6] τε τιμὴν ἀπονέμειν τῇ Ῥώμῃ, καὶ τὴν πόλιν ἀπ' αὐτῆς, ὡς αἰτίας, προσαγορεύειν. ἐξ ἐκείνου τε παραμένειν λέγουσι τὸ τοὺς συγγενεῖς τὰς γυναῖκας καὶ οἰκείους ἄνδρας ἀσπάζεσθαι τοῖς στόμασι· καὶ γὰρ ἐκείνας, ὅτε τὰ πλοῖα κατέπρησαν, οὕτως ἀσπάζεσθαι [7] καὶ φιλοφρο-

1 B. 1. 2. add. φασί.

2 Ex Steph. edit. vetustiores dant ὁρμήσασθαι.

3 B. 1. 2. ἥτις καί.

4 B. 1. 2. καὶ ὡς.

5 Hanc lectionem ex B. 1. 2. recepit R. — Stephan. & sequun. eam vulgatæ dant πεπειραμένοι. Vetustiores habent πειρωμένοι.

6 B. 1. 2. μεγάλην. R. mavult ἄλλας τε τιμάς.

7 R. mavult ἀσπάσασθαι, & πεφιλοφρονῆσθαι, aut φιλοφρονήσασθαι.

φρονεῖσθαι τοὺς ἄνδρας, δεομένας αὐτῶν καὶ παραιτουμένας τὴν ὀργήν.

II. Ἄλλοι δὲ Ῥώμην, Ἰταλοῦ θυγατέρα καὶ Λευκαρίας [1], οἱ δὲ, Τηλέφου τοῦ Ἡρακλέους, Αἰνείᾳ γαμηθεῖσαν, οἱ δ' Ἀσκανίου [2], τοῦ Αἰνείου, λέγουσι τοὔνομα θέσθαι τῇ πόλει· οἱ δὲ, Ῥωμανὸν [3], Ὀδυσσέως παῖδα καὶ Κίρκης, οἰκίσαι τὴν πόλιν· οἱ δὲ, Ῥῶμον [4] ἐκ Τροίας ὑπὸ Διομήδους ἀποσταλέντα τὸν Ἡμαθίωνος· οἱ δὲ, Ῥῶμον Λατίνων τύραννον, ἐκβαλόντα Τυῤῥηνοὺς, τοὺς εἰς Λυδίαν μὲν ἐκ Θετταλίας, ἐκ δὲ Λυδίας εἰς Ἰταλίαν παραγενομένους. οὐ μὴν οὐδ' οἱ Ῥωμύλον τῷ δικαιοτάτῳ τῶν λόγων ἀποφαίνοντες ἐπώνυμον τῆς πόλεως, ὁμολογοῦσι περὶ τοῦ γένους αὐτοῦ. οἱ μὲν γὰρ [5] Αἰνείου καὶ Δεξιθέας τῆς Φόρβαντος υἱὸν ὄντα νήπιον εἰς Ἰταλίαν κομισθῆναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ Ῥῶμον· ἐν δὲ τῷ ποταμῷ πλημμύραντι τῶν ἄλλων σκαφῶν διαφθαρέντων, ἐν ᾧ δὲ ἦσαν [6] οἱ παῖδες, εἰς μαλακὴν ἀποκλινθέντος ὄχθην ἀτρέμα, σωθέντας [7] ἀπροσδοκήτως, ὀνομασθῆναι [8] Ῥώμην [9]. οἱ δὲ, Ῥώμην θυγατέρα τῆς Τρῳάδος ἐκείνης Λατίνῳ τῷ Τηλεμάχου [10] γαμηθεῖσαν, τεκεῖν τὸν Ῥωμύλον· οἱ δὲ, Αἰμυλίαν [11] τὴν Αἰνείου καὶ Λαβινίας, Ἄρει συγγενομέ-



1 B. 3. Λευκανίας; B. 1. 2. post mox sequens Τηλέφου add. υἱοῦ.

2 Br. mavult Ἀσκανίῳ. V. ἀπ' Ἀσκανίου.

3 Br. vult Ῥῶμον.

4 Omnes B. & vett. impr. Ῥῶμυν.

5 B. 1. 2. add. λέγουσιν.

6 B. 1. 2. ἐκείνου δὲ τοῦ σκάφους, ἐν ᾧ τοῦ ἦσαν.

7 Anon. σωθέντος.

8 Petav. ad Themistium corrigit ὄνομα θῆναι. Reiskio videtur hæc vox conflata esse ex duabus lectionibus, ὀνομάσαι & ὀνομῆναι.

9 B. 1. 2. τὸν τόπον Ῥώμην.

10 B. 1. 2. 3. Τηλεμάχῳ.

11 Teste H. Steph. legitur etiam Λαβινίαυ.

νην· οἱ δὲ μυθώδη παντάπασι περὶ τῆς γενέσεως διεξίασι. Ταρχετίῳ γὰρ Ἀλβανῶν βασιλεῖ παρανομωτάτῳ καὶ ὠμοτάτῳ φάσμα δαιμόνιον οἴκοι γενέσθαι· φαλλὸν γὰρ ἐκ τῆς ἑστίας ἀνασχεῖν, καὶ διαμένειν ἐπὶ πολλὰς ἡμέρας· εἶναι δὲ Τηθύος [1] ἐν Τυῤῥηνίᾳ χρηστήριον, ἀφ' οὗ κομισθῆναι τῷ Ταρχετίῳ χρησμὸν, ὥστε συμμῖξαι τῷ φάσματι παρθένον· ἔσεσθαι γὰρ ἐξ αὐτῆς παῖδα κλεινότατον, ἀρετῇ καὶ τύχῃ καὶ ῥώμῃ διαφέροντα. Φράσαντος οὖν τὸ μάντευμα τοῦ Ταρχετίου μιᾷ τῶν θυγατέρων, καὶ συγγενέσθαι τῷ φαλλῷ προστάξαντος, αὐτὴν μὲν ἀπαξιῶσαι [2], θεράπαιναν δὲ εἰσπέμψαι. τὸν δὲ Ταρχέτιον, ὡς ἔγνω, χαλεπῶς φέροντα, συλλαβεῖν μὲν ἀμφοτέρας ἐπὶ θανάτῳ· τὴν δ' Ἑστίαν ἰδόντα κατὰ τοὺς ὕπνους ἀπαγορεύουσαν αὐτῷ τὸν φόνον, ἱστόν τινα παρεγγυῆσαι ταῖς κόραις ὑφαίνειν δεδεμέναις, ὡς ὅταν [3] ἐξυφήνωσι, τότε δοθησομένας πρὸς γάμον. ἐκείνας μὲν οὖν δι' ἡμέρας ὑφαίνειν, ἑτέρας δὲ νύκτωρ, τοῦ Ταρχετίου κελεύοντος, ἀναλύειν τὸν ἱστόν. ἐκ δὲ τοῦ φαλλοῦ τῆς θεραπαινίδος τεκούσης δίδυμα, δοῦναι τινὶ Τερατίῳ τὸν Ταρχέτιον ἀνελεῖν κελεύσαντα. τὸν δὲ θεῖναι φέροντα τοῦ ποταμοῦ πλησίον, εἶτα λύκαιναν μὲν ἐπιφοιτᾶν μαστὸν διδοῦσαν [4], ὄρνιθας δὲ παντοδαποὺς ψωμίσματα κομίζοντας, ἐντιθέναι τοῖς βρέφεσιν· ἄχρις οὗ [5] βουκόλον ἰδόντα καὶ θαυμάσαντα, τολμῆσαι προσελθεῖν, καὶ ἀνελέσθαι τὰ παιδία· τοιαύτης δὲ τῆς σωτηρίας αὐτοῖς γενομένης, ἐκτραφέντας ἐπιθέσθαι τῷ Ταρχετίῳ καὶ κρατῆσαι. ταῦτα μὲν οὖν Προμαθίων τις, ἱστορίαν Ἰταλικὴν συντεταγμένος, εἴρηκε.

III. Τοῦ δὲ πίστιν ἔχοντος λόγου μάλιστα καὶ πλείστους μάρτυρας, τὰ μὲν κυριώτατα πρῶτος εἰς τοὺς Ἕλληνας ἐξέδω-

1 Dacer. vult Θέτιδος, cum nihil constet de oraculo Tethyis.
2 B. 1. 2. add. λέγουσι.
3 B. 1. 2. add. δὲ; Br. susp. δή.
4 B. 1. 2. 3. ἐνδιδοῦσαν.
5 B 1. 2. 3. οὖν.

ἐξέδωκε Διοκλῆς ὁ [1] Πεπαρήθιος, ᾧ καὶ Φάβιος Πίκτωρ [2] ἐν τοῖς πλείστοις ἐπηκολούθησε. γεγόνασι δὲ καὶ περὶ τούτων ἕτεραι διαφοραί· τύπῳ δὲ εἰπεῖν, τοιοῦτός ἐστι· τῶν ἀπ' Αἰνείου γεγονότων ἐν Ἄλβῃ βασιλέων εἰς ἀδελφοὺς δύο, Νομήτορα καὶ Ἀμούλιον, ἡ διαδοχὴ καθῆκεν. Ἀμουλίου δὲ νείμαντος τὰ πάντα δίχα, τῇ [3] βασιλείᾳ τὰ χρήματα καὶ τὸν ἐκ Τροίας κομισθέντα χρυσὸν ἀντιτιθέντος, εἵλετο τὴν βασιλείαν ὁ Νομήτωρ. ἔχων οὖν ὁ Ἀμούλιος τὰ χρήματα, καὶ πλέον ἀπ' αὐτῶν δυνάμενος τοῦ Νομήτορος [4], τήν τε βασιλείαν ἀφείλετο ῥᾳδίως, καὶ φοβούμενος ἐκ τῆς θυγατρὸς αὐτοῦ γενέσθαι παῖδας, ἱέρειαν τῆς Ἑστίας ἀπέδειξεν, ἄγαμον καὶ παρθένον ἀεὶ βιασομένην. ταύτην οἱ μὲν Ἰλίαν, οἱ δὲ Ῥέαν, οἱ δὲ Σιλουΐαν ὀνομάζουσι. φωρᾶται δὲ [5] μετ' οὐ πολὺν χρόνον κυοῦσα [6] παρὰ τὸν καθεστῶτα ταῖς Ἑστιάσι νόμον. καὶ τὸ μὲν ἀνήκεστα μὴ παθεῖν αὐτήν, ἡ τοῦ βασιλέως θυγάτηρ Ἀνθὼ παρῃτήσατο, δεηθεῖσα τοῦ πατρός· εἵρχθη δέ, καὶ δίαιταν εἶχεν ἀνεπίμικτον, ὅπως μὴ λάθῃ τεκοῦσα τὸν Ἀμούλιον. ἔτεκε δὲ δύο παῖδας ὑπερφυεῖς μεγέθει καὶ κάλλει. δι' ὃ καὶ μᾶλλον ὁ Ἀμούλιος φοβηθεὶς ἐκέλευσεν αὐτοὺς ὑπηρέτην λαβόντα ῥίψαι. τοῦτον [7] ἔνιοι Φαυστύλον ὀνομάζεσθαι λέγουσιν, οἱ δ' οὐ τοῦτον, ἀλλὰ τὸν ἀνελόμενον. ἐνθέμενος οὖν εἰς σκάφην τὰ βρέφη, κατέβη μὲν ἐπὶ τὸν ποταμόν, ὡς ῥίψων, ἰδὼν δὲ κατιόντα πολλῷ ῥεύματι καὶ τραχυνόμενον, ἔδεισε προσελθεῖν· ἐγγὺς δὲ τῆς ὄχθης καταθείς, ἀπηλλάσσετο. τοῦ δὲ ποταμοῦ κατακλύζοντος, ἡ πλημ-

1 Articul. de suo addidit R.
2 B. omnes Οὐίκτωρ
3 B. 3. τῇ τε, quod Br. placet; B. 1. 2. τῇ δὲ.
4 Non adſ. B. 1. 2.
5 B. 1. 2. add. αὐτή.
6 B. 3. οὐ πολὺ κυοῦσα.
7 B. 1. 2. add. δὲ; uti iidem paulo infer. h. c. pro ὃ νῦν leg. ὅπερ νῦν.

πλημμύρα τὴν σκάφην ὑπολαβοῦσα καὶ μετεωρίσασα πρᾴως, κατήνεγκεν εἰς χωρίον ἐπιεικῶς μαλθακὸν, ὃ νῦν Κερμανὸν καλοῦσι, πάλαι δὲ Γερμανὸν, ὡς ἔοικεν, ὅτι καὶ [1] τοὺς ἀδελφοὺς, Γερμανοὺς ὀνομάζουσιν.

IV. Ἦν δὲ πλησίον ἐρινεὸς, ὃν Ῥωμινάλιον ἐκάλουν, ἢ διὰ τὸν Ῥωμύλον, ὡς οἱ πολλοὶ νομίζουσιν, ἢ διὰ τὸ τὰ μηρυκώμενα τῶν θρεμμάτων ἐκεῖ διὰ τὴν σκιὰν ἐνδιάζειν [2], ἢ μάλιστα διὰ τὸν τῶν βρεφῶν θηλασμόν· ὅτι τήν τε θηλὴν ῥοῦμαν ὠνόμαζον οἱ παλαιοὶ, καὶ Θεόν τινα τῆς ἐκτροφῆς τῶν νηπίων ἐπιμελεῖσθαι δοκοῦσαν ὀνομάζουσι Ῥουμυλίαν, καὶ θύουσιν αὐτῇ νηφάλια, καὶ γάλα τοῖς ἱεροῖς ἐπισπένδουσιν. ἐνταῦθα δὲ τοῖς βρέφεσι κειμένοις τήν τε λύκαιναν ἱστοροῦσι θηλαζομένην, καὶ δρυοκολάπτην [3] τινὰ παρεῖναι συνεκτρέφοντα καὶ φυλάττοντα. νομίζεται δ' Ἄρεος ἱερὰ τὰ ζῶα· τὸν δὲ δρυοκολάπτην καὶ διαφερόντως Λατῖνοι σέβονται καὶ τιμῶσιν· ὅθεν οὐχ ἥκιστα πίστιν ἔσχεν ἡ τεκοῦσα τὰ βρέφη, τεκεῖν ἐξ Ἄρεος φάσκουσα. καίτοι τοῦτο παθεῖν αὐτὴν ἐξαπατηθεῖσαν λέγουσιν, ὑπὸ τοῦ Ἀμουλίου διαπαρθενευθεῖσαν, ἐν ὅπλοις ἐπιφανέντος αὐτῇ καὶ συναρπάσαντος. οἱ δὲ, τοὔνομα τῆς τροφοῦ δι' ἀμφιβολίαν ἐπὶ τὸ μυθῶδες ἐκτροπὴν τῇ φήμῃ παρασχεῖν. λούπας γὰρ ἐκάλουν οἱ Λατῖνοι τῶν τε θηρίων τὰς λυκαίνας, καὶ τῶν γυναικῶν τὰς ἑταιρούσας· εἶναι δὲ [4] τοιαύτην τὴν Φαυστύλου γυναῖκα τοῦ τὰ βρέφη θρέψαντος, Ἄκκαν Λαρεντίαν ὄνομα. ταύτῃ δὲ καὶ θύουσι Ῥωμαῖοι, καὶ χοὰς ἐπιφέρει τοῦ Ἀπριλλίου μηνὸς

1 Junt. & Ald. dant ὅτι δὲ καὶ; hinc R. susp. — ἐπειδὴ καὶ νῦν, vel ὅτι δὴ καὶ νῦν, quandoquidem nunc quoque.

2 B. 3. Ald. Junt. ἐνδιαζόντων.

3 V. δρυωκλάπτειν.

4 B. 1. 2. δὲ λέγουσι βρέφη ἀνελόντως.

νὸς αὐτῇ [1] ὁ τοῦ Ἄρεος ἱερεύς, καὶ Λαρεντίαν [2] καλοῦσι τὴν ἑορτήν.

V. Ἑτέραν δὲ τιμῶσι Λαρεντίαν ἐξ αἰτίας τοιαύτης· ὁ νεωκόρος τοῦ Ἡρακλέους ἀλύων, ὡς ἔοικεν, ὑπὸ σχολῆς προῦθετο πρὸς τὸν Θεὸν διακυβεύειν, ὑπειπὼν, ὅτι νικήσας μὲν αὐτὸς, ἕξει τι παρὰ τοῦ Θεοῦ χρηστόν· ἡττηθεὶς δὲ τῷ Θεῷ τράπεζαν ἄφθονον παρέξει καὶ γυναῖκα καλὴν συναναπαυσομένην. ἐπὶ τούτοις, τὰς μὲν ὑπὲρ τοῦ Θεοῦ τιθεὶς, τὰς δ' ὑπὲρ αὐτοῦ ψήφους, ἀνεφάνη νικώμενος. εὐσυνθετεῖν δὲ βουλόμενος, καὶ δικαιῶν ἐμμένειν τοῖς ὁρισθεῖσι, δεῖπνόν τε τῷ Θεῷ παρεσκεύασε, καὶ τὴν Λαρεντίαν οὖσαν ὡραίαν, οὔπω δὲ ἐπιφανῆ μισθωσάμενος, εἱστίασεν ἐν τῷ ἱερῷ κλίνην ὑποστορέσας· καὶ μετὰ τὸ δεῖπνον συνεῖρξεν, ὡς δὴ τοῦ Θεοῦ ἕξοντος αὐτήν. καὶ μέντοι καὶ τὸν Θεὸν ἐντυχεῖν λέγεται τῇ γυναικὶ, καὶ κελεῦσαι βαδίζειν ἕωθεν ἐπὶ τὴν ἀγορὰν, καὶ τὸν ἀπαντήσαντα πρῶτον, ἀσπασαμένην ποιεῖσθαι φίλον. ἀπήντησεν οὖν αὐτῇ τῶν πολιτῶν ἀνὴρ ἡλικίας τε πόῤῥω ἥκων, καὶ συνειλοχὼς οὐσίαν ἱκανήν· ἄπαις δὲ καὶ βεβιωκὼς ἄνευ γυναικὸς, ὄνομα Ταῤῥούτιος. οὗτος ἔγνω τὴν Λαρεντίαν, καὶ ἠγάπησε καὶ τελευτῶν ἀπέλιπε κληρονόμον ἐπὶ πολλοῖς καὶ καλοῖς κτήμασιν, ὧν ἐκείνη τὰ πλεῖστα τῷ δήμῳ κατὰ διαθήκας ἔδωκε. λέγεται δὲ αὐτὴν ἔνδοξον οὖσαν ἤδη, καὶ θεοφιλῆ νομιζομένην, ἀφανῆ γενέσθαι περὶ τοῦτον τὸν τόπον, ἐν ᾧ καὶ τὴν προτέραν ἐκείνην Λαρεντίαν κεῖσθαι. καλεῖται δὲ νῦν ὁ τόπος Βήλαυρον, ὅτι τοῦ ποταμοῦ πολλάκις ὑπερχεομένου, διεπεραιοῦντο πορθμείοις [3] κατὰ τοῦτο τὸ χωρίον εἰς ἀγοράν. τὴν δὲ πορθμείαν, βηλατούραν

1 R. ſuſpic. τῇ πρώτῃ.

2 R. ſuſpic. Λαρεντῖνα, ſc. ſacra. V. Ἀκκαλαρεντίαν; quale nomen idem ſupra dat cum B omnibus, pro Ἄκκαν Λαρ.

3 Ita R. ex V. & Anon. Vulgo πορθμίοις. Etiam in ſeq. pro vulg. πορθμίαν habent B. 1. 2. 3. cum V. & Anon. πορθμείαν.

ραν καλῦσιν. ἔνιοι δὲ λέγυσι τὴν εἰς τὸν ἱππόδρομον Φέρυσαν ἐξ ἀγορᾶς πάροδον ἱςίοις καταπεταννύναι τὺς τὴν θέαν παρέχοντας, ἐντεῦθεν ἀρχομένυς. Ῥωμαῖςὶ δὲ τὸ ἱςίον βῆλον ὀνομάζυσι. διὰ ταῦτα μὲν ἔχει τιμὰς ἡ δευτέρα Λαρεντία παρὰ Ῥωμαίοις.

VI. Τὰ δὲ βρέφη Φαυςύλος Ἀμυλίυ συφορβὸς ἀνείλετο λαθὼν ἅπαντας· ὡς δ' ἔνιοι φασὶ τῶν εἰκότων ἐχόμενοι μᾶλλον, εἰδότος τῦ Νομήτορος καὶ συγχορηγῦντος τροφὰς κρύφα τοῖς τρέφυσι [1]. καὶ γράμματα λέγονται καὶ τἄλλα μανθάνειν οἱ παῖδες εἰς Γαβίυς κομιθέντες, ὅσα χρὴ τὺς εὖ γεγονότας. κληθῆναι δὲ καὶ τύτυς ἀπὸ τῆς θηλῆς ἱςορῦσι Ῥωμύλον καὶ Ῥῶμον, ὅτι θηλάζοντες ὤφθησαν τὸ θηρίον. ἡ μὲν ὖν ἐν τοῖς σώμασιν εὐγένεια, καὶ νηπίων ὄντων, εὐθὺς ἐξέφαινε μεγέθει καὶ ἰδέᾳ τὴν φύσιν. αὐξόμενοι δὲ, θυμοειδεῖς ἦσαν ἀμφότεροι καὶ ἀνδρώδεις, καὶ φρονήματα [2] πρὸς τὰ φαινόμενα δεινὰ, καὶ τόλμαν ὅλως ἀνέκπληκτον ἔχοντες· ὁ δὲ Ῥωμύλος γνώμῃ τε χρῆσθαι μᾶλλον ἐδόκει, καὶ πολιτικὴν ἔχειν σύνεσιν, ἐν ταῖς περὶ νομὰς καὶ κυνηγίας πρὸς τὺς γειτνιῶντας ἐπιμιξίαις πολλὴν ἑαυτῦ παρέχων κατανόησιν ἡγεμονικῦ μᾶλλον, ἢ ταπεινοτέροις προσφιλεῖς ἦσαν, ἐπιςάτας δὲ καὶ διόπυς βασιλικὺς καὶ ἀγελάρχας, ὡς μηδὲν αὐτῶν ἀρετῇ διαφέροντας, ὑπερφρονῦντες, ὔτ' ἀπειλῆς ἐφρόντιζον, ὔτε ὀργῆς. ἐχρῶντο δὲ διατριβαῖς καὶ διαίταις ἐλευθερίοις, ὐ τὴν σχολὴν ἐλευθέριον ἡγύμενοι καὶ τὴν ἀπονίαν [3], ἀλλὰ γυμνάσια καὶ θήρας καὶ δρόμυς, καὶ τὸ λῃςὰς ἀλέξασθαι [4], καὶ κλῶπας ἑλεῖν, καὶ βίας ἐξελέσθαι τὺς ἀδικυμένυς. ἦσαν δὴ διὰ ταῦτα περιβόητοι.

VII.

1 B. 1. 2. βρέφεσι.
2 R. mavult φρόνημα; aut ſi plur. retineatur; eundem cenſet aſſumendum in ſeq. — τόλμας, ἀνεκπλήκτυς.
3 V. ἀπόνοιαν; Ald. ἐπονίαν.
4 V. ἀμύνασθαι vel ἀλύξασθαι.

VII. Γενομένης δέ τινος πρὸς τὰς Νομήτορος βουκόλους τοῖς Ἀμουλίου διαφορᾶς, καὶ βοσκημάτων ἐλάσεως, οὐκ ἀναχόμενοι, συγκόπτουσι μὲν αὐτοὺς καὶ τρέπονται, ἀποτέμνονται δὲ τῆς λείας συχνήν. ἀγανακτοῦντος δὲ τοῦ Νομήτορος, ὠλιγόρουν· συνῆγον δὲ καὶ προσεδέχοντο πολλοὺς μὲν ἀπόρους, πολλοὺς δὲ δούλους, θράσους ἀποστατικοῦ καὶ φρονήματος ἀρχὰς ἐνδιδόντες. τοῦ δὲ Ῥωμύλου πρός τινα θυσίαν ἀποτραπομένου, καὶ γὰρ ἦν φιλοθύτης καὶ μαντικὸς, οἱ τοῦ Νομήτορος βοτῆρες τῷ Ῥώμῳ, μετ' ὀλίγων [1] βαδίζοντι προστυχόντες ἐμάχοντο. καὶ γενομένων πληγῶν καὶ τραυμάτων ἐν ἀμφοτέροις, ἐκράτησαν οἱ τοῦ Νομήτορος, καὶ συνέλαβον ζῶντα τὸν Ῥῶμον. ἀναχθέντος οὖν αὐτοῦ πρὸς τὸν Νομήτορα, καὶ κατηγορηθέντος, αὐτὸς μὲν οὐκ ἐκόλασε, χαλεπὸν ὄντα δεδιὼς τὸν ἀδελφὸν, ἐλθὼν δὲ πρὸς ἐκεῖνον, ἐδεῖτο τυχεῖν δίκης, ἀδελφὸς ὢν καὶ καθυβρισμένος ὑπ' οἰκετῶν ἐκείνου βασιλέως ὄντος. συναγανακτούντων δὲ τῶν ἐν Ἄλβῃ, καὶ δεινὰ πάσχειν οἰομένων τὸν ἄνδρα παρ' ἀξίαν, κινηθεὶς ὁ Ἀμούλιος αὐτῷ παραδίδωσι τῷ Νομήτορι τὸν Ῥῶμον ὅ τι βούλοιτο χρήσασθαι. παραλαβὼν δ' ἐκεῖνος, ὡς ἧκεν οἴκαδε, θαυμάζων μὲν [2] ἀπὸ τοῦ σώματος τὸν νεανίσκον, ὑπερφέροντα μεγέθει καὶ ῥώμῃ πάντας, ἐνορῶν δὲ τῷ προσώπῳ τὸ θαῤῥαλέον καὶ ἰταμὸν τῆς ψυχῆς, ἀδούλωτον καὶ ἀπαθὲς ὑπὸ τῶν παρόντων, ἔργα δὲ αὐτοῦ καὶ πράξεις ὅμοια τοῖς βλεπομένοις ἀκούων, τὸ δὲ μέγιστον, ὡς ἔοικε, Θεοῦ συμπαρόντος καὶ συνεπευθύνοντος ἀρχὰς [3] μεγάλων πραγμάτων, ἁπτόμενος ἐπινοίᾳ, καὶ τύχῃ [4] τῆς ἀληθείας,

1 Junt. Ald. Crat. habent μετ' ὀλίγον.

2 B. 1. 2. add. ἦν.

3 R. susp. ἐπ' ἀρχὰς — *dirigente ad principia.*

4 H. Steph mavult ὑπονοίᾳ; Dacer præfert ἐπιπνοίᾳ, per *afflatum* f. *inspirationem* — Θεοῦ συμπαρόντος. R. vero receptam lectionem per hendiadyoin explicat, pro ἐπινοίας τύχῃ, secunda quadam sorte cogitationis &c.

θείας, ἀνέκρινεν, ὅςις εἴη καὶ ὅπως γένοιτο, φωνῇ τε πρᾳείᾳ καὶ φιλανθρώπῳ βλέμματι πίςιν αὐτῷ μετ' ἐλπίδος ἐνδιδούς. ὁ δὲ θαῤῥῶν ἔλεγεν· Ἀλλ' οὐδὲν ἀποκρύψομαί σε. καὶ γὰρ εἶναι δοκεῖς Ἀμουλίου βασιλικώτερος. ἀκούεις γὰρ καὶ ἀνακρίνεις, πρὶν ἢ κολάζειν, ὁ δ' ἀκρίτους ἐκδίδωσι. πρότερον μὲν ἑαυτοὺς οἰκετῶν βασιλέως Φαυςύλου καὶ Λαρεντίας ἠπιςάμεθα παῖδας [1]. ἐσμὲν δὲ δίδυμοι. γενόμενοι δὲ ἐν αἰτίᾳ πρός σε, καὶ διαβολαῖς, καὶ τοῖς περὶ ψυχῆς ἀγῶσιν, ἀκούομεν μεγάλα περὶ ἑαυτῶν· εἰ δὲ πιςὰ [2], κρίνειν ἔοικε νῦν ὁ κίνδυνος. γοναὶ μὲν γὰρ ἡμῶν ἀπόῤῥητοι λέγονται, τροφαὶ δὲ καὶ τιθηνήσεις ἀτοπώτεραι νεογνῶν, οἷς ἐῤῥίφημεν οἰωνοῖς καὶ θηρίοις, ὑπὸ τούτων τρεφόμενοι [3], μαςῷ λυκαίνης καὶ δρυοκολάπτου ψωμίσμασιν, ἐν σκάφῃ τινὶ κείμενοι παρὰ τὸν μέγαν ποταμόν. ἔςι δ' ἡ σκάφη, καὶ σώζεται [4], χαλ-
ιδ κοῖς ὑποζώσμασι γραμμάτων ἀμυδρῶν ἐγκεχαραγμένων· ἃ γένοιτ' ἂν ὕςερον ἴσως ἀνωφελῆ γνωρίσματα τοῖς τοκεῦσιν ἡμῶν ἀπολομένων. Ὁ μὲν οὖν Νομήτωρ, ἔκ τε τῶν λόγων τούτων, καὶ πρὸς τὴν ὄψιν εἰκάζων τὸν χρόνον, οὐκ ἔφυγε τὴν ἐλπίδα σαίνουσαν, ἀλλ' ἐφρόντιζεν, ὅπως τῇ θυγατρὶ περὶ τούτων κρύφα συγγενόμενος φράσειεν· ἐφρουρεῖτο γὰρ ἔτι καρτερῶς.

VIII. Ὁ δὲ Φαυςύλος ἀκούσας τήν τε σύλληψιν τοῦ Ῥώμου καὶ τὴν παράδοσιν, τὸν μὲν Ῥωμύλον ἠξίου βοηθεῖν, τότε σαφῶς διδάξας περὶ τῆς γενέσεως· πρότερον δὲ ὑπηνίττετο, καὶ παρεδήλου τοσοῦτον, ὅσον προσέχοντας [5] μὴ μικρὸν φρονεῖν. αὐτὸς δὲ τὴν σκάφην κομίζων ἐχώ-

1 B. 1. 2. εἶναι παῖδας. R. vult παῖδας ὄντας.

2 R. post πιςὰ ita forte leg. susp. πιςὰ, τοῦ κρίνειν ἥκει νῦν ὁ κίνδυνος.

3 R. in hac regione non nihil desiderari suspicatur; cum non appareat, quo partic. τρεφ. & κειμ. referantur.

4 Anon. ἔζωςαι.

5 Br. mavult προσέχοντα. R. locus vitiosus videtur. Interpp. in eo plerumque conveniunt, ut post προσέχοντας addendum esset ποιεῖν.

ἐχώρει πρὸς τὸν Νομήτορα, σπουδῆς καὶ δέους μεστὸς ὢν διὰ τὸν καιρόν. ὑποψίαν οὖν τοῖς περὶ τὰς πύλας Φρουροῖς τοῦ βασιλέως παρέχων, καὶ ὑφορώμενος ὑπ' αὐτῶν, καὶ ταραττόμενος πρὸς τὰς ἀνακρίσεις, οὐκ ἔλαθε τὴν σκάφην τῷ χλαμυδίῳ περικαλύπτων. ἦν δέ τις ἐν αὐτοῖς ἀπὸ τύχης τῶν τὰ παιδάρια [1] ῥίψαι λαβόντων, καὶ γεγονότων περὶ τὴν ἔκθεσιν. οὗτος ἰδὼν τὴν σκάφην τότε, καὶ γνωρίσας τῇ κατασκευῇ καὶ τοῖς γράμμασιν, ἔτυχεν ὑπονοίᾳ τοῦ ὄντος· καὶ οὐ παρημέλησεν, ἀλλὰ φράσας τὸ πρᾶγμα τῷ βασιλεῖ, κατέστησεν εἰς ἔλεγχον. ἐν δὲ πολλαῖς καὶ μεγάλαις ἀνάγκαις ὁ Φαυστύλος οὔτ' ἀήττητον ἑαυτὸν διαφυλάξας [2], οὔτε παντάπασιν ἐκβιασθεὶς, σώζεσθαι μὲν ὡμολόγησε τοὺς παῖδας, εἶναι δ' ἄποθεν τῆς Ἄλβης ἔφη νέμοντας· αὐτὸς δὲ τοῦτο πρὸς τὴν Ἰλίαν φέρων βαδίζειν, πολλάκις ἰδεῖν καὶ θίγειν ἐπ' ἐλπίδι βεβαιοτέρᾳ τῶν τέκνων ποθήσασαν. ὅπερ οὖν οἱ ταραττόμενοι καὶ μετὰ δέους ἢ πρὸς ὀργὴν πράττοντες ὁτιοῦν ἐπιεικῶς πάσχουσι, συνέπεσε παθεῖν τὸν Ἀμούλιον. ἄνδρα γὰρ ἄλλη τε [3] χρηστὸν καὶ τοῦ Νομήτορος φίλον ὑπὸ σπουδῆς ἔπεμψε, διαπυθέσθαι τοῦ Νομήτορος κελεύσας, εἴ τις ἥκοι λόγος ὡς [4] αὐτὸν ὑπὲρ τῶν παίδων, ὡς περιγενομένων. ἀφικόμενος οὖν ὁ ἄνθρωπος, καὶ θεασάμενος ὅσον οὔπω τὸν Ῥῶμον ἐν περιβολαῖς καὶ φιλοφροσύναις τοῦ Νομήτορος, τήν τε πίστιν ἰσχυρὰν ἐποίησε τῆς ἐλπίδος, καὶ παρεκελεύσατο τῶν πραγμάτων ὀξέως ἀντιλαμβάνεσθαι· καὶ συνῆν αὐτοῖς ἤδη καὶ συνέπραττεν. ὁ δὲ καιρὸς οὐδὲ βουλομένοις ὀκνεῖν παρεῖχεν. ὁ γὰρ Ῥωμύλος ἐγγὺς ἦν ἤδη, καὶ πρὸς αὐτὸν ἐξέθεον οὐκ ὀλίγοι τῶν πολιτῶν μίσει καὶ φόβῳ τοῦ Ἀμουλίου. πολλὴν δὲ καὶ σὺν [5] αὐτῷ δύναμιν ἦγε συλ-

1 V. παιδία.
2 Ex emend. R. Vulgo διαφύλαξιν.
3 Br. leg. censet ἄλλα τε.
4 Emend. R. Vulgo εἰς.
5 Omitt. καὶ B. 1. 2.

συλλελοχισμένην εἰς ἑκατοστύας [1]· ἑκάστης δὲ ἀνὴρ ἀφηγεῖτο, χόρτου καὶ ὕλης ἀγκαλίδα κοντῷ περικειμένην ἀνέχων. μανίπλα ταῦτα [2] Λατῖνοι καλοῦσιν. ἀπ᾽ ἐκείνου δὲ καὶ νῦν ἐν τοῖς στρατεύμασι τούτους μανιπλαρίους ὀνομάζουσιν. ἅμα δὴ [3] τοῦ μὲν Ῥώμου τοὺς ἐντὸς ἀφιστάντος, τοῦ δὲ Ῥωμύλου προσάγοντος ἔξωθεν, οὔτε πράξας οὐδὲν ὁ τύραννος, οὔτε βουλεύσας σωτήριον ἑαυτῷ, διὰ τὸ ἀπορεῖν καὶ ταράττεσθαι, καταληφθεὶς ἀπέθανεν. ὧν τὰ πλεῖστα καὶ Φαβίου λέγοντος καὶ τοῦ Πεπαρηθίου Διοκλέους, ὃς δοκεῖ πρῶτος ἐκδοῦναι Ῥώμης κτίσιν, ὕποπτον μὲν ἐνίοις ἐστὶ τὸ δραματικὸν καὶ πλασματῶδες· οὐ δεῖ δὲ ἀπιστεῖν, τὴν τύχην ὁρῶντας, οἵων ποιημάτων δημιουργός ἐστι, καὶ τὰ Ῥωμαίων πράγματα λογιζομένους, ὡς οὐκ ἂν ἐνταῦθα προὔβη δυνάμεως, μὴ θείαν τινὰ ἀρχὴν λαβόντα, καὶ μηδὲν μέγα μηδὲ παράδοξον ἔχουσαν.

IX. Ἀμουλίου δὲ ἀποθανόντος, καὶ τῶν πραγμάτων καταστάντων, Ἄλβην μὲν οὔτ᾽ οἰκεῖν μὴ ἄρχοντες, οὔτ᾽ ἄρχειν ἐβούλοντο, τοῦ μητροπάτορος ζῶντος· ἀποδόντες δὲ τὴν ἡγεμονίαν ἐκείνῳ, καὶ τῇ μητρὶ τιμὰς πρεπούσας [4], ἔγνωσαν οἰκεῖν καθ᾽ ἑαυτοὺς, πόλιν, ἐν οἷς χωρίοις ἐξ ἀρχῆς ἐνετράφησαν, κτίσαντες· αὕτη γὰρ εὐπρεπεστάτη τῶν αἰτιῶν ἐστιν. ἦν δ᾽ ἴσως ἀναγκαῖον, οἰκετῶν καὶ ἀποστατῶν πολλῶν ἠθροισμένων πρὸς αὐτοὺς, ἢ καταλυθῆναι παντάπασι, τούτων διασπαρέντων, ἢ συνοικεῖν νὴ Δία [5] μετ᾽ αὐτῶν. ὅτι γὰρ οὐκ ἠξίουν οἱ τὴν Ἄλβην οἰκοῦντες ἀναμιγνῦναι τοὺς ἀποστάτας ἑαυτοῖς, οὐδὲ προσδέχεσθαι πολίτας, ἐδήλωσε πρῶτον μὲν τὸ περὶ τὰς γυναῖκας ἔργον, οὐχ ὕβρει τολμηθὲν, ἀλλὰ δι᾽ ἀνάγκην, ἑκουσίων [6] ἀπορίᾳ

γάμων·

1 Junt. Ald. dant ἑκατοστείας.
2 Omnes B. ταύτας, sc. ἀγκαλίδας.
3 Ex lect. B. omnium. Vulgo ἀλλά.
4 R. mavult cum articulo τὰς πρεπούσας.
5 Pro vulg. ἰδίᾳ, ex emend. Reisk. [illegible]
6 Ex emend. Br. vulgo ἑκουσίως. Anon. ἀκουσίως.

γάμων· ἐτίμησαν γὰρ αὐτὰς ἁρπάσαντες περιττῶς. ἔπειτα τῆς πόλεως τὴν πρώτην ἵδρυσιν λαμβανούσης, ἱερόν τι φύξιμον τοῖς ἀφισαμένοις κατασκευάσαντες, ὃ Θεοῦ Ἀσυλαίου προσηγόρευον, ἐδέχοντο πάντας, οὔτε δεσπόταις δοῦλον, οὔτε θῆτα χρήσταις, οὔτ' ἄρχουσιν ἀνδροφόνον ἐκδιδόντες, ἀλλὰ μαντεύματι πυθοχρήστῳ πᾶσι βεβαιοῦν τὴν ἀσυλίαν φάσκοντες· ὥστε πληθῦσαι ταχὺ τὴν πόλιν. ἐπεὶ τάς γε πρώτας ἑστίας λέγουσι τῶν χιλίων μὴ πλείονας γενέσθαι. ταῦτα μὲν οὖν ὕστερον. ὁρμήσασι δὲ πρὸς τὸν συνοικισμὸν αὐτοῖς, εὐθὺς ἦν διαφορὰ περὶ τοῦ τόπου. Ῥωμύλος μὲν οὖν τὴν καλουμένην Ῥώμην Κουαδράτην, ὅπερ ἐστὶ τετράγωνον, ἔκτισε, καὶ ἐκεῖνον ἐβούλετο πολίζειν τὸν τόπον· Ῥῶμος δὲ, χωρίον τι τοῦ Ἀβεντίνου καρτερὸν [1], ὃ δι' ἐκεῖνον μὲν ὠνομάσθη Ῥεμώνιον [2], νῦν δὲ Ῥιγνάριον καλεῖται. συνθεμένων δὲ τὴν ἔριν ὄρνισιν αἰσίοις βραβεῦσαι, καὶ καθεζομένων χωρὶς, ἓξ φασὶ τῷ Ῥώμῳ, διπλασίους δὲ τῷ Ῥωμύλῳ προφανῆναι γῦπας. οἱ δὲ τὸν μὲν Ῥῶμον ἀληθῶς ἰδεῖν· ψεύσασθαι δὲ τὸν Ῥωμύλον. ἐλθόντος δὲ τοῦ Ῥώμου, τότε τοὺς δώδεκα τῷ Ῥωμύλῳ φανῆναι· διὸ καὶ νῦν μάλιστα χρῆσθαι γυψὶ Ῥωμαίους οἰωνιζομένους. Ἡρόδωρος [3] δὲ ὁ Ποντικὸς ἱστορεῖ καὶ τὸν Ἡρακλέα χαίρειν γυπὸς ἐπὶ πράξει φανέντος. ἔστι μὲν γὰρ ἀβλαβέστατον ζώων ἁπάντων, μηδὲν, ὧν σπείρουσιν, ἢ φυτεύουσιν, ἢ νέμουσιν ἄνθρωποι, σινόμενον· τρέφεται δὲ ἀπὸ νεκρῶν σωμάτων· ἀποκτίννυσι δ' οὐδὲν, οὐδὲ λυμαίνεται ψυχὴν [4] ἔχον, πτηνοῖς δὲ διὰ συγγένειαν οὐδὲ νεκροῖς πρόσεισιν. ἀετοὶ δὲ καὶ γλαῦκες καὶ ἱέρακες ζῶν-



1 B. 1. 2. add. ἔκτισεν.

2 B. 1. 2. Ῥωμώνιον. Dacier ex Ms. cum Anon. leg. censet Ῥεμωρία. Ῥεμώριον vult Davisius. — Ῥιγνάριον corrupta vox esse videtur.

3 Alii legunt vertuntque Ἡρόδοτος.

4 B. 1. 2. τὸ ψυχὴν; R. susp. τι ψυχὴν ἔχον.

ζῶντα κόπτουσι τὰ ὁμόφυλα καὶ φονεύουσι. καίτοι κατ' Αἰσχύλον·

Ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;

ἔτι τἆλλα μὲν ἐν ὀφθαλμοῖς, ὡς ἔπος εἰπεῖν, ἀναστρέφεται, καὶ παρέχει διὰ παντὸς αἴσθησιν ἑαυτῶν· ὁ δὲ γὺψ σπάνιόν ἐστι θέαμα, καὶ νεοσσοῖς γυπὸς οὐ ῥαδίως ἴσμεν ἐντετυχηκότες· ἀλλὰ καὶ παρέσχεν ἐνίοις ἄτοπον ὑπόνοιαν, ἔξωθεν αὐτοὺς ἀφ' ἑτέρας τινὸς γῆς καταίρειν ἐνταῦθα, τὸ σπάνιον καὶ μὴ συνεχές. οἷον οἱ μάντεις ἀξιοῦσιν εἶναι τὸ μὴ κατὰ φύσιν, μηδ' ἀφ' αὑτοῦ, πομπῇ δὲ θείᾳ φαινόμενον.

X. Ἐπεὶ δ' ἔγνω τὴν ἀπάτην ὁ Ῥῶμος, ἐχαλέπαινε, καὶ τοῦ Ῥωμύλου τάφρον ὀρύττοντος, ᾗ τὸ τεῖχος ἔμελλε κυκλοῦσθαι, τὰ μὲν ἐχλεύαζε τῶν ἔργων, τοῖς δ' ἐμποδὼν ἐγίνετο. τέλος δὲ διαλλόμενον αὐτὸν, οἱ μὲν, αὐτοῦ Ῥωμύλου πατάξαντος, οἱ δὲ, τῶν ἑταίρων τινὸς Κέλερος [1], ἐνταῦθα [2] πεσεῖν λέγουσιν. ἔπεσε δὲ καὶ Φαυστύλος ἐν τῇ μάχῃ καὶ Πλειστῖνος· ὃν ἀδελφὸν ὄντα Φαυστύλου συνεκθρέψαι τοὺς περὶ τὸν Ῥωμύλον ἱστοροῦσιν. ὁ μὲν οὖν Κέλερ εἰς Τυῤῥηνίαν [3] μετέστη, καὶ ἀπ' ἐκείνου τοὺς ταχεῖς οἱ Ῥωμαῖοι καὶ ὀξεῖς Κέλερας ὀνομάζουσι· καὶ Κόϊντον Μέτελλον, ὅτι τοῦ πατρὸς ἀποθανόντος ἀγῶνα μονομάχων ἡμέραις ὀλίγαις ἐποίησε, θαυμάσαντες τὸ τάχος τῆς παρασκευῆς, Κέλερα προσηγόρευσαν. ὁ δὲ Ῥωμύλος ἐν τῇ Ῥεμονίᾳ θάψας τὸν Ῥῶμον ὁμοῦ καὶ τοὺς τροφεῖς, ᾤκιζε τὴν πόλιν, ἐκ Τυῤῥηνίας μεταπεμψάμενος ἄνδρας ἱεροῖς τισι θεσμοῖς καὶ γράμμασιν ὑφηγουμένους ἕκαστα καὶ διδάσκοντας, ὥσπερ ἐν τελετῇ. βόθρος γὰρ ὠρύγη περὶ τὸ νῦν Κομίτιον κυκλοτερὴς, ἀπαρχαί τε πάντων,

ὅσοις

1 B. 1. 2. Κέλωρος & infra Κέλωρ.

2 Prorsus aliena hæc vox R. h. l. videtur; susp. non nihil de pugna hac de re coorta deesse.

3 R. non placet hæc lectio, rei, ut fuit, minus congrua. Legendum suspicatur ἐκ Τυῤῥηνίας.

ὅσοις νόμῳ μὲν ὡς καλοῖς ἐχρῶντο, φύσει δ᾽ ὡς ἀναγκαίοις, ἀπετέθησαν ἐνταῦθα. καὶ τέλος, ἐξ ἧς ἀφῖκτο γῆς ἕκαστος, ὀλίγην κομίζων μοῖραν, ἔβαλον εἰς ταῦτα [1] καὶ συνεμίγνυον. καλοῦσι δὲ βόθρον τοῦτον, ᾧ καὶ τὸν ὄλυμπον, ὀνόματι, μοῦνδον. εἶτα, ὥσπερ κύκλον κέντρῳ, περιέγραψαν τὴν πόλιν. ὁ δ᾽ οἰκιστὴς ἐμβαλὼν ἀρότρῳ χαλκῆν ὕννιν, ὑποζεύξας δὲ βοῦν ἄῤῥενα καὶ θήλειαν, αὐτὸς μὲν ἐπάγει περιελαύνων αὔλακα βαθεῖαν τοῖς τέρμασι [2], τῶν δ᾽ ἑπομένων ἔργον ἐστὶν, ἃς ἀνίστησι βώλους τὸ ἄροτρον, καταστρέφειν εἴσω, καὶ μηδεμίαν ἔξω περιορᾷν ἐκτρεπομένην. τῇ μὲν οὖν γραμμῇ τὸ τεῖχος ἀφορίζουσι, καὶ καλεῖται κατὰ συγκοπὴν πωμήριον, οἷον ὄπισθεν τείχους, ἢ μετὰ τεῖχος. ὅπου δὲ πύλην ἐμβαλεῖν διανοοῦνται, τὴν ὕννιν ἐξελόντες καὶ τὸ ἄροτρον ὑπερθέντες, διάλειμμα ποιοῦσιν. ὅθεν ἅπαν τὸ τεῖχος ἱερὸν, πλὴν τῶν πυλῶν, νομίζουσι· τὰς δὲ πύλας ἱερὰς νομίζοντας, οὐκ [3] ἦν ἄνευ δεισιδαιμονίας τὰ μὲν δέχεσθαι, τὰ δ᾽ ἀποπέμπειν τῶν τε ἀναγκαίων καὶ τῶν μὴ καθαρῶν [4].

XII. Ὅτι μὲν οὖν ἡ κτίσις ἡμέρᾳ γένοιτο τῇ πρὸ [5] ἕνδεκα καλανδῶν Μαΐων, ὁμολογεῖται· καὶ τὴν ἡμέραν ταύτην ἑορτάζουσι Ῥωμαῖοι, γενέθλιον τῆς πατρίδος ὀνομάζοντες. ἐν ἀρχῇ δ᾽, ὥς φασιν, οὐδὲν ἔμψυχον ἔθυον, ἀλλὰ καθαρὰν καὶ ἀναίμακτον ᾤοντο δεῖν τῇ πατρίδι τὴν ἐπώνυμον τῆς γενέσεως ἑορτὴν φυλάττειν. οὐ μὴν ἀλλὰ καὶ πρὸ τῆς κτίσεως βοτηρική τις ἦν αὐτοῖς ἑορτὴ κατὰ



1 V. ἔβαλλον. R. susp. ἔβαλλον, aut συνέβαλλον εἰς ταὐτό.

2 B. 1. 2. omittunt βαθεῖαν; & legunt τοῖς τέλμασι.

3 B. 1. 2. ὀνομάζουσιν. οἱ δὲ τὰς πύλας ἱερὰς νομίζοντες, φασὶν, ὅτι οὐκ cet. —

4 R. susp. τῶν γε ἀναγκαίων, καίτοι μὴ καθαρῶν.

5 B. 1. 2. πρὸς.

κατὰ ταύτην τὴν ἡμέραν, καὶ Παλήλια [1] προσηγόρευον αὐτήν. νῦν μὲν οὖν οὐδὲν αἱ Ῥωμαϊκαὶ νουμηνίαι πρὸς τὰς Ἑλληνικὰς ὁμολογούμενον ἔχουσιν· ἐκείνην δὲ τὴν ἡμέραν, ᾗ τὴν πόλιν ὁ Ῥωμύλος ἔκτιζεν, ἀτρεκῆ τριακάδα [2] τυχεῖν λέγουσι· καὶ σύνοδον ἐκλειπτικὴν ἐν αὐτῇ γενέσθαι σελήνης πρὸς ἥλιον, ἣν εἰδέναι καὶ Ἀντίμαχον οἴονται, τὸν Τήϊον ἐποποιὸν, ἔτει τρίτῳ τῆς ἕκτης ὀλυμπιάδος συμπεσοῦσαν. ἐν δὲ τοῖς κατὰ Οὐάῤῥωνα τὸν φιλόσοφον χρόνοις, ἄνδρα Ῥωμαίων [3] ἐν ἱστορίᾳ βιβλιακώτατον, ἦν Ταρούτιος ἑταῖρος αὐτοῦ, φιλόσοφος μὲν ἄλλως καὶ μαθηματικὸς, ἁπτόμενος δὲ τῆς περὶ τὸν πίνακα μεθόδου, θεωρίας ἕνεκα, καὶ δοκῶν ἐν αὐτῇ περιττὸς εἶναι. τούτῳ προὔβαλλεν ὁ Οὐάῤῥων ἀναγαγεῖν τὴν Ῥωμύλου γένεσιν εἰς ἡμέραν καὶ ὥραν, ἐκ τῶν λεγομένων ἀποτελεσμάτων περὶ τὸν ἄνδρα ποιησάμενον τὸν συλλογισμὸν, ὥσπερ αἱ τῶν γεωμετρικῶν ὑφηγοῦνται προβλημάτων ἀναλύσεις. τῆς γὰρ αὐτῆς θεωρίας εἶναι, χρόνον τε λαβόντας ἀνθρώπου γενέσεως, βίον προειπεῖν, καὶ βίῳ δοθέντι θηρεῦσαι χρόνον. ἐποίησεν οὖν τὸ προσταχθὲν ὁ Ταρούτιος, καὶ τά τε πάθη καὶ τὰ ἔργα τοῦ ἀνδρὸς ἐπιδὼν, καὶ χρόνον ζωῆς καὶ τρόπον τελευτῆς, καὶ πάντα τὰ τοιαῦτα συνθεὶς, εὖ μάλα τεθαῤῥηκότως καὶ ἀνδρείως ἀπεφήνατο τὴν μὲν ἐν τῇ μητρὶ τοῦ Ῥωμύλου γεγονέναι σύλληψιν ἔτει πρώτῳ τῆς δευτέρας ὀλυμπιάδος, ἐν μηνὶ κατ' Αἰγυπτίους Χοιὰκ, τρίτῃ καὶ εἰκάδι, τρίτης ὥρας, καθ' ἣν ὁ ἥλιος ἐξέλιπε παντελῶς· τὴν δ' ἐμφανῆ γένεσιν, ἐν μηνὶ Θὼθ, ἡμέρᾳ πρώτῃ μετ' εἰκάδα περὶ ἡλίου ἀνατολάς. κτισθῆναι δὲ τὴν Ῥώμην ὑπ' αὐτοῦ [4] τῇ ἐνά-

1 V. παρήλια; Idem paulo post loco τὰς ἑλληνικὰς hab. τοὺς ἕλληνας.

2 Petitus Misc. l. IX. c. 2. leg. εἰκάδα.

3 Junt. dat Ῥωμαῖον. Pro τὸν φιλόσοφον susp. R. τὸν φιλόλογον.

4 V. ὑπ' αὐτῇ. Pro ἐνάτῃ legit Petitus l. supr. cit. πρώτῃ.

ἐνάτῃ Φαρμȣθὶ μηνὸς ἱςαμένȣ, μεταξὺ δευτέρας ὥρας καὶ τρίτης· ἐπεὶ καὶ πόλεως τύχην, ὥσπερ ἀνθρώπȣ, κύριον ἔχειν οἴονται χρόνον, ἐκ τῆς πρώτης γενέσεως πρὸς τὰς τῶν ἀςέρων ἐποχὰς θεωρȣ́μενον. ἀλλὰ ταῦτα μὲν ἴσως καὶ τὰ τοιαῦτα ȣ̓ τῷ ξένῳ καὶ περιττῷ προσάξεται μᾶλλον, ἢ διὰ τὸ μυθῶδες ἐνοχλήσει τȣ̀ς ἐντυγχάνοντας αὐτοῖς.

XIII. Κτιθείσης δὲ τῆς πόλεως, πρῶτον μὲν ὅσον ἦν ἐν ἡλικίᾳ πλῆθος, εἰς συντάγματα ςρατιωτικὰ διεῖλεν· ἕκαςον δὲ σύνταγμα πεζῶν τρισχιλίων ἦν, καὶ τριακοσίων ἱππέων. ἐκλήθη δὲ λεγεὼν, τῷ λογάδας εἶναι τȣ̀ς μαχίμȣς ἐκ πάντων. ἔπειτα τοῖς μὲν ἄλλοις ἐχρῆτο δήμῳ, καὶ ποπȣ́λȣς ὠνομάσθη τὸ πλῆθος· ἑκατὸν δὲ τȣ̀ς ἀρίςȣς ἀπέδειξε βȣλευτὰς, καὶ αὐτȣ̀ς μὲν πατρικίȣς, τὸ δὲ σύςημα, σενάτον προσηγόρευσεν. ὁ μὲν ȣ̓͂ν σενάτος ἀτρεκῶς γερȣσίαν σημαίνει· πατρικίȣς δὲ τȣ̀ς βȣλευτὰς κληθῆναι λέγȣσιν, οἱ μὲν, ὅτι παίδων γνησίων πατέρες ἦσαν, οἱ δὲ μᾶλλον, ὡς αὐτȣ̀ς ἔχοντας ἑαυτῶν ἀποδεῖξαι πατέρας, ὅπερ ȣ̓ πολλοῖς ὑπῆρξε τῶν πρώτων εἰς τὴν πόλιν συῤῥεόντων· οἱ δὲ ἀπὸ τῆς πατρωνείας. ȣ̔͂τω γὰρ ἐκάλȣν τὴν προςασίαν, καὶ καλȣ͂σιν ἄχρι νῦν, οἰόμενοι Πάτρωνά τινα τῶν σὺν Εὐάνδρῳ παραγενομένων, κηδεμονικὸν τῶν ὑποδεεςέρων ὄντα καὶ βοηθητικὸν, ἀφ᾽ αὐτȣ͂ τῷ πράγματι ταύτην τὴν προσηγορίαν ἀπολιπεῖν. μάλιςα δ᾽ ἄν τις τυγχάνοι τȣ͂ εἰκότος, εἰ νομίζοι, τὸν Ῥωμύλον, ἀξιȣ͂ντα τȣ̀ς πρώτȣς καὶ δυνατωτάτȣς πατρικῇ κηδεμονίᾳ καὶ φροντίδι προσήκειν ἐπιμελεῖσθαι τῶν ταπεινοτέρων, ἅμα δὲ τȣ̀ς ἄλλȣς διδάσκοντα μὴ δεδιέναι, μηδ᾽ ἄχθεσθαι ταῖς τῶν κρειττόνων τιμαῖς, ἀλλὰ χρῆσθαι μετ᾽ εὐνοίας, καὶ νομίζοντας, καὶ προσαγορεύοντας πατέρας, ȣ̔́τως ὀνομάσαι. καὶ γὰρ ἄχρι νῦν τȣ̀ς ἐν συγκλήτῳ τελȣ͂ντας [1],

 οἱ

1 B. omnes τῶν ἐν συγκλήτῳ τελȣ́ντων. Junt. & Ald. consentiunt. Hinc R. si hæc lectio vera sit, deesse suspicatur τὸ σύςημα, vel tale quid.

οἱ μὲν ἔξωθεν ἄνδρας ἡγεμόνας καλȣ͂σιν· αὐτοὶ δὲ Ῥωμαῖοι πατέρας συγγεγραμμένȣς, τῷ μέγιςον μὲν ἀξίωμα καὶ τιμὴν, ἥκιςα δὲ φθόνον ἔχοντι χρώμενοι [1] τῶν ὀνομάτων. ἐν ἀρχῇ μὲν ȣ͂ν πατέρας αὐτȣ̀ς μόνον, ὕςερον δὲ πλειόνων προσαναλαμϐανομένων, πατέρας συγγεγραμμένȣς προσηγόρευσεν [2]. καὶ τȣ͂το μὲν ἦν ὄνομα σεμνότερον αὐτῷ τῆς πρὸς τὸ δημοτικὸν τȣ͂ βȣλευτικȣ͂ διαφορᾶς· ἑτέροις [3] δὲ τȣ̀ς δυνατȣ̀ς ἀπὸ τῶν πολλῶν διῄρει, πάτρωνας ὀνομάζων, ὅπερ ἐςὶ προςάτας, ἐκείνȣς δὲ κλίεντας, ὅπερ ἐςὶ πελάτας· ἅμα δὲ πρὸς ἀλλήλȣς θαυμαςὴν εὔνοιαν αὐτοῖς καὶ μεγάλων δικαίων ὑπάρξȣσαν ἐνεποίησεν. ȣ͂τοι μὲν γὰρ ἐξηγητάς τε τῶν νομίμων καὶ προςάτας δικαζομένοις, συμϐȣ́λȣς τε πάντων καὶ κηδεμόνας ἑαυτȣ̀ς παρεῖχον. ἐκεῖνοι δὲ τȣ́τȣς ἐθεράπευον, ȣ̓ μόνον τιμῶντες, ἀλλὰ καὶ πενομένοις θυγατέρας συνεκδιδόντες, καὶ χρέα συνεκτιννύοντες [4]· καταμαρτυρεῖν τε πελάτȣ προςάτην, ἢ προςάτȣ πελάτην, ȣ̓́τε νόμος ȣ̓δεὶς, ȣ̓́τε ἄρχων ἠνάγκαζεν. ὕςερον δὲ τῶν ἄλλων δικαίων μενόντων, τὸ λαμϐάνειν χρήματα τȣ̀ς δυνατȣ̀ς παρὰ τῶν ταπεινοτέρων, αἰσχρὸν ἐνομίσθη καὶ ἀγεννές. ταῦτα μὲν ȣ͂ν περὶ τȣ́των.

XIV. Τετάρτῳ δὲ μηνὶ μετὰ τὴν κτίσιν, ὡς Φάβιος ἱςορεῖ, τὸ περὶ τὴν ἁρπαγὴν ἐτολμήθη τῶν γυναικῶν. καὶ λέγȣσι μὲν ἔνιοι τὸν Ῥωμύλον αὐτὸν, τῇ φύσει φιλοπόλεμον ὄντα, καὶ πεπεισμένον ἔκ τινων ἄρα λογίων, ὅτι τὴν Ῥώμην πέπρωται πολέμοις τρεφομένην καὶ αὐξομένην γενέσθαι μεγίςην, βίας ὑπάρξαι πρὸς τȣ̀ς Σαβίνȣς· ȣ̓δὲ γὰρ πολλὰς, ἀλλὰ τριάκοντα μόνας παρθένȣς λαβεῖν αὐτὸν, ἅτε δὴ πολέμȣ μᾶλλον, ἢ γάμων δεόμενον. τȣ͂το

1 deest hoc vocab. B. 1. 2.

2 Ex emend. R. Vulgo προσηγόρευσαν.

3 Ex emend. R. *aliis*, scil. *appellationibus*. Vulg. ἑτέρȣς, Br. vult ἑτέρως.

4 V. B. 1. 2. συνεκτίνοντες.

τȣ̃το δὲ ȣ̓κ εἰκός· ἀλλὰ τὴν μὲν πόλιν ὁρῶν ἐποίκων εὐθὺς ἐμπιπλαμένην, ὧν ὀλίγοι γυναῖκας εἶχον, οἱ δὲ πολλοὶ μιγάδες ἐξ ἀπόρων καὶ ἀφανῶν ὄντες ὑπερεωρῶντο καὶ προσεδοκῶντο μὴ συμμενεῖν βεβαίως· ἐλπίζων δὲ πρὸς τȣ̀ς Σαβίνȣς τρόπον τινὰ συγκράσεως καὶ κοινωνίας ἀρχὴν τὸ ἀδίκημα ποιήσειν αὐτȣ̀ς ἡμερωσαμένȣς [1] τὰς γυναῖκας, ἐπεχείρησε τῷ ἔργῳ τόνδε τὸν τρόπον. διεδόθη λόγος ὑπ' αὐτȣ̃ πρῶτον, ὡς Θεȣ̃ τινος ἀνευρήκοι [2] βωμὸν ὑπὸ γῆς κεκρυμμένον. ὠνόμαζον δὲ τὸν Θεὸν Κῶνσον· εἴτε βȣλαῖον ὄντα, κωνσίλιον γὰρ ἔτι νῦν τὸ συμβȣ́λιον καλȣ̃σι, καὶ τȣ̀ς ὑπάτȣς, κωνσȣ́λας, οἷον προβȣ́λȣς· εἴτε ἵππειον Ποσειδῶ. καὶ γὰρ ὁ βωμὸς ἐν τῷ μείζονι τῶν ἱπποδρόμων [3] ἐςὶν ἀφανὴς τὸν ἄλλον χρόνον, ἐν δὲ τοῖς ἱππικοῖς ἀγῶσιν ἀνακαλυπτόμενος. οἱ δὲ καὶ ὅλως φασὶ τȣ̃ βȣλεύματος ἀποῤῥήτȣ καὶ ἀφανȣ̃ς ὄντος, ὑπόγειον [4] ȣ̓κ ἀλόγως τῷ Θεῷ βωμὸν γενέϑαι καὶ [5] κεκρυμμένον. ὡς δ' ἀνεφάνη, ϑυσίαν τε λαμπρὰν ἐπ' αὐτῷ καὶ ἀγῶνα καὶ ϑέαν ἐκ καταγγελίας ἐπετέλει πανηγυρικήν. καὶ πολλοὶ μὲν ἄνθρωποι συνῆλθον, αὐτὸς δὲ προȣκάθητο μετὰ τῶν ἀρίςων ἁλȣργίδι κεκοσμημένος. ἦν δὲ τȣ̃ καιρȣ̃ τῆς ἐπιχειρήσεως σύμβολον, ἐξαναςάντα τὴν ἁλȣργίδα πτύξαι, καὶ περιβαλέϑαι πάλιν. ἔχοντες ȣ̓̃ν ξίφη πολλοὶ προσεῖχον αὐτῷ, καὶ τȣ̃ σημείȣ γενομένȣ, σπασάμενοι τὰ ξίφη, καὶ μετὰ βοῆς ὁρμήσαντες, ἥρπαζον τὰς ϑυγατέρας τῶν Σαβίνων, αὐτȣ̀ς δὲ φεύγοντας εἴων καὶ παρίεσαν. ἁρπαϑῆναι



1 Ex emend. R. Vulg. *αὐτοῖς ἡμερωσαμένοις.* Br. legi vult *ὁμηρευσαμένοις, quando virgines tanquam obſides acceptas ſecum haberent.*

2 B. 1. 2. *εὑρήκοι.* Idem paulo poſt legunt pro *κωνσȣ́λας* — *κωνσȣ́λȣς*; pro *ποσειδῶ* — *ποσειδῶνα*; pro *ἐν δὲ τοῖς ἱππικοῖς* — *μόνον δὲ ἐν τοῖς* &c.

3 Ex conjectura R. deeſt forte poſt hanc vocem *ὤν*; — Idem poſt *ἀγῶσιν* lin. ſeq. addi vult *ὁρᾶται*.

4 V. *ἵππιον.*

5 R. de ſuo addidit.

ναι δέ φασιν, οἱ μὲν, τριάκοντα μόνας, ἀφ' ὧν καὶ τὰς φατρίας [1] ὀνομασθῆναι· Οὐαλέριος δὲ Ἀντίας, ἑπτὰ καὶ εἴκοσι καὶ πεντακοσίας· Ἰόβας δὲ, τρεῖς καὶ ὀγδοήκοντα καὶ ἑξακοσίας παρθένους· ὃ μέγιστον ἦν ἀπολόγημα τῷ Ῥωμύλῳ· γυναῖκα γὰρ οὐ λαβεῖν ἀλλ' ἢ μίαν Ἑρσιλίαν, διαλαθοῦσαν [2] αὐτοὺς, ἅτε δὴ μὴ μεθ' ὕβρεως, μηδ' ἀδικίας ἐλθόντας ἐπὶ τὴν ἁρπαγὴν, ἀλλὰ συμμίξαι καὶ συναγαγεῖν εἰς ταυτὸ τὰ γένη ταῖς μεγίσταις ἀνάγκαις διανοηθέντας. τὴν δ' Ἑρσιλίαν οἱ μὲν Ὁστίλιον γῆμαι λέγουσιν, ἄνδρα Ῥωμαίων ἐπιφανέστατον· οἱ δὲ αὐτὸν Ῥωμύλον, καὶ γενέσθαι καὶ παῖδας αὐτῷ, μίαν μὲν θυγατέρα Πρίμαν, τῇ τάξει τῆς γνέσεως οὕτω προσαγορευθεῖσαν, ἕνα δ' υἱὸν μόνον, ὃν Ἀόλλιον μὲν ἐκεῖνος ἀπὸ τῆς γενομένης ἀθροίσεως ὑπ' αὐτοῦ τῶν πολιτῶν ὠνόμασεν, οἱ δ' ὕστερον, Ἀβίλλιον. ἀλλὰ ταῦτα μὲν ἱστορῶν Ζηνόδοτος ὁ Τροιζήνιος πολλοὺς ἔχει τοὺς ἀντιλέγοντας.

XV. Ἐν δὲ τοῖς ἁρπάζουσι τὰς παρθένους τότε τυχεῖν λέγουσι τῶν οὐκ ἐπιφανῶν τινας ἄγοντας κόρην τῷ τε κάλλει πολὺ [3] καὶ τῷ μεγέθει διαφέρουσαν. ἐπεὶ δὲ ἀπαντῶντες ἔνιοι τῶν κρειττόνων ἐπεχείρουν ἀφαιρεῖσθαι, βοᾶν τοὺς ἄγοντας ὡς Ταλασίῳ κομίζοιεν αὐτὴν, ἀνδρὶ νέῳ μὲν, εὐδοκίμῳ δὲ καὶ χρηστῷ· τοῦτ' οὖν ἀκούσαντας εὐφημεῖν καὶ κροτεῖν ἐπαινοῦντας, ἐνίους δὲ καὶ παρακολουθεῖν ἀναστρέψαντας εὐνοίᾳ καὶ χάριτι τοῦ Ταλασίου μετὰ βοῆς τοὔνομα φθεγγομένους. ἀφ' οὗ δὴ τὸν Ταλάσιον ἄχρι νῦν, ὡς Ἕλληνες τὸν Ὑμέναιον, ἐπᾴδουσι Ῥωμαῖοι τοῖς γάμοις· καὶ γὰρ εὐτυχίᾳ φασὶ χρήσασθαι περὶ τὴν γυναῖκα τὸν Ταλάσιον. Σέξτιος δὲ Σύλλας ὁ Καρχηδόνιος, οὔτε μουσῶν οὔτε χαρίτων ἐπιδεὴς ἀνὴρ, ἔλεγεν ἡμῖν, ὅτι

1 V. φρατρίας, uti infra c. 20.

2 Ita leg. B 1. 2. V. Anon. Ed. Flor. pro vulg. διαλλάττουσαν; Ald. διαλλαττοῦσαν.

3 B. 1. 2. καταπολύ.

ἔτι τῆς ἁρπαγῆς σύνθημα τὴν φωνὴν ἔδωκε ταύτην ὁ Ῥωμύλος. ἅπαντες οὖν ἐβόων τὸν Ταλάσιον οἱ τὰς παρθένους κομίζοντες, καὶ διὰ τοῦτο τοῖς γάμοις παραμένειν [1] τὸ ἔθος. οἱ δὲ πλεῖστοι νομίζουσιν, ὧν καὶ ὁ [2] Ἰόβας ἐστὶ, παράκλησιν εἶναι καὶ παρακέλευσιν εἰς φιλεργίαν καὶ ταλασίαν, οὔπω [3] τότε τοῖς Ἑλληνικοῖς ὀνόμασι τῶν Ἰταλικῶν ἐπικεχυμένων. εἰ δὲ τοῦτο μὴ λέγεται κακῶς, ἀλλ᾽ ἐχρῶντο Ῥωμαῖοι τότε τῷ ὀνόματι τῆς ταλασίας, καθάπερ ἡμεῖς, ἑτέραν ἄν τις αἰτίαν εἰκάσειε πιθανωτέραν. ἐπεὶ γὰρ οἱ Σαβῖνοι πρὸς τοὺς Ῥωμαίους πολεμήσαντες διηλλάγησαν, ἐγένοντο συνθῆκαι περὶ τῶν γυναικῶν, ὅπως μηδὲν ἄλλο ἔργον τοῖς ἀνδράσιν, ἢ τὰ περὶ τὴν ταλασίαν ὑπουργῶσι. παρέμεινέ γ᾽ οὖν καὶ τοῖς αὖθις γαμοῦσι, τοὺς διδόντας, ἢ παραπέμποντας, ἢ ὅλως παρόντας, ἀναφωνεῖν τὸν Ταλάσιον μετὰ παιδιᾶς, μαρτυρομένους, ὡς ἐπ᾽ οὐδὲν ἄλλο ὑπούργημα τῆς γυναικὸς, ἢ ταλασίαν, εἰσαγομένης. διαμένει δὲ μέχρι νῦν, τὸ τὴν νύμφην αὐτὴν [4] ἀφ᾽ ἑαυτῆς μὴ ὑπερβαίνειν τὸν οὐδὸν εἰς τὸ δωμάτιον, ἀλλ᾽ αἰρομένην εἰσφέρεσθαι, διὰ τὸ καὶ τότε κομισθῆναι βιασθείσας, μὴ εἰσελθεῖν [5]. ἔνιοι δὲ λέγουσι καὶ τὸ τὴν κόμην τῆς γαμουμένης αἰχμῇ διακρίνεσθαι δορατίου, σύμβολον εἶναι τοῦ μετὰ μάχης καὶ πολεμικῶς τὸν πρῶτον γάμον γενέσθαι· περὶ ὧν ἐπιπλέον ἐν τοῖς αἰτίοις εἰρήκαμεν. ἐτολμήθη μὲν οὖν ἡ ἁρπαγὴ περὶ τὴν ὀκτωκαιδεκάτην ἡμέραν τοῦ τότε Σεξτιλίου μηνὸς, Αὐγούστου δὲ νῦν [6], ἐν ᾗ τὴν τῶν Κωνσαλίων ἑορτὴν ἄγουσιν.

XVI.

1 B. 1. 2. add. λέγουσι.

2 B. 1. 2. ὧν εἷς ὁ Ἰόβας; confent. Philelpho, *quorum unus* Jobas; pari modo iidem leg. infra c. 17. ὧν εἷς καὶ Ἀντίγ.

3 Anon. οὔτω.

4 V. καινήν; & loco feq. ἀφ᾽ ἑαυτῆς leg. B. 1. 2. ὑφ᾽ αὐτῆς.

5 B. 1 add. fupra lineam θελήσας.

6 B. 1. 2. add. καλουμένου.

XVI. Οἱ δὲ Σαβῖνοι, πολλοὶ μὲν ἦσαν καὶ πολεμικοὶ, κώμας δὲ ᾤκουν ἀτειχίστους, ὡς προσῆκον αὐτοῖς μέγα φρονεῖν, καὶ μὴ φοβεῖσθαι, Λακεδαιμονίων ἀποίκοις οὖσιν. οὐ μὴν ἀλλ' ὁρῶντες αὐτοὺς ἐνδεδεμένους μεγάλοις ὁμηρεύμασι, καὶ δεδιότες περὶ τῶν θυγατέρων, πρέσβεις ἀπέστειλαν, ἐπιεικῆ καὶ μέτρια προκαλούμενοι, τὸν Ῥωμύλον ἀποδιδόντα τὰς κόρας αὐτοῖς καὶ λύσαντα τὸ τῆς βίας ἔργον, εἶτα πειθοῖ καὶ νόμῳ πράττειν τοῖς γένεσι φιλίαν καὶ οἰκειότητα. τοῦ δὲ Ῥωμύλου τὰς μὲν κόρας μὴ προϊεμένου, παρακαλοῦντος δὲ τὴν κοινωνίαν δέχεσθαι τοὺς Σαβίνους, οἱ μὲν ἄλλοι βουλευόμενοι καὶ παρασκευαζόμενοι διέτριβον· Ἄκρων δὲ βασιλεὺς Κενινητῶν, ἀνὴρ θυμοειδὴς καὶ δεινὸς ἐν τοῖς πολεμικοῖς, τά τε πρῶτα τολμήματα τοῦ Ῥωμύλου δι' ὑποψίας εἶχε, καὶ τῷ πραχθέντι [1] περὶ τὰς γυναῖκας ἤδη φοβερὸν ἡγούμενος πᾶσιν εἶναι, καὶ οὐκ ἀνεκτὸν, ἢ μὴ κολασθείη, προεξανέστη τῷ πολέμῳ, καὶ μετὰ πολλῆς ἐχώρει δυνάμεως ἐπ' αὐτόν· καὶ ὁ Ῥωμύλος ἐπ' ἐκεῖνον. γενόμενοι δ' ἐν ὄψει, καὶ κατιδόντες ἀλλήλους, προυκαλοῦντο μάχεσθαι, τῶν στρατευμάτων ἐν ὅπλοις ἀτρεμούντων. εὐξάμενος οὖν ὁ Ῥωμύλος, εἰ κρατήσειε καὶ καταβάλοι, τῷ Διῒ φέρων ἀναθήσειν αὐτὸς τὰ ὅπλα τοῦ ἀνδρὸς, αὐτόν τε καταβάλλει κρατήσας, καὶ τρέπεται τὸ στράτευμα μάχης γενομένης· αἱρεῖ δὲ καὶ τὴν πόλιν· οὐ μὴν ἠδίκησε τοὺς ἐγκαταληφθέντας [2], ἀλλ' ἢ τὰς οἰκίας ἐκέλευσε καθελόντας ἀκολουθεῖν εἰς Ῥώμην, ὡς πολίτας ἐπὶ τοῖς ἴσοις ἐσομένους. τούτου μὲν οὖν οὐκ ἔστιν ὅ τι [3] μᾶλλον ηὔξησε τὴν Ῥώμην, ἀεὶ προσποιοῦσαν ἑαυτῇ καὶ συννεμοῦσαν ὧν κρατήσειεν. ὁ δὲ Ῥωμύλος, ὡς ἂν μάλιστα τὴν εὐχὴν τῷ τε Διῒ κεχαρισμένην, καὶ τοῖς πολίταις ἰδεῖν ἐπιτερπῆ παράσχοι, σκεψά-

1 B. 1. 2. Τὸ πραχθέν.

2 Ita Anon. & B. 1. 2. Olim ἐγκαταλειφθέντας.

3 B. 1. 2. ἣν ὅπερ.

σκεψάμενος ἐπὶ ϛρατοπέδȣ, δρῦν ἔτεμεν ὑπερμεγέθη, καὶ διεμόρφωσεν ὥσπερ τρόπαιον, καὶ τῶν ὅπλων τȣ̃ Ἄκρωνος ἕκαϛον ἐν τάξει περιήρμοσε καὶ κατήρτισεν [1]. αὐτὸς δὲ τὴν μὲν ἐσθῆτα περιεζώσατο, δάφνῃ δὲ ἐϛέψατο τὴν κεφαλὴν κομῶσαν. ὑπολαβὼν δὲ τῷ δεξιῷ τὸ τρόπαιον ὤμῳ προσερειδόμενον ὀρθὸν, ἐβάδιζεν ἐξάρχων ἐπινικίȣ παιᾶνος ἐν ὅπλοις ἑπομένῃ τῇ ϛρατιᾷ, δεχομένων τῶν πολιτῶν μετὰ χαρᾶς καὶ θαύματος, ἡ μὲν ȣ̃ν πομπὴ τῶν αὖθις θριάμβων ἀρχὴν καὶ ζῆλον παρέσχεν· τὸ δὲ τρόπαιον, ἀνάθημα Φερετρίȣ Διὸς ἐπωνομάσθη. τὸ γὰρ πλῆξαι, φερῖρε Ῥωμαῖοι καλȣ̃σιν· εὔξατο δὲ πλῆξαι τὸν ἄνδρα καὶ καταβαλεῖν. ὀπίμια [2] δὲ τὰ σκῦλα, φησὶν Οὐάῤῥων, καθότι καὶ τὴν περιȣσίαν ὄπεμ λέγȣσι. πιθανώτερον δ' ἄν τις εἴποι διὰ τὴν πρᾶξιν· ὄπȣς γὰρ ὀνομάζεται τὸ ἔργον. αὐτȣργῷ δὲ [3] ἀριϛείας ϛρατηγῷ ϛρατηγὸν ἀνελόντι δίδοται [4] καθιέρωσις ὀπιμίων. καὶ τρισὶ μόνοις τȣ́τȣ τυχεῖν ὑπῆρξε Ῥωμαίοις ἡγεμόσι, πρώτῳ, Ῥωμύλῳ κτείναντι τὸν Κενινήτην Ἄκρωνα· δευτέρῳ, Κορνηλίῳ Κόσσῳ Τυῤῥηνὸν ἀνελόντι Τολȣ́μνιον· ἐπὶ πᾶσι δὲ, Κλαυδίῳ Μαρκέλλῳ Βριτομάρτȣ κρατήσαντι Γαλατῶν βασιλέως. Κόσσος μὲν ȣ̃ν καὶ Μάρκελλος ἤδη τεθρίπποις εἰσήλαυνον, ȣ̓κ [5] αὐτοὶ τὰ τρόπαια φέροντες. Ῥωμύλον δ' ȣ̓κ ὀρθῶς φησὶν ἅρματι χρήσασθαι Διονύσιος. Ταρκύνιον γὰρ ἱϛορȣ̃σι τὸν Δημαράτȣ τῶν βασιλέων πρῶτον εἰς τȣ̃το τὸ σχῆμα καὶ τὸν ὄγκον ἐξᾶραι τȣ̀ς θριάμβȣς· ἕτεροι δὲ πρῶτον ἐφ' ἅρματος θριαμβεῦσαι Ποπλικόλαν. τȣ̃ δὲ Ῥωμύλȣ τὰς εἰκόνας ὁρᾶν ἔϛιν ἐν Ῥώμῃ τὰς τροπαιοφόρȣς πεζὰς ἁπάσας.

XVI.

1 V. κατήρτησεν, quod Bryano placuit, conſentiente loco ex Marcello, Philelphi interpretatione & Livio. R. autem rejicit.

2 R. mavult ὀπίμα; ſuband. ἐπωνομάσθη.

3 Br. præfert γὰρ, quod ſupra lineam habet B. 1.

4 B. 1. 2. δίδοται.

5 R de ſuo addidit.

XVII. Μετὰ δὲ τὴν τῶν Κενινητῶν ἅλωσιν, ἔτι τῶν ἄλλων Σαβίνων ἐν παρασκευαῖς ὄντων, συνέστησαν οἱ Φιδήνην καὶ Κρουστουμέριον καὶ Ἀντέμναν οἰκοῦντες ἐπὶ τοὺς Ῥωμαίους· καὶ μάχης γενομένης ἡττηθέντες ὁμοίως, τάς τε πόλεις Ῥωμύλῳ παρῆκαν ἑλεῖν, καὶ τὴν χώραν δάσασθαι, καὶ μετοικίσαι σφᾶς αὐτοὺς εἰς Ῥώμην. ὁ δὲ Ῥωμύλος τὴν μὲν ἄλλην κατέμεινε χώραν τοῖς πολίταις, ὅσην δ' εἶχον οἱ τῶν ἡρπασμένων παρθένων πατέρες, αὐτοὺς [1] ἔχειν ἐκείνους εἴασεν. ἐπὶ τούτοις βαρέως φέροντες οἱ λοιποὶ Σαβῖνοι, Τάτιον ἀποδείξαντες στρατηγὸν, ἐπὶ τὴν Ῥώμην ἐστράτευσαν· ἦν δὲ δυσπρόσοδος ἡ πόλις, ἔχουσα πρόβλημα τὸ νῦν Καπιτώλιον, ἐν ᾧ φρουρὰ καθειστήκει, καὶ Ταρπήϊος ἡγεμὼν αὐτῆς, οὐχὶ [2] Ταρπηΐα παρθένος, ὡς ἔνιοι λέγουσιν, εὐήθη τὸν Ῥωμύλον ἀποδεικνύοντες· ἀλλὰ θυγάτηρ ἡ Ταρπηΐα τοῦ ἄρχοντος οὖσα προὔδωκε τοῖς Σαβίνοις, ἐπιθυμήσασα τῶν χρυσῶν βραχιονιστήρων, οὓς εἶδε περικειμένους, καὶ ᾔτησε μισθὸν τῆς προδοσίας, ἃ φοροῖεν ἐν ταῖς ἀριστεραῖς χερσί. συνθεμένου δὲ τοῦ Τατίου, νύκτωρ ἀνοίξασα πύλην μίαν, ἐδέξατο τοὺς Σαβίνους. οὐ μόνος [3] οὖν, ὡς ἔοικεν, Ἀντίγονος ἔφη προδιδόντας [4] μὲν φιλεῖν, προδεδωκότας δὲ μισεῖν· οὐδὲ [5] Καῖσαρ, εἰπὼν ἐπὶ τοῦ Θρακὸς Ῥυμιτάλκου, φιλεῖν μὲν προδοσίαν, προδότην δὲ μισεῖν· ἀλλὰ κοινόν τι τοῦτο πάθος ἐστὶ πρὸς τοὺς πονηροὺς τοῖς δεομένοις αὐτῶν, ὥσπερ ἰοῦ [6] καὶ χολῆς ἐνίων θηρίων δέονται· τὴν γὰρ χρείαν ὅτε λαμβάνουσιν, ἀγαπῶντες, ἐχθαίρουσι τὴν κακίαν, ὅταν τύχωσι.

1 Br. ſuſp. *αὐτοῖς.*

2 H. Steph. addi vult *δέ.*

3 B 1 2. *μόνον.*

4 Br. ſuſp. *προδοσίας.* Lectio recepta ſenſui ex omni parte magis congrua.

5 Bodl. 1. 2 add. *ὡς ὁ.*

6 Bryano deeſſe videtur aliquid, ex. gr *οἱ* vel *ἰατροί.* At non niſi eſt ellipſis, facillime cuivis ſupplenda per *οἱ ἄνθρωποι.*

χωσι. τῦτο καὶ [1] πρὸς τὴν Ταρπηΐαν τότε παθὼν ὁ Τάτιος ἐκέλευσε μεμνημένες τῶν ὁμολογιῶν τὲς Σαβίνες μηδενὸς αὐτῇ φθονεῖν, ὧν ἐν ταῖς ἀρισεραῖς ἔχεσι. καὶ πρῶτος ἅμα τὸν βραχιονισῆρα τῆς χειρὸς περιελὼν, καὶ τὸν θυρεὸν ἐπέῤῥιψε. πάντων δὲ τὸ αὐτὸ [2] ποιέντων βαλλομένη τε τῷ χρυσῷ καὶ καταχωσθεῖσα τοῖς θυρεοῖς, ὑπὸ πλήθες καὶ βάρες ἀπέθανεν. ἑάλω δὲ καὶ Ταρπήϊος προδοσίας, ὑπὸ Ῥωμύλε διωχθεὶς, ὡς Ἰόβας φησὶ Γάλβαν Σελπίκιον ἱσορεῖν. τῶν δ' ἄλλα περὶ Ταρπηΐας λεγόντων, ἀπίθανοι μέν εἰσιν [3] οἱ Τατίε θυγατέρα τε ἡγεμόνος τῶν Σαβίνων ἔσαν αὐτὴν, Ῥωμύλῳ δὲ βίᾳ συνοικέσαν, ἱσορεντες ταῦτα ποιῆσαι καὶ παθεῖν ὑπὸ τε πατρός· ὧν καὶ Ἀντίγονός ἐσι. Σίμυλος δ' ὁ ποιητὴς καὶ παντάπασι ληρεῖ, μὴ Σαβίνοις οἰόμενος, ἀλλὰ Κελτοῖς τὴν Ταρπηΐαν προδεναι τὸ Καπιτώλιον, ἐρασθεῖσαν αὐτῶν [4] τε βασιλέως. λέγει δὲ ταῦτα·

Ἡ δ' ἀγχε Ταρπηΐα παρὰ Καπιτώλιον αἶπος
Ναίεσα, Ῥώμης ἔπλετο τειχολέτης·
Κελτῶν ἡ σέρξασα γαμήλια λέκτρα γενέσθαι
Σκηπτέχῳ, πατέρων εκ ἐφύλαξε δόμες [5].

καὶ μετ' ὀλίγα περὶ τῆς τελευτῆς·

Τήνδ' ἔτ' ἄρ Βοϊοί τε καὶ ἔθνεα μυρία Κελτῶν
Κειράμενοι [6], ῥείθρων ἐντὸς ἔθεντο Πάδε [7].

Ὅπλα

1 B. 1. 2. inserunt τοίνυν.

2 Artic. τὸ omittunt Junt. & Ald.

3 B. 1. 2 παντελῶς ἀπίθανοί εἰσιν.

4 B. 1. 2. αὐτε.

5 Abundant hi versus lectionum varietate; Sic habet Muret. Anon. οἱ δ' ἀγχε; B. 1. παρ' Καπιτώλιον ὡς ἔπος; B 1. 2. Junt. Ald. τειχολέτης; Dacer. οἱ σέρξασα ex Mss. — Anon. γένος τε loco γενέσθαι, & B. 1. 2. λαβέσθαι; V. Junt. Ald. σκηπτρέχων; Anon. σκηπτρέχε. Alii sunt, qui genit. plur. conjungunt cum κελτῶν; alii cum πατέρων.

6 B. 1. 2. χειράμενοι; Vulgo χηράμενοι; Xyland. mavult χηραμένην; Bry. κλεινάμενοι.

7 pro ἐντὸς ἔθεντο vitiose dedit Juntina ἔνθεντο; pro πάδε B. 1. 2. hab. πέδε.

Ὅπλα δ' ἐπιπροβαλόντες ἀρειμανέων ἀπὸ χειρῶν [1]
Κȣ́ρῃ ἐπὶ ϛυγερῇ, κόσμον [2] ἔθεντο φόνȣ.

XVIII. Τῆς μέντοι Ταρπηΐας ἐκεῖ ταφείσης, ὁ λόφος ὠνομάζετο Ταρπήϊος, ἄχρις ȣ̔̃ Ταρκυνίȣ βασιλέως Διῒ τὸν τόπον [3] καθιερȣ̃ντος, ἅμα τε τὰ λείψανα [4] μετηνέχθη, καὶ τȣ̃νομα τῆς Ταρπηΐας ἐξέλιπε. πλὴν πέτραν ἔτι νῦν ἐν τῷ Καπιτωλίῳ Ταρπηΐαν καλȣ̃σιν, ἀφ' ἧς ἐῤῥίπτȣν τȣ̀ς κακȣ́ργȣς. ἐχομένης δὲ τῆς ἄκρας ὑπὸ τῶν Σαβίνων, ὅ τε Ῥωμύλος ὑπ' ὀργῆς εἰς μάχην αὐτȣ̀ς πρȣκαλεῖτο, καὶ ὁ Τάτιος ἐθάῤῥει, καρτερὰν, εἰ βιασθεῖεν, ἀναχώρησιν ὁρῶν αὐτοῖς ὑπάρχȣσαν. ὁ γὰρ μεταξὺ τόπος, ἐν ᾧ συμπίπτειν ἔμελλον [5], ὑπὸ πολλῶν λόφων περιεχόμενος, ἀγῶνα μὲν ὀξὺν ἐδόκει καὶ χαλεπὸν ὑπὸ δυσχωρίας ἀμφοτέροις παρέξειν, φυγὰς δέ καὶ διώξεις ἐν ϛενῷ βραχείας. ἔτυχε δὲ τȣ̃ ποταμȣ̃ λιμνάσαντος ȣ̓ πολλαῖς πρότερον ἡμέραις, ἐγκαταλελεῖφθαι τέλμα βαθὺ καὶ τυφλὸν ἐν τόποις ἐπιπέδοις, κατὰ τὴν νῦν ȣ̔̃σαν ἀγοράν· ὅθεν ȣ̓κ ἦν ὄψει πρόδηλον, ȣ̓δ' εὐφύλακτον, ἄλλως δὲ χαλεπὸν καὶ ὕπȣλον. ἐπὶ τȣ̃το τοῖς Σαβίνοις ἀπειρίᾳ φερομένοις εὐτύχημα γίγνεται. Κȣ́ρτιος γὰρ ἀνὴρ ἐπιφανὴς, δόξῃ καὶ φρονήματι γαῦρος, ἵππον ἔχων, πολὺ πρὸ τῶν ἄλλων ἐχώρει· δεξαμένȣ δὲ τȣ̃ φαράθρȣ τὸν ἵππον, ἄχρι μέν τινος ἐπειρᾶτο πληγῇ καὶ παρακελεύσει χρώμενος ἐξελαύνειν. ὡς δ' ἦν ἀμήχανον, ἐάσας τὸν ἵππον, ἑαυτὸν ἔσωζεν. ὁ μὲν ȣ̔̃ν τόπος δι' ἐκεῖνον ἔτι νῦν [6] Κȣ́ρτιος λάκκος ὀνομάζεται. φυλαξάμενοι δὲ τὸν κίνδυνον οἱ Σαβῖνοι, μάχην καρτερὰν ἐμαχέσαντο, κρίσιν

1 pro ἀρειμανέων dant Junt. & Ald. ἀρειμενέων; pro ἀπὸ V. ὑπὸ.
2 Junt. κόρην.
3 B. 1. 2. add. ἐκεῖνον.
4 Edit. Lond. ſola vitioſe καὶ λ.
5 Sic Anon. Vulg. ἔμελλεν.
6 deeſt B. 1. 2.

σιν ὃ λαβοῦσαν· καίτοι πολλῶν πεσόντων, ἐν οἷς ἦν καὶ Ὁστίλλιος. τοῦτον Ἑρσιλίας ἄνδρα, καὶ πάππον Ὁστιλλίου τοῦ μετὰ Νομᾶν βασιλεύσαντος γενέσθαι λέγουσιν. αὖθις δὲ πολλῶν ἀγώνων ἐν βραχεῖ [1] συνισταμένων, ὡς εἰκὸς, ἑνὸς μάλιστα τοῦ τελευταίου μνημονεύουσιν· ἐν ᾧ Ῥωμύλου τὴν κεφαλὴν πληγέντος λίθῳ, καὶ πεσεῖν ὀλίγου [2] δεήσαντος, τοῦ τ' ἀντέχειν ὑφεμένου τοῖς Σαβίνοις, ἐνέδωκαν οἱ Ῥωμαῖοι, καὶ φυγῇ πρὸς τὸ Παλάντιον ἐχώρουν ἐξωθούμενοι τῶν ἐπιπέδων. ἤδη δὲ ὁ Ῥωμύλος ἐκ τῆς πληγῆς ἀναφέρων, ἐβούλετο μὲν, εἰς [3] τὰ ὅπλα, χωρεῖν τοῖς φεύγουσιν ἐναντίως, καὶ μέγα βοῶν ἵστασθαι καὶ μάχεσθαι παρεκάλει. πολλῆς δὲ τῆς φυγῆς αὐτῷ περιχεομένης [4], καὶ μηδενὸς ἀναστρέφειν τολμῶντος, ἀνατείνας εἰς οὐρανὸν τὰς χεῖρας, ηὔξατο τῷ Διῒ στῆσαι τὸ στράτευμα, καὶ τὰ Ῥωμαίων πράγματα πεσόντα μὴ περιϊδεῖν, ἀλλ' ὀρθῶσαι. γενομένης δὲ τῆς εὐχῆς, αἰδώς τε τοῦ βασιλέως ἔσχε πολλοὺς, καὶ θάρσος ἐκ μεταβολῆς παρέστη τοῖς φεύγουσιν. ἔστησαν οὖν πρῶτον, οὗ νῦν ὁ τοῦ Διὸς τοῦ Στάτωρος ἵδρυται νεὼς, ὃν ἐπιστάσιον ἄν τις ἑρμηνεύσειεν. εἶτα συνασπίσαντες πάλιν, ἔωσαν ὀπίσω τοὺς Σαβίνους ἐπὶ τὴν νῦν Ῥήγειαν προσαγορευομένην καὶ τὸ τῆς Ἑστίας ἱερόν.

XIX. Ἐνταῦθα δὴ αὐτοὺς ὥσπερ ἐξ ὑπαρχῆς μάχεσθαι παρασκευαζομένους, ἐπέσχε [5] δεινὸν ἰδεῖν θέαμα καὶ λόγου κρείττων ὄψις. αἱ γὰρ ἡρπασμέναι θυγατέρες τῶν Σαβίνων ὤφθησαν ἀλλαχόθεν ἄλλαι μετὰ βοῆς [6] καὶ ἀλα-

1 Junt. ὁ βρ.

2 B. 1. 2. ὀλίγον.

3 R. vult εἰσδὺς τὰ ὅπλα, arma indutus; sive εἷς partic. ab ἕννυμι.

4 Ex emend. R. pro vulg. περιεχομένης.

5 V. ἀπέσχε.

6 B. 1. 2. μετὰ φωνῆς καὶ βοῆς.

ἀλαλαγμῦ διὰ τῶν ὅπλων Φερόμεναι καὶ τῶν νεκρῶν, ὥσπερ ἐκ Θεῦ κάτοχοι, πρός τε τὰς ἄνδρας αὐτῶν καὶ τὰς πατέρας· αἱ μὲν, παιδία κομίζυσαι νήπια πρὸς ταῖς ἀγκάλαις, αἱ δὲ, τὴν κόμην προϊσχόμεναι λελυμένην· πᾶσαι δὲ ἀνακαλῦμεναι τοῖς Φιλτάτοις ὀνόμασι, ποτὲ μὲν τὰς Σαβίνυς, ποτὲ δὲ τὰς Ῥωμαίυς. ἐπεκλάσθησαν ἂν ἀμφότεροι, καὶ διέσχον αὐταῖς ἐν μέσῳ καταςῆναι τῆς παρατάξεως· καὶ κλαυθμὸς ἅμα διὰ πάντων ἐχώρει, καὶ πολὺς οἶκτος ἦν πρός τε τὴν ὄψιν καὶ τὰς λόγυς ἔτι μᾶλλον, εἰς ἱκεσίαν καὶ δέησιν ἐκ δικαιολογίας καὶ παῤῥησίας τελευτῶντας. Τί γὰρ, ἔφασαν, ὑμᾶς [1] δεινὸν ἢ λυπηρὸν ἐργασάμεναι, τὰ μὲν ἤδη πεπόνθαμεν, τὰ δὲ πάσχομεν τῶν σχετλίων κακῶν; ἡρπάσθημεν [2] ὑπὸ τῶν νῦν ἐχόντων βίᾳ καὶ παρανόμως· ἁρπασθεῖσαι δ᾽ ἠμελήθημεν ὑπ᾽ ἀδελφῶν καὶ πατέρων, καὶ οἰκείων χρόνον τοσῦτον, ὅσος ἡμᾶς πρὸς τὰ ἔχθιςα κεράσας ταῖς μεγίςαις ἀνάγκαις, πεποίηκε νῦν ὑπὲρ τῶν βιασαμένων καὶ παρανομησάντων δεδιέναι μαχομένων, καὶ κλαίειν θνησκόντων. ὐ γὰρ ἤλθετε τιμωρήσοντες ἡμῖν παρθένοις ὕσαις ἐπὶ τὰς ἀδικῦντας, ἀλλὰ νῦν ἀνδρῶν ἀποσπᾶτε γαμετὰς [3] καὶ τέκνων μητέρας, οἰκτροτέραν βοήθειαν ἐκείνης τῆς ἀμελείας καὶ προδοσίας βοηθῦντες ἡμῖν ταῖς ἀθλίαις. τοιαῦτα μὲν ἠγαπήθημεν ὑπὸ τύτων, τοιαῦτα δὲ ὑφ᾽ ὑμῶν ἐλεῦμεθα. καὶ γὰρ εἰ δι᾽ ἄλλην αἰτίαν ἐμάχεσθε [4], παύσασθαι, δι᾽ ἡμᾶς πενθερὺς γεγονότας καὶ πάππυς, πρὸς οἰκείυς [5] ὄντας ἐχρῆν. εἰ δ᾽ ὑπὲρ ἡμῶν ὁ πόλεμός ἐςι, κομίσασθε ἡμᾶς μετὰ γαμβρῶν καὶ τέκ-

1 B. 1. 2. εἰς ἡμᾶς.

2 Bryano excidiſſe videtur μὲν ante ὑπὸ ob ſeq. δ᾽.

3 R. hanc vocem de ſuo dediſſe affirmat pro vulg. γαμητάς; eam autem jam inveniri apud Anon. teſtantur edit. Francſ. Wechel. 1599; & alia de 1620. in cat. lect. var. — Junt. & Ald. dant γαμιτάς.

4 Sic V. Anon. B. 1. 2. 3. Vulg. μάχεσθαι, aut μάχεσθε.

5 Ex emend. R. pro vulg. καὶ οἰκ.

τέκνων, καὶ ἀπόδοτε ἡμῖν πατέρας καὶ οἰκείους, μηδὲ ἀφέλησθε παῖδας καὶ ἄνδρας, ἱκετεύομεν ὑμᾶς, μὴ πάλιν αἰχμάλωτοι γενέσθαι. Τοιαῦτα πολλὰ τῆς Ἑρσιλίας προσαγορευούσης, καὶ τῶν ἄλλων δεομένων, ἐσπείσθησαν ἀνοχαὶ, καὶ συνῆλθον [1] εἰς λόγους οἱ ἡγεμόνες. αἱ δὲ γυναῖκες ἐν τούτῳ τοῖς πατράσι καὶ τοῖς ἀδελφοῖς τοὺς ἄνδρας προσῆγον καὶ τὰ [2] τέκνα, προσέφερόν τε τροφὴν καὶ ποτὸν τοῖς δεομένοις, καὶ τοὺς τετρωμένους ἐθεράπευον οἴκαδε κομίζουσαι· καὶ παρεῖχον ὁρᾷν ἀρχούσας μὲν αὐτὰς τοῦ οἴκου, προσέχοντας δὲ τοὺς ἄνδρας αὐταῖς, καὶ μετ' εὐνοίας τιμὴν ἅπασαν νέμοντας. ἐκ τούτου συντίθενται τῶν μὲν γυναικῶν τὰς βουλομένας συνοικεῖν τοῖς ἔχουσιν, ὥσπερ εἴρηται, παντὸς ἔργου καὶ πάσης λατρείας, πλὴν ταλασίας, ἀφειμένας· οἰκεῖν δὲ κοινῇ τὴν πόλιν Ῥωμαίους καὶ Σαβίνους· καὶ καλεῖσθαι μὲν Ῥώμην ἐπὶ Ῥωμύλῳ τὴν πόλιν, Κυρίτας δὲ, Ῥωμαίους ἅπαντας ἐπὶ τῇ Τατίου πατρίδι· βασιλεύειν δὲ κοινῇ καὶ στρατηγεῖν ἀμφοτέρους. ὅπου δὲ ταῦτα συνέθεντο, μέχρι νῦν Κομίτιον καλεῖται· κομίρε γὰρ Ῥωμαῖοι τὸ συνελθεῖν καλοῦσι.

XX. Διπλασιασθείσης δὲ τῆς πόλεως, ἑκατὸν μὲν ἐκ Σαβίνων πατρίκιοι προσκατελέχθησαν [3], αἱ δὲ λεγεῶνες ἐγένοντο πεζῶν μὲν ἑξακισχιλίων, ἱππέων δὲ ἑξακοσίων. Φυλὰς δὲ τρεῖς καταστήσαντες, ὠνόμασαν τοὺς μὲν ἀπὸ Ῥωμύλου, Ῥαμνήνσης· τοὺς δὲ ἀπὸ Τατίου, Τατιήνσης· τρίτους δὲ, Λουκερνήνσης [4] διὰ τὸ ἄλσος, εἰς ὃ πολλοὶ καταφυγόντες ἀσυλίας διδομένης [5], τοῦ πολιτεύ-



1 Bodl. 1. 2. ἐπείσθησαν καὶ συνῆλθον.

2 Ex ſuo addidit R. uti lin. ſeq. τοὺς ex Ald. & Junt. quod tamen in edit. Francf. jam legitur.

3 Ex emend. R. pro vulg. προσκατειλ. Junt. & Ald. προσκατηλ. B. 1. 2. 3. κατελήχθησαν.

4 V. Λουκερσήνοις; Rectius ſec. Br. Λουκερένσης.

5 V. δειδομένης (ſec. ed. Frf. cit. δαδομένης.)

ματος μετέχον· τὰ δ' ἄλση λούκους ὀνομάζουσιν. ὅτι δ' ἦσαν αἱ φυλαὶ τοσαῦται, τοὔνομα μαρτυρεῖ· τρίβους γὰρ ἔτι νῦν τὰς φυλὰς καλοῦσι, καὶ τριβούνους τοὺς φυλάρχους. ἑκάστη δὲ φυλὴ δέκα φατρίας εἶχεν, ἃς ἔνιοι λέγουσιν ἐπωνύμους εἶναι ἐκείνων τῶν γυναικῶν. τοῦτο δὲ δοκεῖ ψεῦδος εἶναι· πολλαὶ γὰρ ἔχουσιν ἀπὸ χωρίων τὰς προσηγορίας. ἄλλα μέντοι πολλὰ ταῖς γυναιξὶν εἰς τιμὴν ἀπέδωκαν, ὧν καὶ ταῦτά ἐστιν· ἐξίσταθαι [1] μὲν ὁδοῦ βαδιζούσαις, αἰσχρὸν δὲ μηδένα μηδὲν εἰπεῖν παρούσης γυναικὸς, μηδ' ὀφθῆναι γυμνὸν, ἢ δίκην φεύγειν παρὰ τοῖς ἐπὶ τῶν φονικῶν καθεστῶσι, φορεῖν δὲ καὶ τοὺς παῖδας αὐτῶν τὴν καλουμένην βοῦλλαν, ἀπὸ τοῦ σχήματος ὅμοιον πομφόλυγι περιδέῤῥαιόν τι, καὶ περιπόρφυρον. ἐβουλεύοντο δὲ οἱ βασιλεῖς οὐκ εὐθὺς ἐν κοινῷ μετ' ἀλλήλων, ἀλλ' ἑκάτερος πρότερον ἰδίᾳ μετὰ τῶν ἑκατὸν, εἶτα οὕτως εἰς ταυτὸν [2] ἅπαντας συνῆγον. ᾤκει δὲ Τάτιος μὲν, ὅπου νῦν ὁ τῆς Μονήτης ναός ἐστι, Ῥωμύλος δὲ παρὰ τοὺς λεγομένους βαθμοὺς καλῆς ἀκτῆς. οὗτοι δέ εἰσι περὶ τὴν εἰς τὸν ἱππόδρομον τὸν μέγαν ἐκ Παλαντίου [3] κατάβασιν. ἐνταῦθα δὲ καὶ τὴν κράνειαν ἔφασαν τὴν ἱερὰν γεγονέναι, μυθολογοῦντες, ὅτι πειρώμενος ὁ Ῥωμύλος αὑτοῦ, λόγχην ακοντίσειεν ἀπὸ τοῦ Ἀουεντίνου, τὸ ξυστὸν ἔχουσαν κρανείας· καταδύσης δὲ τῆς αἰχμῆς εἰς βάθος, ἀνασπάσαι μὲν οὐδεὶς, πειρωμένων πολλῶν, ἴσχυσε. τὸ δὲ ξύλον ἔστεξεν [4] ἡ γῆ ζώφυτος οὖσα, καὶ βλαστοὺς ἀνῆκε, καὶ στέλεχος εὐμέγεθες κρανείας ἔθρεψε. τοῦτο δ' οἱ μετὰ Ῥωμύλον, ὡς ὄν τι [5] τῶν ἁγιωτάτων ἱερῶν φυλάττοντες καὶ σεβόμενοι, περιετείχισαν. ὅτῳ δὲ προσιόντι δόξειε μὴ θαλερὸν εἶναι, μηδὲ χλωρὸν, ἀλλ' οἷον ἀτροφεῖν καὶ φθίνειν,

1 B. 1. 3. τὸ ἐξίσταθαι.
2 B. 1. 2. εἰς ταυτό.
3 V. Παλατίου.
4 B. omnes ἔστερξεν, quod præfert Br.
5 R. susp. ὄν τι.

νειν [1], ὁ μὲν εὐθὺς ἔφραζε κραυγῇ τοῖς προστυγχάνουσιν· οἱ δ' ὥσπερ ἐμπρησμῷ βοηθοῦντες, ἐβόων ὕδωρ [2], καὶ συνέτρεχον πανταχόθεν, ἀγγεῖα πλήρη κομίζοντες ἐπὶ τὸν τόπον. Γαΐου δὲ Καίσαρος, ὥς φασι, τὰς ἀναβάσεις ἐπισκευάζοντος, καὶ τῶν τεχνιτῶν περιορυττόντων τὰ πλησίον, ἔλαθον αἱ ῥίζαι κακωθεῖσαι παντάπασι, καὶ τὸ φυτὸν ἐμαράνθη.

XXI. Μῆνας μὲν οὖν οἱ Σαβῖνοι τοὺς Ῥωμαίων ἐδέξαντο, καὶ περὶ αὐτῶν ὅσα καλῶς εἶχεν, ἐν τῷ Νουμᾶ βίῳ γέγραπται. θυρεοῖς δὲ τοῖς ἐκείνων ὁ Ῥωμύλος ἐχρήσατο, καὶ μετέβαλε τὸν ὁπλισμὸν ἑαυτοῦ τε καὶ τῶν Ῥωμαίων, Ἀργολικὰς πρότερον ἀσπίδας φορούντων. ἑορτῶν δὲ καὶ θυσιῶν ἀλλήλοις μετεῖχον, ἃς μὲν ἦγε [3] τὰ γένη πρότερον οὐκ ἀνελόντες, ἑτέρας δὲ θέμενοι καινάς, ὧν ἥ τε τῶν Ματρωναλίων ἐστὶ, δοθεῖσα ταῖς γυναιξὶν ἐπὶ τῇ τοῦ πολέμου καταλύσει, καὶ ἡ τῶν Καρμενταλίων. τὴν δὲ Καρμένταν οἴονταί τινες μοῖραν εἶναι, κυρίαν ἀνθρώπων γενέσεως· διὸ καὶ τιμῶσιν αὐτὴν αἱ μητέρες. οἱ δὲ, τὴν τοῦ Εὐάνδρου τοῦ Ἀρκάδος γυναῖκα, μαντικήν τινα καὶ φοιβαστικὴν [4] ἐμμέτρων χρησμῶν γενομένην, Καρμένταν ἐπονομασθῆναι [5]· τὰ γὰρ ἔπη κάρμινα καλοῦσι, Νικοστράτη δὲ ἦν ὄνομα κύριον αὐτῇ. καὶ τοῦτο μὲν ὁμολογεῖται· τὴν δὲ Καρμένταν ἔνιοι πιθανώτερον ἀφερμηνεύουσιν, οἷον ἐστερημένην νοῦ, διὰ τὰς ἐν τοῖς ἐνθουσιασμοῖς παραφροσύνας. τὸ μὲν γὰρ στέρεσθαι, κάρηρε, μέντεμ [6] δὲ, τὸν νοῦν ὀνομάζουσι. περὶ δὲ τῶν Παλιλίων προείρηται. τὰ δὲ Λουπερκάλια,



1 B. 1. 2. φθίρειν.
2 Repetunt hanc vocem B. 1. 2.
3 B. 1. 2. ἦγον.
4 R. susp. ἀποφοιβαστικήν.
5 B. 1. 2. add. φασί.
6 B. 1. 2. 3. μέντε; uti & Junt. quae etiam seq. lin. pro Παλιλίων dat Παριλίων, cum V.

λια, τῷ μὲν χρόνῳ δόξειεν ἂν εἶναι καθάρσια· ἄρχεται γὰρ ἐν ἡμέραις ἀποφράσι τοῦ Φευρουαρίου μηνὸς, ὃν καθάρσιον ἄν τις ἑρμηνεύσειε, καὶ τὴν ἡμέραν ἐκείνην τοπαλαιὸν ἐκάλουν Φευράτην· τοὔνομα δὲ τῆς ἑορτῆς ἑλληνιστὶ σημαίνει λύκαια, καὶ δοκεῖ διὰ τοῦτο παμπάλαιος ἀπ' Ἀρκάδων εἶναι τῶν περὶ Εὔανδρον [1]. ἀλλὰ τοῦτο μὲν κενόν [2] ἐστι· δύναται γὰρ ἀπὸ τῆς λυκαίνης γεγονέναι τοὔνομα. καὶ γὰρ ἀρχομένους τῆς περιδρομῆς τοὺς Λουπέρκους ὁρῶμεν ἐντεῦθεν, ὅπου τὸν Ῥωμύλον ἐκτεθῆναι λέγουσι. τὰ δὲ δρώμενα τὴν αἰτίαν ποιεῖ δυσόπαστον· σφάττουσι γὰρ αἶγας, εἶτα μειρακίων δυοῖν ἀπὸ γένους προσαχθέντων αὐτοῖς, οἱ μὲν ἡμαγμένῃ μαχαίρᾳ τοῦ μετώπου θιγγάνουσιν, ἕτεροι δὲ ἀπομάττουσιν εὐθὺς, ἔριον βεβρεγμένον γάλακτι προσφέροντες. γελᾷν δὲ δεῖ τὰ μειράκια μετὰ τὴν ἀπόμαξιν. ἐκ δὲ τούτου τὰ δέρματα τῶν αἰγῶν κατατεμόντες, διαθέουσιν ἐν περιζώματι [3] γυμνοὶ, τοῖς σκύτεσι τὸν ἐμποδὼν παίοντες. αἱ δ' ἐν ἡλικίᾳ γυναῖκες οὐ φεύγουσι τὸ παίεσθαι, νομίζουσαι πρὸς εὐτοκίαν καὶ κύησιν συνεργεῖν. ἴδιον δὲ τῆς ἑορτῆς τὸ καὶ κύνα θύειν τοὺς Λουπέρκους. Βούτας δέ τις αἰτίας μυθώδεις ἐν ἐλεγείοις περὶ τῶν Ῥωμαϊκῶν ἀναγράφων, φησὶ, τοῦ Ἀμουλίου τοὺς περὶ τὸν Ῥωμύλον κρατήσαντας, ἐλθεῖν δρόμῳ μετὰ χαρᾶς ἐπὶ τὸν τόπον, ἐν ᾧ νηπίοις οὖσιν αὐτοῖς ἡ λύκαινα θηλὴν ὑπέ-

1 Ita hab. Anon. Vulgo παρ' Εὔανδρον; B. 1. 2. παρ' Εὐάνδρου.

2 Ita ex emend. R. pro vulg. κοινὸν, quod tamen non prorſus rejicit, ſi ſequentibus addideris καὶ, ita leg. δύναται γὰρ καὶ ἀπὸ —

3 Sic Anon. — Br. legi vult περιζώμασι, cum omnibus B. & V.

ὑπέχε [1]. καὶ μίμημα τȢ τότε [2] δρόμȢ την ἑορτὴν ἄγεϑαι, καὶ τρέχειν τȢ̀ς ἀπὸ γένȢς, τȢ̀ς

Ἐμποδίȣς τύπ]οντας, ὅπως τότε Φάσγαν᾽ ἔχοντες
Ἐξ Ἄλβης ἔϑεον Ῥωμύλος ἠδὲ Ῥέμος.

καὶ τὸ μὲν ξίφος ἡμαγμένον προσφέρεϑαι τῷ μετώπῳ, τȢ τότε φόνȢ καὶ κινδύνȢ σύμβολον, τὴν δὲ διὰ τȢ γάλακ]ος ἀποκάϑαρσιν, ὑπόμνημα τῆς τροφῆς αὐτῶν εἶναι. Γάϊος δὲ Ἀκίλιος ἱϛορεῖ, πρὸ τῆς κ]ίσεως τὰ ϑρέμματα τῶν περὶ τὸν Ῥωμύλον ἀφανῆ γενέϑαι· τȢ̀ς δὲ, τῷ Φαύνῳ προσευξαμένȢς ἐκδραμεῖν γυμνȢ̀ς ἐπὶ τὴν ζήτησιν, ὅπως ὑπὸ τȢ ἱδρῶτος μὴ ἐνοχλοῖντο· καὶ διὰ τȢ̃το γυμνȢ̀ς περιτρέχειν τȢ̀ς ΛȢπέρκȢς. τὸν δὲ κύνα φαίη τις ἂν, εἰ μὲν ἡ ϑυσία καϑαρμός ἐϛι, ϑύεϑαι, καϑαρσίῳ χρωμένων αὐτῷ [3]. καὶ γὰρ Ἕλληνες ἔν τε τοῖς καϑαρσίοις σκύλακας ἐκφέρȢσι [4], καὶ πολλαχȢ̃ χρῶνται τοῖς λεγομένοις περισκυλακισμοῖς· εἰ δὲ τῇ λυκαίνῃ χαριϛήρια ταῦτα, καὶ τροφεῖα καὶ σωτήρια ῬωμύλȢ [5] τελȢ̃σιν, ȣ̓κ ἀτόπως ὁ κύων σφάττεται· λύκοις γάρ ἐϛι πολέμιος. εἰ μὴ νὴ Δία κολάζεται τὸ ζῶον ὡς παρενοχλȢ̃ν τȢ̀ς ΛȢπέρκȢς, ὅταν περιϑέωσι.

XXII. Λέγεται δὲ [6] καὶ τὴν περὶ τὸ πῦρ ἁγιϛείαν Ῥωμύλον καταϛῆσαι πρῶτον, ἀποδείξαντα παρϑένȢς ἱερὰς, ἑϛιάδας προσαγορευομένας. οἱ δὲ τȢ̃το μὲν εἰς ΝȢμᾶν ἀναφέρȢσι, τὰ δ᾽ ἄλλα τὸν Ῥωμύλον διαφερόντως ϑεοσεβῆ, ἔτι δὲ μαντικὸν ἱϛορȢ̃σι γενέϑαι, καὶ φο-



1 R. — licet lectionem receptam defendi posse ipse declarat, mavult tamen ἐπέχε.

2 Pro τȢ τε δρόμȢ ex emend. H. Steph. quam confirmat Anonym.

3 Junt. & Ald. dant αὐτῶν.

4 Anon. ἐκδέρȢσι.

5 V. Ῥωμύλῳ.

6 B. 1. 2. δ᾽ ἔτι. Iid. paulo post pro οἱ δὲ hab. ἄλλοι δέ.

φορεῖν ἐπὶ μαντικῇ τὸ καλέμενον λίτυον. ἔςι δὲ καμπύλη ῥάβδος, ᾗ τὰ πλινθία καθεζομένες ἐπ' οἰωνῶν δεῖ [1] διαγράφειν. τὅτο δ' ἐν Παλαντίῳ [2] φυλαττόμενον ἀφανισθῆναι περὶ [3] τὰ Κελτικὰ τῆς πόλεως ἁλέσης· εἶτα μέντοι τῶν βαρβάρων ἐκπεσόντων, εὑρεθῆναι κατὰ τέφρας βαθείας, ἀπαθὲς ὑπὸ τῦ πυρὸς, ἐν πᾶσι τοῖς ἄλλοις ἀπολωλόσι καὶ διεφθαρμένοις. ἔθηκε δὲ καὶ νόμες τινὰς, ὧν σφοδρὸς μέν ἐςιν ὁ γυναικὶ μὴ διδὲς ἀπολείπειν ἄνδρα, γυναῖκα δὲ διδὲς ἐκβαλεῖν ἐπὶ φαρμακείᾳ, καὶ τέκνων, ἢ κλειδῶν ὑποβολῇ [4], καὶ μοιχευθεῖσαν· εἰ δ' ἄλλως τις ἀποπέμψαιτο, τῆς ἐσίας αὐτῦ τὸ μὲν τῆς γυναικὸς εἶναι, τὸ δὲ τῆς Δήμητρος ἱερὸν κελεύων· τὸν δ' ἀποδόμενον γυναῖκα θύεσθαι [5] χθονίοις Θεοῖς. ἴδιον δὲ, τὸ μηδεμίαν δίκην κατὰ πατροκτόνων ὁρίσαντα [6], πᾶσαν ἀνδροφονίαν, πατροκτονίαν προσειπεῖν. ὡς τέτε μὲν ὄντος ἐναγῦς, ἐκείνε δὲ ἀδυνάτε. καὶ μέχρι [7] χρόνων πολλῶν ἔδοξεν ὀρθῶς ἀπογνῶναι τὴν τοιαύτην ἀδικίαν· ἐδεὶς γὰρ ἔδρασε τοιῦτον ἐδὲν ἐν Ῥώμῃ σχεδὸν ἐτῶν ἑξακοσίων διαγενομένων· ἀλλὰ πρῶτος μετὰ τὸν Ἀννιβαϊκὸν [8] πόλεμον ἱςορεῖ-

1 R. de ſuo addidit. Eidem poſt οἰωνῶν addendum videtur τηρῆσαι.

2 Junt. & Ald. παλατίῳ.

3 Sic Anon. Junt. & Ald. Vulgo παρὰ.

4 Interpp. diverſo prorſus modo de hoc loco ſentiunt. Lectio edd. pr. hæc eſt: ἐπὶ φαρμακείᾳ τέκνων, ἢ κλειδῶν ὑποβολῇ. Xyland. pro κλειδῶν vult παίδων. Br. ob proxime præcedens τέκνων hanc lect. rejicit, & ſolum diſtinguit poſt φαρμακεία. R. addit καὶ de ſuo. Lectio Vulc. in ed. Frf. cit. φαρμακείᾳ ὃ τέκνων quid ſibi velit, neſcio, niſi τὸ ὃ pro errato typogr. declarem, & cum ἢ commutem. Cf. annot. in h. l. fine Vol.

5 B. 1. 2. καὶ θύ. — hinc Br. ſuſp. καταθύεσθαι.

6 B. 1. 2. θεῖναι ἀλλ' ὁρίσαντα.

7 R. addendum cenſet γε.

8 B. tres, Junt. Ald. Ἀννιβιακὸν.

ἱϛορεῖται Λεύκιος Ὄσιος πατροκτόνος γενέϑαι. Ταῦτα μὲν ἦν ἱκανὰ περὶ τέτων.

XXIII. Ἔτει δὲ πέμπτῳ τῆς Τατίε βασιλείας, οἰκεῖοί τινες αὐτῦ καὶ συγγενεῖς πρέσβεσιν ἀπὸ Λαυρέντε βαδίζεσιν εἰς Ῥώμην ἐντυχόντες, καθ' ὁδὸν ἐπεχείρεν ἀφαιρεῖϑαι τὰ χρήματα βίᾳ, καὶ μὴ προϊεμένες, ἀλλ' ἀμυνομένες ἀνεῖλον. ἔργε δὲ δεινῦ τολμηϑέντος, ὁ μὲν Ῥωμύλος εὐϑὺς δεῖν ᾤετο κολάζεϑαι τὲς ἀδικήσαντας, ὁ δὲ Τάτιος ἐξέκρεε, καὶ παρῆγε. καὶ τῦτο μόνον αὐτοῖς ὑπῆρξεν αἴτιον ἐμφανῦς διαφορᾶς, τὰ δ' ἄλλα κατακοσμῦντες ἑαυτὲς ὡς ἔνι μάλιϛα, κοινᾶς ἐχρῶντο καὶ μεϑ' ὁμονοίας τοῖς πράγμασιν. οἱ δὲ τῶν ἀνῃρημένων οἰκεῖοι, πάσης ἐξειργόμενοι δίκης νομίμε διὰ τὸν Τάτιον, ἀποκτιννύεσιν αὐτὸν ἐν Λαβινίῳ, ϑύοντα μετὰ Ῥωμύλε, προσπεσόντες. τὸν δὲ Ῥωμύλον, ὡς δίκαιον ἄνδρα, πρέπεμψαν εὐφημῦντες. ὁ δὲ, τὸ μὲν σῶμα τῦ Τατίε κομίσας ἐντίμως ἔϑαψε, καὶ κεῖται περὶ τὸ καλέμενον Ἀρμιλέϛριον ἐν Ἀβεντίνῳ, τῆς δὲ δίκης τῦ φόνε παντάπασιν ἠμέλησεν. ἔνιοι δὲ τῶν συγγραφέων ἱϛορῦσι, τὴν μὲν πόλιν τῶν Λαυρεντίων φοβηϑεῖσαν ἐκδιδόναι τὲς αὐτόχειρας Τατίε, τὸν δὲ Ῥωμύλον ἀφεῖναι, φήσαντα φόνον φόνῳ λελύϑαι· τῦτο δὲ λόγον μέν τινα παρέσχε καὶ ὑποψίαν, ὡς ἀσμένῳ [1] γέγονεν αὐτῷ τὸ τῦ συνάρχοντος ἀπαλλαγῆναι. τῶν δὲ [2] πραγμάτων ἐδὲν διετάραξεν, ἐδὲ διεϛασίασε τὲς Σαβίνες, ἀλλ' οἱ μὲν εὐνοίᾳ τῇ πρὸς αὐτὸν, οἱ δὲ φόβῳ τῆς δυνάμεως, οἱ δ' ὡς Θεῷ χρώμενοι, εἰς πᾶσαν εὔνοιαν, ϑαυμάζοντες [3] διετέλεν. ἐϑαύμαζον δὲ πολλοὶ

 καὶ

1 Ex emend. Reisk. pro vulg ἀσμένως.

2 Br. mavult τέτων δὲ, vel τῶνδε δέ. R. lect. recept. merito defendit.

3 R. hanc Plutarchi dictionem duram, sibique obscuram esse dicit. Hinc quærit, num leg. οἱ δὲ ὡς Θεῷ χρώμενοι, καὶ πᾶσαν

καὶ τῶν ἐκτὸς ἀνθρώπων τὸν Ῥωμύλον· οἱ δὲ προγενέστεροι Λατῖνοι πέμψαντες αὐτῷ φιλίαν ἐποιήσαντο καὶ συμμαχίαν. Φιδήνας δὲ εἷλεν, ἀστυγείτονα τῆς Ῥώμης πόλιν, ὡς μὲν ἔνιοι φασὶν, ἐξαίφνης τοὺς ἱππέας πέμψας, καὶ κελεύσας ὑποτεμεῖν τῶν πυλῶν τοὺς στρόφιγγας, εἶτα ἐπιφανεὶς αὐτὸς [1] ἀπροσδοκήτως· ἕτεροι δὲ λέγουσι, προτέρους ἐκείνους ἐμβαλόντας ἐλάσασθαί τε λείαν, καὶ καθυβρίσαι πολλὰ τὴν χώραν καὶ τὸ προάστειον· ἐνέδρας δὲ τὸν Ῥωμύλον θέμενον αὐτοῖς, καὶ διαφθείραντα πολλοὺς, λαβεῖν τὴν πόλιν. οὐ μὴν ἀνεῖλεν, οὐδὲ κατέσκαψεν, ἀλλὰ Ῥωμαίων ἐποίησεν ἀποικίαν, δισχιλίους καὶ πεντακοσίους ἀποστείλας οἰκήτορας, εἰδοῖς Ἀπριλλίαις.

XXIV. Ἐκ τούτου λοιμὸς ἐμπίπτει, θανάτους μὲν αἰφνιδίους ἀνθρώποις ἄνευ νόσων ἐπιφέρων, ἁπτόμενος [2] δὲ καὶ καρπῶν εὐφορίας, καὶ θρεμμάτων εὐγονίας. ὕσθη δὲ καὶ σταγόσιν αἵματος ἡ πόλις, ὥστε πολλὴν προσγενέσθαι τοῖς ἀναγκαίοις πάθεσι δεισιδαιμονίαν. ἐπεὶ δὲ καὶ τοῖς τὸ [3] Λαυρεντὸν οἰκοῦσιν ὅμοια συνέβαινεν, ἤδη παντάπασιν ἐδόκει τῶν ἐπὶ Τατίῳ συγκεχυμένων δικαίων, ἐπί τε τοῖς πρέσβεσι φονευθεῖσι, μήνιμα δαιμόνιον ἀμφοτέρας ἐλαύνειν τὰς πόλεις. ἐκδοθέντων δὲ τῶν φονέων καὶ κολασθέντων παρ' ἀμφοτέροις,

πᾶσαν εὔνοιαν (sc. αὐτοῦ) θαυμ. — aut, εἰς πᾶν (i. e. ἐν παντὶ) σὺν εὐνοίᾳ θαυμ. — Iteratio quidem vocis εὔνοια nemini non suspecta videbitur, præsertim secundum priorem R. conjecturam diversa relatione sumendæ. Quonam tamen argumento sese commendet versio Schirachi. — Andere glaubten, daſs irgend eine göttliche Fügung dabei im Werk gewesen sei — me quidem latet.

1 Sic B. omnes. Vulg. αὐτοῖς.

2 Ita ex conject. R. — Vulg. legitur: ἁπτόμενος — ἀφορίας — ἀγονίας. Br. legendum censuit: ἁπτόμ. ἀφορίᾳ, καὶ θρ. ἀγονίᾳ. R. mallet pl. num. legi: ἀφορίαις, ἀγονίαις.

3 Ita Ed. Flor. Ald. & B. 1. 2. Vulg. τὸν.

ροις, ἐλώφησεν ἐπιδήλως τὰ δεινά· καὶ καθαρμοῖς ὁ Ῥωμύλος ἥγνισε τὰς πόλεις, ὓς ἔτι νῦν ἱςορῦσιν ἐπὶ τῆς Φερεντίνης πύλης συντελεῖσθαι. πρὶν δὲ λῆξαι τὸν λοιμὸν, ἐπέθεντο Καμέριοι Ῥωμαίοις, καὶ κατέδραμον τὴν χώραν ὡς ἀδυνάτων [1] ἀμύνεσθαι διὰ τὸ πάθος. εὐθὺς ὖν ὁ Ῥωμύλος ἐςράτευσεν ἐπ' αὐτὺς, καὶ μάχῃ κρατήσας, ἑξακισχιλίυς ἀπέκτεινε· καὶ τὴν πόλιν ἑλὼν, τὺς μὲν ἡμίσεις τῶν περιγενομένων εἰς Ῥώμην ἐξῴκισε, τῶν δ' ὑπομενόντων διπλασίυς ἐκ Ῥώμης κατῴκισεν εἰς τὴν Καμερίαν, Σεξτιλίαις καλάνδαις. τοσῦτον αὐτῷ περιῆν πολιτῶν, ἑκκαίδεκα ἔτη σχεδὸν οἰκῦντι τὴν Ῥώμην. ἐν δὲ τοῖς ἄλλοις λαφύροις, καὶ χαλκῦν ἐκόμισε τέθριππον ἐκ Καμερίας· τῦτο δὲ ἀνέςησεν ἐν τῷ ἱερῷ τῦ Ἡφαίςυ, ποιησάμενος ἑαυτὸν ὑπὸ Νίκης ςεφανύμενον.

XXV. Οὕτω δὲ ῥωννυμένοις τοῖς πράγμασιν, οἱ μὲν ἀσθενέςεροι τῶν προσοίκων ὑπεδύοντο, καὶ τυγχάνοντες ἀδείας ἠγάπων· οἱ δὲ δυνατοὶ, δεδιότες καὶ φθονῦντες, ὐκ ᾤοντο δεῖν περιορᾷν, ἀλλ' ἐνίςασθαι τῇ αὐξήσει, καὶ κολύειν [2] τὸν Ῥωμύλον. πρῶτοι δὲ Τυῤῥηνῶν Οὐήϊοι χώραν κεκτημένοι πολλὴν, καὶ μεγάλην πόλιν οἰκῦντες, ἀρχὴν ἐποιήσαντο πολέμυ, Φιδήνας [3] ἀπαιτεῖν, ὡς προσήκυσαν αὐτοῖς. τὸ δ' ὐκ ἄδικον ἦν μόνον, ἀλλὰ καὶ γελοῖον, ὅτι κινδυνεύυσι τότε καὶ πολεμυμένοις ὐ προσαμύναντες [4], ἀλλ' ἐάσαντες ἀπολέσθαι τὺς ἄνδρας, οἰκίας καὶ γῆν ἀπαιτοῖεν, ἄλλων ἐχόντων. καθυβρισθέντες ὖν ὑπὸ τῦ Ῥωμύλυ ἐν ταῖς ἀποκρίσεσι, δίχα διεῖλον ἑαυτὺς, καὶ τῷ μὲν, ἐπέκειντο τῷ Φιδηνῶν [5] ςρατεύματι, τῷ δὲ, πρὸς Ῥωμύλον ἀπήν-

1 B. 1. 2. ἀδυνάτοις.
2 B. 1. 2. αὐξήσει ταύτῃ καὶ κωλύειν.
3 R susp. τὸ Φιδ.
4 B. 1. 2. προσήμυναν.
5 R. susp. Φιδηναίων.

ἀπήντων. πρὸς μὲν ἓν Φιδήναις [1] διχιλίους Ῥωμαίων κρατήσαντες ἀπέκτειναν· ὑπὸ Ῥωμύλου δὲ νικηθέντες, ὑπὲρ ὀκτακισχιλίους ἀπέβαλον. αὖθις δὲ περὶ Φιδήνην ἐμαχέσαντο, καὶ τὸ μὲν πλεῖστον ἔργον αὐτοῦ Ῥωμύλου γενέσθαι, τέχνην τε μετὰ τόλμης πᾶσαν ἐπιδειξαμένου, ῥώμῃ τε καὶ ποδωκείᾳ πολὺ [2] δόξαντος ἀνθρωπίνης κρείττονι κεχρῆσθαι, πάντες ὁμολογοῦσι· τὸ δ' ὑπ' ἐνίων λεγόμενον, κομιδῇ μυθῶδές ἐστι, μᾶλλον δὲ ὅλως ἄπιστον, ὅτι μυρίων καὶ τετρακισχιλίων πεσόντων, ὑπερημίσεις ἦσαν, οὓς αὐτὸς ἰδίᾳ χειρὶ Ῥωμύλος ἔκτεινεν. ὅπου [3] καὶ Μεσήνιοι κόμπῳ χρήσασθαι δοκοῦσιν, περὶ Ἀριστομένους λέγοντες, ὡς τρὶς ἑκατομφόνια θύσειεν ἀπὸ Λακεδαιμονίων. γενομένης δὲ τῆς τροπῆς, ἀφεὶς φεύγειν τοὺς περιόντας ὁ Ῥωμύλος, ἐπ' αὐτὴν ἐχώρει τὴν πόλιν· οἱ δ' οὐκ ἠνέσχοντο μεγάλης συμφορᾶς γενομένης, ἀλλὰ δεηθέντες, ὁμολογίαν ἐποιήσαντο καὶ φιλίαν εἰς ἔτη ἑκατὸν, χώραν τε πολλὴν προέμενοι τῆς ἑαυτῶν, ἣν Σεπτεμπάγιον καλοῦσιν, ὅπερ ἐστὶν [4] ἑπταμόριον [5], καὶ τῶν παρὰ τὸν ποταμὸν ἐκστάντες ἁλοπηγίων, καὶ πεντήκοντα τῶν ἀρίστων ὁμήρους ἐγχειρίσαντες [6]. ἐθριάμβευσε δὲ καὶ ἀπὸ τούτων εἰδοῖς Ὀκτωβρίαις, ἄλλους τε πολλοὺς αἰχμαλώτους [7] ἔχων, καὶ τὸν ἡγεμόνα τῶν Οὐηίων, ἄνδρα πρεσβύτην, ἀφρόνως δόξαντα καὶ παρ' ἡλικίαν ἀπείρως τοῖς πράγμασι κεχρῆσθαι. διὸ καὶ νῦν ἔτι θύοντες ἐπινίκια, γέροντα μὲν ἄγουσι δι' ἀγορᾶς εἰς Καπιτώλιον ἐν περιπορφύρῳ, βοῦλλαν αὐτῷ παιδικὴν ἄψαν-

1 Sic Anon. Vulg. Φιδήναις. Id paulo post pro Φιδήνην hab. Φιδηνῶν.
2 B. 1. 2. καταπολὺ; Iid. post κεχρῆσθαι add. ὃ καί.
3 Br. vult legi: ὁποίῳ sc. κόμπῳ.
4 B. 1. 2. ἑλληνιστὶ λέγεται.
5 Anon. ἑπταχώριον.
6 Sic B omn. Vulg. ἐγχειρήσαντες.
7 B. 1. 2. τῶν αἰχμαλώτων.

ἅψαντες [1]. κηρύττει δ' ὁ κῆρυξ Σαρδιανοὺς ὠνίους. Τυῤῥηνοὶ γὰρ ἄποικοι Σαρδιανῶν λέγονται· Τυῤῥηνικὴ δὲ [2] πόλις οἱ Οὐήϊοι.

XXVI. Τοῦτον [3] ἔσχατον πόλεμον ὁ Ῥωμύλος ἐπολέμησεν. εἶθ', ὃ πολλοὶ, μᾶλλον δὲ πλὴν ὀλίγων πάσχουσι πάντες οἱ μεγάλαις καὶ παραλόγοις ἀρθέντες εὐτυχίαις εἰς δύναμιν καὶ ὄγκον, οὐδ' αὐτὸς διέφυγε παθεῖν, ἀλλ' ἐκτεθαῤῥηκὼς τοῖς πράγμασι, καὶ βαρυτέρῳ φρονήματι χρώμενος, ἐξίστατο τοῦ δημοτικοῦ, καὶ παρήλλαττεν εἰς μοναρχίαν ἐπαχθῆ, καὶ λυποῦσαν ἀπὸ τοῦ σχήματος πρῶτον, ᾧ κατεσχημάτιζεν [4] ἑαυτόν. ἁλουργῆ μὲν γὰρ ἐνεδύετο χιτῶνα, καὶ τήβεννον ἐφόρει περιπόρφυρον· ἐν θρόνῳ δ' ἀνακλίτῳ καθήμενος ἐχρημάτιζεν. ἦσαν δὲ περὶ αὐτὸν ἀεὶ τῶν νέων οἱ καλούμενοι Κέλερες, ἀπὸ τῆς περὶ τὰς ὑπουργίας ὀξύτητος. ἐβάδιζον δὲ πρόσθεν ἕτεροι βακτηρίαις ἀνείργοντες τὸν ὄχλον, ὑπεζωσμένοι δὲ ἱμάντας, ὥστε συνδεῖν εὐθὺς, οὓς προστάξειε. τὸ δὲ δῆσαι Λατῖνοι πάλαι μὲν λιγᾶρε, νῦν δὲ ἀλλιγᾶρε καλοῦσιν. ὅθεν οἵ τε ῥαβδοῦχοι, λικτώρεις, αἵ τε ῥάβδοι, βάκυλα καλοῦνται, διὰ τὸ χρῆσθαι τότε βακτηρίαις. εἰκὸς δὲ λικτώρεις, ἐντιθεμένου τοῦ κάππα, νῦν ὀνομάζεσθαι. πρότερον γὰρ λιτώρεις [5], Ἕλληνιστὶ δὲ λειτουργοὺς ὄντας. λήϊτον γὰρ τὸν δῆμον [5] ἔτι καὶ νῦν [6] Ἕλληνες, καὶ λαὸν τὸ πλῆθος ὀνομάζουσιν.

XXVII.

1 Anon. περιάψαντες; Br. mavult ἐνάψαντες; R. προσ — aut ἀνάψαντες.

2 Sic B. 1. 2. V. — vulg. γάρ.

3 B. 1. 2. inser. ἦν.

4 Br. susp. μετεσχημάτιζεν.

5 B. 1. 2. ὅτι πρότερον λιτώρεις. In iisdem deest paulo post sequens ὄντας.

6 Anon. δημόσιον.

7 Ita collocat R. loco vulg. νῦν καὶ.

XXVII. Ἐπεὶ δὲ τοῦ πάππου Νομήτορος ἐν Ἄλβῃ τελευτήσαντος, αὐτῷ βασιλεύειν προσῆκον, εἰς μέσον ἔθηκε τὴν πολιτείαν δημαγωγῶν, καὶ κατ' ἐνιαυτὸν ἀπεδείκνυεν ἄρχοντα τοῖς Σαβίνοις [1]. ἐδίδαξε καὶ [2] τοὺς ἐν Ῥώμῃ δυνατοὺς ἀβασίλευτον ζητεῖν καὶ αὐτόνομον πολιτείαν, ἀρχομένους ἐν μέρει καὶ ἄρχοντας. οὐδὲ γὰρ οἱ καλούμενοι πατρίκιοι πραγμάτων μετεῖχον, ἀλλ' ὄνομα καὶ σχῆμα περιῆν ἔντιμον αὐτοῖς, ἔθους ἕνεκα μᾶλλον, ἢ γνώμης ἀθροιζομένοις εἰς τὸ βουλευτήριον. εἶτα σιγῇ προστάττοντος ἠκροῶντο· καὶ τῷ πρότεροι [3] τὸ πεπραγμένον ἐκείνου [4] πυθέσθαι, τῶν πολλῶν [5] πλέον ἔχοντες, ἀπηλλάττοντο. καὶ τἄλλα μὲν ἦν ἐλάττονα, τῆς δὲ γῆς τὴν δορύκτητον αὐτὸς ἀφ' ἑαυτοῦ δασάμενος τοῖς στρατιώταις, καὶ τοὺς ὁμήρους τοῖς Οὐηΐοις ἀποδοὺς [6], οὔτε πειθέντων, οὔτε βουλομένων ἐκείνων, ἔδοξε κομιδῇ τὴν γερουσίαν προπηλακίζειν. ὅθεν εἰς ὑποψίαν καὶ διαβολὴν ἐνέπεσε, παραλόγως ἀφανισθέντος αὐτοῦ μετ' ὀλίγον χρόνον. ἠφανίσθη δὲ νόναις Ἰουλίαις, ὡς νῦν ὀνομάζουσιν, ὡς δὲ τότε, Κυντιλίαις· οὐδὲν εἰπεῖν [7] βέβαιον οὐδὲ ὁμολογούμενον πυθέσθαι περὶ τῆς τελευτῆς ἀπολιπών, ἀλλ' ἢ τὸν χρόνον, ὡς προείρηται. δρᾶται γὰρ ἔτι νῦν ὅμοια τῷ τότε πάθει πολλὰ κατὰ τὴν ἡμέραν ἐκείνην. οὐ δεῖ δὲ θαυμάζειν τὴν ἀσάφειαν, ὅπου καὶ [8] Σκηπίωνος Ἀφρικανοῦ μετὰ δεῖπνον οἴκοι τελευτήσαντος, οὐκ ἔσχε πύστιν [9], οὐδ' ἔλεγχον

ὁ

1 Xyl. & H. Steph. Ἀλβανοῖς.

2 Vulg. inser. δὲ, quod in apodosi sententiæ superfluum est.

3 Ita V. Anon. B. 3. προτέρους. B. 1. 2. τὸ πρότερον vulg.

4 Ex emend. R. Vulg. ἐκείνους.

5 B. 1. 2. ὡς τῶν &c.

6 Junt. & Ald. ἀποδιδοὺς.

7 Secundum R. οὐδὲν (ὡς εἰπεῖν) βέβαιον — *pæne dixerim nihil certum relinquens.* An necesse sit, dubito.

8 Secundum B. 1. 2. Vulg. sine καὶ.

9 Sic dedit de suo R pro vulg. πίστιν.

ὁ τρόπος τῆς τελευτῆς, ἀλλ' οἱ μὲν αὐτομάτως, ὄντα φύσει νοσώδη, καμεῖν λέγουσιν, οἱ δ' αὐτὸν ὑφ' ἑαυτοῦ φαρμάκοις ἀποθανεῖν· οἱ δὲ, τοὺς ἐχθροὺς τὴν ἀναπνοὴν ἀπολαβεῖν αὐτοῦ, νύκτωρ παρεισπεσόντας. καίτοι Σκηπίων ἔκειτο νεκρὸς ἐμφανὴς ἰδεῖν πᾶσι, καὶ τὸ σῶμα παρεῖχε πᾶσιν ὁρώμενον ὑποψίαν τινὰ τοῦ πάθους καὶ κατάνοησιν. Ῥωμύλου δὲ ἄφνω μεταλλάξαντος, οὔτε μέρος ὤφθη σώματος, οὔτε λείψανον ἐσθῆτος, ἀλλ' οἱ μὲν εἴκαζον ἐν τῷ ἱερῷ τοῦ Ἡφαίστου τοὺς βουλευτὰς ἐπαναστάντας αὐτῷ καὶ διαφθείραντας, νείμαντας [1] τὸ σῶμα, καὶ μέρος ἕκαστον ἐνθέμενον εἰς τὸν κόλπον ἐξενεγκεῖν· ἕτεροι δ' οἴονται, μήτε ἐν τῷ ἱερῷ τοῦ Ἡφαίστου, μήτε μόνων [2] τῶν βουλευτῶν παρόντων γενέσθαι τὸν ἀφανισμὸν, ἀλλὰ τυχεῖν μὲν ἔξω περὶ τὸ καλούμενον αἰγὸς ἢ ζορκὸς ἕλος ἐκκλησίαν ἄγοντα τὸν Ῥωμύλον, ἄφνω δὲ θαυμαστὰ καὶ κρείττονα λόγου περὶ τὸν ἀέρα πάθη γενέσθαι καὶ μεταβολὰς ἀπίστους· τοῦ μὲν γὰρ ἡλίου τὸ φῶς ἐπιλιπεῖν, νύκτα δὲ καταχεῖν, οὐ πρᾳεῖαν, οὐδὲ ἥσυχον, ἀλλὰ βροντάς τε δεινὰς, καὶ πνοὰς ἀνέμων ζάλην ἐλαυνόντων, πανταχόθεν ἔχουσαν. ἐν δὲ τούτῳ, τὸν μὲν πολὺν ὄχλον σκεδασθέντα φυγεῖν, τοὺς δὲ δυνατοὺς συστραφῆναι μετ' ἀλλήλων. ἐπεὶ δ' ἔληξεν ἡ ταραχὴ, καὶ τὸ φῶς ἐξέλαμψε, καὶ τῶν πολλῶν εἰς ταυτὸ πάλιν συνερχομένων, ζήτησις ἦν τοῦ βασιλέως καὶ πόθος, οὐκ ἐᾶν [3] τοὺς δυνατοὺς ἐξετάζειν [4], οὐδὲ πολυπραγμονεῖν, ἀλλὰ τιμᾶν παρακελεύεσθαι πᾶσι καὶ σέβεσθαι Ῥωμύλον, ὡς ἀνηρπασμένον εἰς θεοὺς, καὶ θεὸν εὐμενῆ γενησόμενον αὐτοῖς ἐκ χρηστοῦ βασιλέως.

1 B. 1. 2. Τὸ δὲ σῶμα νείμ.

2 B. 1. 2. Junt. μόνον.

3 V. add. δέ.

4 Hoc vocab. defuit vetuſtioribus edd. — H. Steph ex vet. codd. addidit.

λέως. τοὺς μὲν οὖν πολλοὺς ταῦτα πειθομένους [1] καὶ χαίροντας ἀπαλλάττεσθαι, μετ' ἐλπίδων ἀγαθῶν προσκυνοῦντας· εἶναι δέ τινας, οἱ τὸ πρᾶγμα πικρῶς καὶ δυσμενῶς ἐξελέγχοντες, ἐτάραττον τοὺς πατρικίους καὶ διέβαλλον, ὡς ἀβέλτερα τὸν δῆμον ἀναπείθοντας, αὐτοὺς δὲ τοῦ βασιλέως αὐτόχειρας ὄντας.

XXVIII. Οὕτως οὖν ταραττομένων [2], ἄνδρα [3] τῶν πατρικίων, γένει πρῶτον, ἤθει τε δοκιμώτατον, αὐτῷ τε Ῥωμύλῳ πιστὸν καὶ συνήθη, τῶν ἀπ' Ἄλβης ἐποίκων, Ἰούλιον [4] Πρόκλον, εἰς ἀγορὰν προελθόντα, καὶ τῶν ἁγιωτάτων ἔνορκον ἱερῶν ἁψάμενον, εἰπεῖν ἐν πᾶσιν, ὡς ὁδὸν αὐτῷ βαδίζοντι Ῥωμύλος ἐξ ἐναντίας προσιὼν φανείη, καλὸς μὲν ὀφθῆναι καὶ μέγας, ὡς οὔποτε πρόσθεν, ὅπλοις δὲ λαμπροῖς καὶ φλέγουσι κεκοσμημένος. αὐτὸς μὲν οὖν ἐκπλαγεὶς πρὸς τὴν ὄψιν, ὦ βασιλεῦ, φάναι, τί δὴ παθὼν, ἢ τί διανοηθεὶς, ἡμᾶς μὲν ἐν αἰτίαις [5] ἀδίκοις καὶ πονηραῖς, πᾶσαν δὲ τὴν πόλιν ὀρφανὴν ἐν μυρίῳ πένθει προλέλοιπας; ἐκεῖνον δὲ ἀποκρίνασθαι· Θεοῖς ἔδοξεν, ὦ Πρόκλε, τοσοῦτον ἡμᾶς γενέσθαι μετ' ἀνθρώπων χρόνον, ἐκεῖθεν ὄντας [6], καὶ πόλιν ἐπ' ἀρχῇ καὶ δόξῃ μεγίστῃ [7] κτίσαντας, αὖθις οἰκεῖν οὐρανόν. ἀλλὰ χαῖρε, καὶ φράζε Ῥωμαίοις, ὅτι σωφροσύνην μετ' ἀνδρείας ἀσκοῦντες, ἐπὶ πλεῖστον ἀνθρωπίνης ἀφίξονται δυνάμεως. ἐγὼ δ' ὑμῖν εὐμενὴς ἔσομαι δαίμων Κυρῖνος. Ταῦτα πιστὰ μὲν εἶναι τοῖς Ῥωμαίοις ἐδόκει, διὰ τὸν τρόπον τοῦ λέγοντος

1 Ita ex emend. R. pro vulg. πυθομένους.
2 H. Steph. hanc vocem addidit.
3 Vulg. φασὶ additur.
4 B. 1. 2. τοὔνομα Ἰούλ.
5 Olim defuit ἐν, ex V. & Anon. recte restitutum.
6 Transfert has voces Dacer. ex auctor. Ms. in proxime seq. lin. secundum Anon. ibi supplendas.
7 Ita V. — vulgo μεγίστην.

τος καὶ τὸν ὅρκον· ἐ μὴν ἀλλὰ καὶ δαιμόνιόν τι συνεφάψαθαι πάθος ὅμοιον ἐνθεσιασμῷ· μηδένα γὰρ ἀντειπεῖν, ἀλλὰ πᾶσαν ὑπόνοιαν καὶ διαβολὴν ἀφέντας, εὔχεσθαι Κυρίνῳ, καὶ θεοκλυτεῖν ἐκεῖνον. ἔοικε μὲν ἐν ταῦτα τοῖς ὑφ' Ἑλλήνων περί τε [1] Ἀρισέε τε Προκοννησίε καὶ Κλεομήδες τε Ἀσυπαλαιέως μυθολογεμένοις. Ἀρισέαν μὲν γὰρ ἔν τινι κναφείῳ τελευτῆσαι φασὶ, καὶ τὸ σῶμα μετιόντων αὐτε τῶν φίλων ἀφανὲς οἴχεσθαι· λέγειν δέ τινας εὐθὺς ἐξ ἀποδημίας ἥκοντας, ἐντυχεῖν Ἀρισέᾳ τὴν ἐπὶ Κρότωνος πορευομένῳ. Κλεομήδη δὲ, ῥώμῃ καὶ μεγέθει σώματος ὑπερφυᾶ γενόμενον, ἐμπληκτόν τε τῷ τρόπῳ καὶ μανικὸν ὄντα, πολλὰ δρᾶν βίαια, καὶ τέλος ἔν τινι διδασκαλείῳ παίδων τὸν ὑπερείδοντα τὴν ὀροφὴν κίονα πατάξαντα τῇ χειρὶ κλάσαι μέσον, καὶ τὴν σέγην καταβαλεῖν. ἀπολομένων δὲ τῶν παίδων διωκόμενον [2], εἰς κιβωτὸν καταφυγεῖν μεγάλην, καὶ τὸ πῶμα κατακλείσαντα συνέχειν ἐντὸς, ὥσε ἀποσπάσαι μὴ δύνασθαι πολλὲς ὁμε βιαζομένες· κατασχίσαντας δὲ τὴν κιβωτὸν, ἔτε ζῶντα τὸν ἄνθρωπον εὑρεῖν, ἔτε νεκρόν. ἐκπλαγέντας ἐν ἀποσεῖλαι θεοπρόπες εἰς Δελφὲς· οἷς τὴν Πυθίαν εἰπεῖν·

Ἔσχατος ἡρώων Κλεομήδης Ἀσυπαλαιεύς.

Λέγεται δὲ καὶ τὸν Ἀλκμήνης ἐκκομιζομένης νεκρὸν ἄδηλον γενέσθαι· λίθον δὲ φανῆναι κείμενον ἐπὶ τῆς κλίνης. καὶ ὅλως πολλὰ τοιαῦτα μυθολογεσι παρὰ τὸ εἰκὸς, ἐκθειάζοντες τὰ θνητὰ τῆς φύσεως ἅμα τοῖς Θεοῖς [3]. ἀπογνῶναι μὲν ἐν παντάπασι τὴν θειότητα τῆς ἀρετῆς, ἀνόσιον [4] καὶ ἀγεννές· ἐρανῷ δὲ μιγνύειν

1 B. 1. 2. περὶ τε.

2 B. 1. 2. εἶτα διωκόμενον ἀπολομένων τῶν παίδων.

3 Br. mavult τοῖς θείοις. Omnem autem ſententiam R. ita vult diſtingui & legi: μυθολογεσι, παρὰ τὸ εἰκὸς ἐκθειάζοντες τὰ τῆς θνητῆς φύσεως λαχόντα τοῖς κόμποις.

4 B. 1. 2. add. ἐςι.

ειν γῆν, ἀβέλτερον. λεκτέον [1] ἐν ἐχομένοις [2] τῆς ἀσφαλείας, κατὰ Πίνδαρον, ὡς σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ, ζωὸν δ' ἔτι λείπεται δι' αἰῶνος εἴδωλον [3]. τὸ γάρ ἐςι μόνον ἐκ Θεῶν. ἥκει γὰρ ἐκεῖθεν, ἐκεῖ δ' ἄνεισιν· ἐ μετὰ σώματος, ἀλλ' ἐὰν ὅτι μάλιςα σώματος ἀπαλλαγῇ, καὶ διακριθῇ, καὶ γένηται καθαρὸν παντάπασι καὶ ἄσαρκον καὶ ἁγνόν. αὔη [4] γὰρ ψυχὴ, ἀρίςη, καθ' Ἡράκλειτον, ὥσπερ ἀςραπὴ νέφες, διαπἲαμένη τε σώματος. ἡ δὲ σώματι πεφυρμένη καὶ περίπλεως σώματος [5], οἷον ἀναθυμίασις ἐμβριθὴς καὶ ὁμιχλώδης, δυσέξαπἲός ἐςι καὶ δυσανακόμιςος. ἐδὲν ἐν δεῖ τὰ σώματα τῶν ἀγαθῶν συναναπέμπειν παρὰ φύσιν εἰς ἐρανὸν, ἀλλὰ τὰς ἀρετὰς καὶ τὰς ψυχὰς [6] παντάπασιν οἴεσθαι κατὰ φύσιν καὶ δί-

1 Ex emend. R. pro vulg. ἰατέον.

2 Ita restituit lectionem R. ex B. 3. V. & Anon. — Vulgo ἐχομένης τῆς ἀσφαλέιας. B. 1. 2. ἐχομένυς. Pro ἀσφ. mavult Br. ἀληθείας. Pro varietate lectionis, haud mirum, quod variæ existant interpretationes. Schiracho vulgatam sequi, magis placuit, vertendo: Man muss den Fabeln nicht folgen, wenn man Gewisheit hat &c.

3 Varie hi vers. ipso in Plut. leguntur, eos Consol. ad Apollon. citans, ubi alterum hemist. ita sonat: ζῶν δὲ λείπεται αἰῶνος· Εἴδωλον cet. — Lect. vulgata nostri loci hæc est: σωὸν δ' ἔτι λέιπεται αἰῶνος εἴδωλ. — V. & Anon. hab. ζωὸν δέ τι. Præpos. δι' lect. receptæ addidit R. de suo, adhuc de πάντων, utrum hoc, an πάντως, in adv. præstet, ambigens. Non exstat hic locus in Pindari, quas hodie habemus, reliquiis.

4 Ita ex emend. R. loco vulg. lect. αὔτη γὰρ ψυχὴ ξηρὴ, ἀρίςη. Vocabulum ξηρὴ sive est scholion vocabuli αὔη, & delendum, sive, si Plutarch. ipse est interpretatus, ita legendum: αὔη γὰρ ψυχὴ (ἢ ξηρὰ) ἀρίςη. Hoc Heracl. dictum bis legitur in Plut. de defect. orac. nec non de esu carnis. E poster. loco Br. pro αὔτη legendum putat αὐγὴ, ordinemque verborum ita mutat: αὐγὴ γ. ξηρὴ, ψυχ. ἀρ.

5 R. susp. αἵματος, & pro seq. δυσέξαπἲος mavult δυσέξαρτος, ab ἐξαίρειν, *elevatu difficilis.*

6 R. susp. τὰς ἀρεταῖς ἀσκητὰς ψυχάς.

δίκην θείαν, ἐκ μὲν ἀνθρώπων, εἰς ἥρωας, ἐκ δ' ἡρώων, εἰς δαίμονας, ἐκ δὲ δαιμόνων, ἂν τέλεον ὥσπερ ἐν τελετῇ καθαρθῶσι καὶ ὁσιωθῶσιν, ἅπαν ἀποφυγῦσαι τὸ θνητὸν καὶ παθητικὸν, ὐ νόμῳ πόλεως, ἀλλ' ἀληθείᾳ, καὶ κατὰ τὸν εἰκότα λόγον, εἰς Θεὺς ἀναφέρεθαι, τὸ κάλλισον καὶ μακαριώτατον τέλος ἀπολαβῦσας.

XXIX. Τὴν δὲ γενομένην ἐπωνυμίαν τῷ 'Ρωμύλῳ τὸν Κυρῖνον, οἱ μὲν 'Ενυάλιον προσαγορεύυσιν, οἱ δ' ὅτι [1] καὶ τὺς πολίτας Κυρίτας ὠνόμαζον· οἱ δὲ, τὴν αἰχμὴν, ἢ τὸ δόρυ [2] τὺς παλαιὺς Κῦριν [3] ὀνομάζειν, καὶ Κυρίτιδος Ἥρας ἄγαλμα καλεῖν ἐπ' [4] αἰχμῆς ἱδρυμένον· ἐν δὲ τῇ 'Ρηγίᾳ δόρυ καθιδρυμένον, Ἄρεα προσαγορεύειν, καὶ δόρατι τὺς ἐν πολέμοις ἀρισεύοντας γεραίρειν. ὡς ὖν ἀρήϊόν τινα τὸν 'Ρωμύλον, ἢ αἰχμητὴν Θεὸν, ὀνομασθῆναι Κυρῖνον. ἱερὸν μὲν ὖν αὐτῷ ἐσὶ κατεσκευασμένον ἐν τῷ λόφῳ τῷ Κυρινείῳ [5] προσαγορευομένῳ δι' ἐκεῖνον. ἡ δ' ἡμέρα, ᾗ μετήλλαξεν, ὄχλυ φυγὴ καλεῖται καὶ νόνναι Καπρατίναι, διὰ τὸ θύειν [6] εἰς τὸ τῆς γῆς αἰγὸς ἕλος ἐκ πόλεως κατιόντας· τὴν γὰρ αἶγα, κάπραν ὀνομάζυσιν. ἐξιόντες δὲ πρὸς τὴν θυσίαν, πολλὰ τῶν ἐπιχωρίων ὀνομάτων φθέγγονται μετὰ βοῆς, οἷον Μάρκε, Λύκιε, Γαΐε [7], μιμύμενοι τὴν τότε τροπὴν καὶ ἀνάκλησιν



1 B. 1. 2. inserunt πολίτην, quæ vox Br. neceſſaria videtur.

2 B. 1 2. add. φασί.

3 Sic Dacer. pro vulg. Κυρῖνον recte emendavit, collat. Quæſt. Rom.

4 Anon. μετὰ αἰχμῆς.

5 Ex emend. R. pro vulg. Κυρίνῳ. V. habet τῷ Κυρίνᾳ; Anon. Κυρινάλυ.

6 Anon. διὰ τὸ θεῖν.

7 Ita dedit R. pro vulg. Μαρκέλλυ καὶ Γαΐυ. Cf. Plut. in Camill; — Saturn. Macrob. l. 1. c. 11. pro Μαρκέλλυ hab. Anon. Μάρκυ. Idem legit Dacer. ex Ms.

κλησιν ἀλλήλων μετὰ δέȣς καὶ ταραχῆς. ἔνιοι μέντοι τὸ μίμημα τȣ̃το φασὶ μὴ φυγῆς, ἀλλ᾽ ἐπείξεως εἶναι καὶ σπȣδῆς, εἰς αἰτίαν τοιαύτην ἀναφέροντες τὸν λόγον. ἐπεὶ Κελτοὶ τὴν Ῥώμην καταλαβόντες ἐξεκρȣ́σθησαν ὑπὸ Καμίλλȣ, καὶ δι᾽ ἀσθένειαν ἡ πόλις ȣ̓κέτι ῥᾳδίως ἑαυτὴν ἀνελάμβανεν [1], ἐστράτευσαν ἐπ᾽ αὐτὴν πολλοὶ τῶν Λατίνων, ἄρχοντα Λίβιον Ποστȣ́μιον ἔχοντες. ȣ̓̃τος δὲ καθίσας τὸν στρατὸν ȣ̓ πρόσω τῆς Ῥώμης, ἔπεμπε κήρυκα, βȣ́λεσθαι λέγων τȣ̀ς Λατίνȣς ἐκλιπȣ̃σαν ἤδη τὴν παλαιὰν οἰκειότητα καὶ συγγένειαν ἐκζωπυρῆσαι, καιναῖς αὖθις ἀνακραθέντων ἐπιγαμίαις τῶν γενῶν. ἂν ȣ̓̃ν πέμψωσι παρθένȣς τε συχνὰς, καὶ γυναικῶν τὰς ἀνάνδρȣς, εἰρήνην ἔσεσθαι καὶ φιλίαν αὐτοῖς, ὡς ὑπῆρξε πρότερον πρὸς Σαβίνȣς ἐκ τῶν ὁμοίων. ταῦτα ἀκȣ́σαντες οἱ Ῥωμαῖοι τόν τε πόλεμον ἐφοβȣ̃ντο, καὶ τὴν παράδοσιν τῶν γυναικῶν ȣ̓δὲν αἰχμαλωσίας ἐπιεικέστερον ἔχειν ἐνόμιζον. ἀπορȣ̃σι δὲ αὐτοῖς θεράπαινα Φιλωτὶς, ὡς δ᾽ ἔνιοι λέγȣσι, Τȣτόλα καλȣμένη, συνεβȣ́λευε [2] μηδέτερα ποιεῖν, ἀλλὰ χρησαμένȣς δόλῳ διαφυγεῖν ἅμα τὸν [3] πόλεμον καὶ τὴν ἐξομήρευσιν. ἦν δ᾽ ὁ δόλος, αὐτήν τε τὴν Φιλωτίδα, καὶ σὺν αὐτῇ θεραπαινίδας εὐπρεπεῖς, κοσμήσαντας ὡς ἐλευθέρας, ἀποστεῖλαι πρὸς τȣ̀ς πολεμίȣς. εἶτα νύκτωρ τὴν Φιλωτίδα πυρσὸν ἆραι, τȣ̀ς δὲ Ῥωμαίȣς ἐπελθεῖν μετὰ τῶν ὅπλων, καὶ χρήσασθαι [4] κοιμωμένοις τοῖς πολεμίοις. ταῦτα δ᾽ ἐδρᾶτο πεισθέντων τῶν Λατίνων· καὶ τὸν πυρσὸν ἀνέσχεν ἡ Φιλωτὶς ἔκ τινος ἐρινεȣ̃ περιχέȣσα προκαλύμμασι [5] καὶ παραπετάσμασιν ὄπι-

1 B. 1. 2. ἀνέλαβεν.
2 Junt. & Ald. συνεβȣ́λευσε.
3 B. 1. 2. τόν τε. Iid. in seq. post σὺν αὐτῇ add. ἄλλας.
4 Explic. per ellipſ. ὅπως βȣ́λοιντο; ſive legend. καταχρήσ. vel διαχρήσ. κοιμωμένȣς τȣ̀ς πολεμ.
5 B. 1. 2. 3. in ſing. προκαλύμματι.

ἔπιθεν, ὥςε τοῖς πολεμίοις ἀόρατον εἶναι τὸ φῶς, τοῖς δὲ Ῥωμαίοις κατάδηλον. ὡς ἦν ἐπεῖδον, εὐθὺς ἐξῄεσαν [1] ἐπειγόμενοι, καὶ διὰ τὴν ἔπειξιν ἀλλήλους περὶ τὰς πύλας ἀνακαλοῦντες πολλάκις. ἐμπεσόντες δὲ τοῖς πολεμίοις ἀπροσδοκήτως, καὶ κρατήσαντες ἐπινίκιον ἄγουσι τὴν ἑορτήν. καὶ Καπρατῖναι μὲν αἱ νόνναι καλοῦνται, διὰ τὸν ἐρινεὸν καπρίφικον ὑπὸ Ῥωμαίων ὀνομαζόμενον. ἑςιῶσι δὲ τὰς γυναῖκας ἔξω, συκῆς κλάδοις σκιαζομένας. αἱ δὲ θεραπαινίδες ἀγείρουσι περιϊοῦσαι καὶ παίζουσιν, εἶτα πληγαῖς καὶ βολαῖς λίθων χρῶνται πρὸς ἀλλήλας, ὡς καὶ τότε τοῖς Ῥωμαίοις παραγενόμεναι καὶ συναγωνισάμεναι μαχομένοις. ταῦτ' οὐ πολλοὶ προσίενται τῶν συγγραφέων. ἀλλὰ καὶ τὸ μεθ' ἡμέραν χρῆσθαι τῇ ἀνακλήσει τῶν ὀνομάτων, καὶ τὸ πρὸς τὸ ἕλος τὸ τῆς αἰγὸς [2] ὡς ἐπὶ θάλατταν [3] βαδίζοντας, ἔοικε τῷ προτέρῳ λόγῳ προςίθεσθαι μᾶλλον. εἰ μὴ νὴ Δία τῆς αὐτῆς ἡμέρας ἐν χρόνοις ἑτέροις ἀμφότερα τὰ πάθη συνέτυχε γενέσθαι. λέγεται δὲ Ῥωμύλος τέσσαρα μὲν ἔτη καὶ πεντήκοντα γεγονὼς, ὄγδοον δὲ βασιλεύων ἐκεῖνο καὶ τριακοςὸν, ἐξ ἀνθρώπων ἀφανισθῆναι.



1 Ita V. — Vulgo ἐξίεσαν.

2 B. 1. 2. supplent ἔρχεσθαι.

3 Xyl. Dacer. Cruſ. legi volunt ἐπὶ θυσίαν. R. lectionem recept. defendit ex more vet. paganorum, ſimulacra numinum ad mare aut ad fluvios deducendi, ibi lavandi, & e lavacro cum pompa in urbes & templa reducendi. Cf. Callim. hymn. in lav. Palladis; & Plut. in Alcib. — Anon. dat ὥσπερ ἀλαλάζειν βαδ.

# COMPARATIO THESEI CVM ROMVLO.

Ἃ μὲν οὖν ἄξια μνήμης πυθέσθαι περὶ Ῥωμύλου καὶ Θησέως συμβέβηκεν ἡμῖν, ταῦτ᾽ ἐστι. Φαίνεται δὲ πρῶτον ὁ μὲν ἐκ προαιρέσεως, οὐδενὸς ἀναγκάζοντος, ἀλλ᾽ ἐξὸν ἀδεῶς ἐν Τροιζῆνι βασιλεύειν διαδεξάμενον [1] ἀρχὴν οὐκ ἄδοξον, αὐτὸς ἐφ᾽ ἑαυτοῦ [2] μεγάλων ὀρεχθείς· ὁ δὲ δουλείας φυγῇ παρούσης, καὶ τιμωρίας ἐπιφερομένης, ἐκεῖνο τὸ τοῦ Πλάτωνος, ἀτεχνῶς ὑπὸ δέους ἀνδρεῖος γενόμενος, καὶ φόβῳ τοῦ τὰ ἔσχατα παθεῖν, ἐπὶ τὸ δρᾷν μεγάλα δι᾽ ἀνάγκην παραγενόμενος. ἔπειτα τούτου μὲν ἔργον ἐστὶ τὸ μέγιστον, ἀνελεῖν ἕνα τὸν Ἄλβης [3] τύραννον· ἐκείνου δὲ πάρεργα καὶ προαγῶνες ἦσαν, ὁ Σκίρων, ὁ Σίννις, ὁ Προκρούστης, ὁ Κορυνήτης· οὓς ἀναιρῶν καὶ κολάζων, ἀπήλλαττε τὴν Ἑλλάδα δεινῶν τυράννων, πρὶν, ὅστις ἐστὶ, γινώσκειν τοὺς ὑφ᾽ ἑαυτοῦ [4] σωζομένους. καὶ τῷ μὲν παρῆν ἀπραγμόνως κομίζεσθαι διὰ θαλάττης, ἀδικουμένῳ μηδὲν ὑπὸ τῶν λῃστῶν· Ῥωμύλῳ δ᾽ οὐ παρῆν μὴ πράγματα ἔχειν, Ἀμουλίου ζῶντος. μέγα δὲ τούτου τεκμήριον. ὁ μὲν γὰρ, οὐδὲν αὐτὸς ἀδικούμενος, ὥρμησεν ὑπὲρ ἄλλων ἐπὶ τοὺς πονηρούς· οἱ δ᾽ ἐφ᾽ ὅσον [5] αὐτοὶ κακῶς οὐκ ἔπασχον ὑπὸ τοῦ τυράννου, περιεώρων ἀδικοῦντα πάντας. καὶ μὴν εἰ μέγα τὸ τρωθῆναι μαχόμενον Σαβίνοις, καὶ ἀνε-

1 V. & A. ita habent. Vulgo leg. casu nomin. a voce præced. per comma distincto.

2 Br. mavult ἀφ᾽ ἑαυ. *sponte*; — Idem tamen valet lect. recepta.

3 B. 1. 2. τῶν τῆς Ἄλβης.

4 Anon. ὑπ᾽ αὐτοῦ.

5 B. 1. 2. 3. οἱ δ᾽ ὅσον. Junt. Ald. item carent præpositione.

ἀνελεῖν Ἄκρωνα, καὶ πολλῶν μάχῃ [1] κρατῆσαι πολεμίων, τούτοις μέν ἐστι τοῖς ἔργοις Κενταυρομαχίαν καὶ τὰ πρὸς Ἀμαζόνας παραβάλλειν.

II. Ὃ δ' ἐτόλμησε Θησεὺς περὶ τὸν Κρητικὸν δασμὸν, εἴτε τινὶ θηρίῳ βορὰν, εἴτε πρόσφαγμα τοῖς Ἀνδρόγεω τάφοις, εἴθ', ὃ κουφότατόν ἐστι τῶν λεγομένων, λατρεύειν παρ' ἀνδράσιν ὑβρισταῖς καὶ δυσμενέσιν ἀκλεῆ λατρείαν καὶ ἄτιμον ἐπιδοὺς ἑαυτὸν, ἑκουσίως μετὰ παρθένων πλεῦσαι καὶ παίδων νέων, οὐκ ἂν εἴποι τις, ἡλίκης ἐστὶ τόλμης, ἢ μεγαλοφροσύνης, ἢ δικαιοσύνης περὶ τὸ κοινὸν, ἢ πόθου δόξης καὶ ἀρετῆς. ὥστ' ἔμοιγε φαίνεται μὴ κακῶς ὁρίζεσθαι τοὺς φιλοσόφους τὸν ἔρωτα Θεῶν ὑπηρεσίαν πρὸς ἐπιμέλειαν καὶ σωτηρίαν νέων. ὁ γὰρ Ἀριάδνης ἔρως παντὸς μᾶλλον ἔοικεν ἔργον Θεοῦ καὶ μηχάνημα [2] γενέσθαι σωτηρίας ἕνεκα τοῦ ἀνδρός. καὶ οὐκ ἄξιον αἰτιᾶσθαι τὴν ἐρασθεῖσαν, ἀλλὰ θαυμάζειν, εἰ μὴ πάντες [3] οὕτω καὶ πᾶσαι διετέθησαν· εἰ δ' ἐκείνη [4] μόνη τοῦτ' ἔπαθεν, εἰκότως ἔγωγε φαίην ἂν αὐτὴν ἀξιέραστον Θεῷ γεγονέναι, φιλόκαλον καὶ φιλάγαθον καὶ τῶν ἀρίστων ἐρωτικὴν οὖσαν. ἀμφοτέρων τοίνυν τῇ φύσει πολιτικῶν γεγονότων, οὐδέτερος διεφύλαξε τὸν βασιλικὸν τρόπον. ἐξέστη δὲ καὶ μετέβαλε μεταβολὴν, ὁ μὲν δημοτικὴν, ὁ δὲ τυραννικὴν, ταὐτὸν ἀπ' ἐναντίων παθῶν ἁμαρτόντες. δεῖ γὰρ τὸν ἄρχοντα σώζειν πρῶτον αὐτὴν τὴν ἀρχήν· σώζεται δ' οὐχ ἧττον ἀπεχομένη τοῦ μὴ προσήκοντος, ἢ περιεχομένη τοῦ προσήκοντος. ὁ δ' ἐνδιδοὺς, ἢ ἐπιτείνων, οὐ μένει βασιλεὺς, οὐδὲ ἄρχων, ἀλλ' ἢ δημαγωγὸς, ἢ δεσπό-



1 Omittunt hanc vocem Junt. & Ald.

2 Ita habet An. Vulgo μηχανήν.

3 Omittit Schirach in Vers. — dafs es nicht alle Mädchen geworden find.

4 Hanc lectionem, quam & in Ed. Francf. cit. invenies, ex Junt. & Ald. reftitut. vult R. pro vulg. εἴ γ' ἐκείνη.

δεσπότης γιγνόμενος, ἐμποιεῖ τὸ μισεῖν, ἢ καταφρονεῖν τοῖς ἀρχομένοις. ἐ μὴν ἀλλ᾽ ἐκεῖνο μὲν, ἐπιεικείας δοκεῖ καὶ φιλανθρωπίας εἶναι, τἔτο δὲ, φιλαυτίας ἁμάρτημα καὶ χαλεπότητος.

III. Εἰ δὲ δεῖ καὶ τὰ δυστυχηθέντα μὴ παντάπασι ποιεῖϑαι δαίμονος, ἀλλ᾽ ἠθικὰς καὶ παθητικὰς ζητεῖν [1] ἐν αὐτοῖς διαφορὰς [2], θυμἒ μὲν ἀλογίςε καὶ τάχος ἐχἔσης ἄβελον ὀργῆς, μήτε τις ἐκεῖνον ἐν τοῖς πρὸς τὸν ἀδελφὸν ἀπολυέτω, μήτε τἔτον ἐν τοῖς πρὸς τὸν υἱόν. ἡ δὲ κινήσασα τὸν θυμὸν ἀρχὴ μᾶλλον παραιτεῖται τὸν ὑπὸ μείζονος αἰτίας, ὥσπερ ὑπὸ πληγῆς χαλεπωτέρας, ἀνατραπέντα. Ῥωμύλῳ μὲν γὰρ ἐκ βελῆς καὶ σκέψεως περὶ κοινῶν συμφερόντων διαφορᾶς γενομένης, ἐκ ἄν ἠξίωσέ τις ἄφνω τὴν διάνοιαν ἐν τηλικέτῳ πάθει γενέϑαι· Θησέα δὲ πρὸς τὸν υἱὸν, ἃ πάμπαν ὀλίγοι τῶν ὄντων διαπεφεύγασιν, ἔρως καὶ ζηλοτυπία καὶ διαβολαὶ γυναικὸς ἔσφηλαν. ὃ δὲ μεῖζόν ἐςιν, ὁ μὲν Ῥωμύλε θυμὸς εἰς ἔργον ἐξέπεσε καὶ πρᾶξιν ἐκ εὐτυχὲς ἔχεσαν τέλος· ἡ δὲ Θησέως ὀργὴ μέχρι λόγε καὶ βλασφημίας καὶ κατάρας πρεσβυτικῆς προῆλθε· τὰ δ᾽ ἄλλα φαίνεται τῇ τύχῃ χρήσαϑαι τὸ μειράκιον. ὥςε ταύτας μὲν ἄν τις ἀποδοίη τῷ Θησεῖ τὰς ψήφες.

IV. Ἐκείνῳ δὲ πρῶτον μὲν ὑπάρχει μέγα, τὸ μικροτάτας λαβεῖν ἀρχὰς ἐπὶ τὰ πράγματα. δἔλοι γὰρ δὴ καὶ συφορβῶν [3] παῖδες ὀνομαζόμενοι, πρὶν ἐλευθεροι γενέϑαι, πάντας ὀλίγε δεῖν ἠλευθέρωσαν Λατίνες· ἐνὶ χρόνῳ τῶν καλλίςων ὀνομάτων ἅμα τυχόντες, φονεῖς ἐχθρῶν, καὶ σωτῆρες οἰκείων, καὶ βασιλεῖς ἐθνῶν, καὶ οἰκιςαὶ πόλεων, ἐ μετοικιςαί [4]· καθάπερ

1 Ita ex auctor. vet. cod. H. Steph. pro ποιεῖν.
2 V. διαφθορὰς.
3 V. συοφορβῶν.
4 B. I. 2. μετοικιςαὶ δὲ — ἐ ἐκ.

ἅπερ ἦν ὁ Θησεὺς, ἐκ πολλῶν συντιθεὶς καὶ συνοικοδομῶν ἓν οἰκητήριον, ἀναιρῶν δὲ πολλὰς πόλεις, ἐπωνύμους βασιλέων καὶ ἡρώων παλαιῶν. Ῥωμύλος δὲ ταῦτα μὲν ὕστερον ἔδρα, τοὺς πολεμίους ἀναγκάζων τὰ οἰκεῖα καταβάλλοντας καὶ ἀφανίζοντας τοῖς νενικηκόσι προσνέμεσθαι. τὸ δὲ πρῶτον, οὐ μετατιθεὶς, οὐδ' αὔξων τὴν ὑπάρχουσαν, ἀλλὰ ποιῶν ἐξ οὐχ ὑπαρχόντων, καὶ κτώμενος ἑαυτῷ χώραν ὁμοῦ, πατρίδα, βασιλείαν, γένη, γάμους, οἰκειότητας, ἀνῄρει μὲν οὐδένα, οὐδὲ ἀπώλλυεν, εὐεργέτει δὲ τοὺς ἐξ ἀοίκων καὶ ἀνεστίων δῆμον ἐθέλοντας εἶναι καὶ πολίτας. λῃστὰς δὲ καὶ κακούργους οὐκ ἀπέκτεινεν, ἀλλ' ἔθνη προσηγάγετο πολέμῳ, καὶ πόλεις κατεστρέψατο, καὶ βασιλεῖς ἐθριάμβευσε καὶ ἡγεμόνας.

V. Καὶ τὸ μὲν Ῥώμου πάθος ἀμφισβητούμενον ἔχει τὸν αὐτόχειρα, καὶ τὸ πλεῖστον εἰς ἑτέρους [1] τῆς αἰτίας τρέπουσι· τὴν δὲ μητέρα διολλυμένην ἔσωσε περιφανῶς, καὶ τὸν πάππον ἀκλεῶς δουλεύοντα καὶ ἀτίμως εἰς τὸν Αἰνείου θρόνον ἐκάθισε [2]. καὶ πολλὰ μὲν ἑκὼν εὐηργέτησεν, ἔβλαψε δὲ αὐτὸν οὐδὲ ἄκων. τὴν δὲ Θησέως λήθην καὶ ἀμέλειαν τῆς περὶ τὸ ἱστίον ἐντολῆς, μόλις ἂν οἶμαι μακρᾷ [3] τινι παραιτήσει καὶ ἐν ῥαθύμοις δικασταῖς αἰτίαν ἀποφυγεῖν πατροκτονίας· ὃ δὴ καὶ συνιδών τις Ἀττικὸς ἀνὴρ ὡς παγχάλεπόν ἐστι βουλομένοις ἀπολογεῖσθαι, πλάττει τὸν Αἰγέα τῆς νεὼς προσφερομένης ὑπὸ σπουδῆς ἀνατρέχοντα πρὸς τὴν ἀκρόπολιν θέας ἕνεκα, καὶ σφαλλόμενον καταπεσεῖν, ὥσπερ ὀπαδῶν ἔρημον, ἢ τὴν ἐπὶ θάλατταν ὁδὸν [4] σπεύδοντι μὴ παρούσης τινὸς θεραπείας.

F 5 VI.

1 Br. mavult ἑταίρους, coll. fupra dictis c. 10. τῶν ἑταίρων τινὸς cet.

2 R. mavult ἀνεκάθισε, rurfus collocavit.

3 Sic ex omn. B. Flor. Ald. — Vulgo μικρᾷ.

4 Sic ex emend. R. pro vulg. τῆς ε. θ. ὁδοῦ.

VI. Καὶ μὴν τὰ περὶ τὰς ἁρπαγὰς τῶν γυναικῶν ἡμαρτημένα, Θησεῖ μὲν εὐσχήμονος ἐνδεᾶ προφάσεως γέγονε. πρῶτον μὲν, ὅτι πολλάκις· ἥρπασε γὰρ Ἀριάδνην καὶ Ἀντιόπην, καὶ Ἀναξὼ τὴν Τροιζηνίαν· ἐπὶ πάσαις δὲ τὴν Ἑλένην, παρηκμακὼς ἐκ ἀκμάζεσαν, ἀλλὰ νηπίαν καὶ ἄωρον, αὐτὸς ὥραν ἔχων ἤδη γάμων πεπαῦσθαι καὶ νομίμων· ἔπειτα διὰ τὴν αἰτίαν· ἐ γὰρ ἀξιώτεραί γε παιδοποιοὶ τῶν Ἀθήνῃσιν Ἐρεχθειδῶν καὶ Κεκροπιδῶν, αἱ Τροιζηνίων καὶ Λακώνων καὶ Ἀμαζόνων ἀνέγγυοι θυγατέρες ἦσαν. ἀλλὰ ταῦτα μὲν ὑποψίαν ἔχει πρὸς ὕβριν καὶ καθ' ἡδονὴν πεπράχθαι. Ῥωμύλος δὲ πρῶτον μὲν ὀκτακοσίων ὀλίγων ἀριθμῷ δεέσας ἁρπάσας, ἐ πάσας, ἀλλὰ μίαν, ὥς φασιν, Ἑρσιλίαν ἔλαβεν, τὰς δ' ἄλλας διένειμε τοῖς ἀγαθοῖς τῶν πολιτῶν. ἔπειτα τῇ μετὰ ταῦτα τιμῇ καὶ ἀγαπήσει καὶ δικαιοσύνῃ περὶ τὰς γυναῖκας ἀπέδειξε τὴν βίαν ἐκείνην καὶ τὴν ἀδικίαν, κάλλισον ἔργον καὶ πολιτικώτατον εἰς κοινωνίαν γενομένην. ἔτω συνέμιξεν ἀλλήλοις καὶ συνέπηξε τὰ γένη, καὶ παρέχε πηγὴν τῆς εἰς αὖθις εὐνοίας, καὶ δυνάμεως τοῖς πράγμασιν [1]. αἰδῶς δὲ καὶ φιλίας καὶ βεβαιότητος, ἣν [2] εἰργάσατο περὶ τὲς γάμες, ὁ χρόνος ἐςὶ μάρτυς. ἐν γὰρ ἔτεσι τριάκοντα καὶ διακοσίοις [3] ἔτε ἀνὴρ ἐτόλμησε γυναικὸς, ἔτε γυνὴ κοινωνίαν ἀνδρὸς ἐγκαταλιπεῖν· ἀλλ' ὥσπερ ἐν Ἕλλησιν οἱ σφόδρα περιττοὶ τὸν πρῶτον ἔχεσιν εἰπεῖν πατροκτόνον, ἢ μητροφόνον, ἔτω Ῥωμαῖοι πάντες ἴσασιν, ὅτι Καρβίλιος Σπόριος ἀπεπέμψατο τὴν [4] γυναῖκα πρῶτος, ἀπαιδίαν αἰτιασάμενος. τῷ δὲ τοσέτῳ χρόνῳ συμμαρτυρεῖ καὶ τὰ ἔργα. καὶ

1 Sic B. 1. 2. 3. Vulgo πράγμασι.

2 R. quærit, num ὅσην legendum?

3 Anon. ἑξακοσίοις.

4 Articul. addidit R. de ſuo.

καὶ γὰρ ἀρχῆς ἐκοινώνησαν οἱ βασιλεῖς, καὶ πολιτείας τὰ γένη, διὰ τὴν ἐπιγαμίαν ἐκείνην· ἀπὸ δὲ τῶν Θησέως γάμων, Ἀθηναίοις Φιλικὸν μὲν ὐδὲν, ὐδὲ κοινωνικὸν [1] ὑπῆρξε πρὸς ὐδένα συμβόλαιον, ἔχθραι δὲ καὶ πόλεμοι καὶ Φόνοι πολιτῶν· καὶ τέλος Ἀφίδνας ἀπολέσαι, μόλις [2] ὑπ' οἴκ]ϰ τῶν πολεμίων προσκυνήσαντας, καὶ Θεὲς ἀνειπόντας, παθεῖν, ἃ Τρῶες ἔπαθον δι' Ἀλέξανδρον. ἡ μέντοι μήτηρ ἡ Θησέως ὐκ ἐκινδύνευσεν, ἀλλ' ἔπαθε τὰ τῆς Ἑκάβης, ἐγκαταλιπόντος καὶ προεμένϰ τῦ παιδός· εἴγε μὴ πέπλασαι τὰ τῆς αἰχμαλωσίας, ὡς ἔδει γε καὶ τῦτο ψεῦδος εἶναι καὶ τὰ πλεῖσα τῶν ἄλλων. ἐπεὶ καὶ τὰ περὶ τῦ θείϰ μυθολογύμενα πολλὴν ποιεῖ διαφοράν. Ῥωμύλῳ μὲν γὰρ ἡ σωτηρία μετὰ πολλῆς ὑπῆρξε Θεῶν εὐμενείας, ὁ δ' Αἰγεῖ δοθεὶς χρησμὸς ἀπέχεσθαι γυναικὸς ἐπὶ ξένης, ἔοικεν ἀποφαίνειν, παρὰ γνώμην Θεῶν γεγονέναι τὴν Θησέως τέκνωσιν.

ΛΥΚΟΥΡ-

1 Ita emend. pro vulg. Φιλικὸν μὲν ὐδὲν κοιν. H. Steph. Consentiunt B. omnes, Vulc. & Dacer. ex Ms. — Anon. ὐδένα ὐδέ.

2 V. & Anon. καὶ μόλις. Pro seq. παθεῖν hab. V. μὴ παθεῖν, quod firmat Dacer. ex Ms. & ex conjectura emendaverat Xylander. Secundum R. locus ita est integrandus: Ἀφίδνας ἀπολέσαντας (sc. Athenienses) μόλις ὑπ' οἴκ] — τ. π. εὑρέσθαι (impetrarent) πρόσκυν. κ. Θ. ἀνειπ. αὐτὲς, sc. Dioscuros, μὴ παθεῖν.

# ΛΥΚΟΥΡΓΟΣ.

Περὶ Λυκέργε τε νομοθέτε καθόλε μὲν εδέν ἐςιν εἰπεῖν ἀναμφισβήτητον, ε γε καὶ γένος, καὶ ἀποδημία, καὶ τελευτὴ, καὶ πρὸς ἅπασιν ἡ περὶ τὲς νόμες αὐτε καὶ τὴν πολιτείαν πραγματεία διαφόρες ἔσχεν [1] ἱςορίας. ἥκιςα δὲ οἱ χρόνοι, καθ' ὲς γέγονεν ὁ ἀνὴρ, ὁμολογενται. οἱ μὲν γὰρ Ἰφίτῳ συνακμάσαι καὶ συνδιαθεῖναι τὴν Ὀλυμπιακὴν [2] ἐκεχειρίαν λέγεσιν αὐτόν· ὧν ἐςι καὶ Ἀριςοτέλης ὁ φιλόσοφος, τεκμήριον προσφέρων [3] τὸν Ὀλυμπιάσι δίσκον, ἐν ᾧ τε ὄνομα τε Λυκέργε διασώζεται καταγεγραμμένον. οἱ δὲ ταῖς διαδοχαῖς τῶν ἐν Σπάρτῃ βεβασιλευκότων ἀναλεγόμενοι τὸν χρόνον, ὥσπερ Ἐρατοσθένης καὶ Ἀπολλόδωρος, εκ ὀλίγοις ἔτεσι πρεσβύτερον ἀποφαίνεσι τῆς πρώτης Ὀλυμπιάδος. Τίμαιος δὲ ὑπονοεῖ, δυοῖν ἐν Σπάρτῃ γεγονότων Λυκέργων ε κατὰ τὸν αὐτὸν χρόνον, τῷ ἑτέρῳ τὰς ἀμφοῖν [4] πράξεις διὰ τὴν δόξαν ἀνακεῖσθαι· καὶ τόν γε πρεσβύτερον ε πόῤῥω τῶν Ὁμήρε χρόνων γεγονέναι [5], ἔνιοι δὲ, καὶ κατ' ὄψιν ἐντυχεῖν Ὁμήρῳ. δίδωσι δὲ καὶ Ξενοφῶν ὑπόνοιαν ἀρχαιότητος, ἐν οἷς τὸν ἄνδρα λέγει [6] γεγονέναι κατὰ τὲς Ἡρακλείδας. γένει μὲν γὰρ Ἡρακλεῖδαι δήπεθεν ἦσαν καὶ οἱ νεώτατοι τῶν ἐν Σπάρτῃ βασιλέων. ὁ δὲ ἔοικε βελομένῳ τὲς πρώτες ἐκείνες καὶ σύνεγγυς Ἡρακλέες, ὀνομάζειν Ἡρακλείδας. ε μὴν ἀλλὰ καίπερ

1 V. SG. ἔσχηκεν.

2 V. ὀλυμπίαν; it. paulo poſt ὀλυμπιδίσκον pro ὀλυμπίασι δίσκον.

3 Sic reſtit. R. e Junt. & Ald. pro vulg. προφέρων.

4 V. τὰς αὐτῶν.

5 SG. transp. γεγόν. χρόν. — & κατ' ὄψιν hab. κατόψιν.

6 Hæc vox & mox ſequens κατὰ deſunt Juntinæ.

περ ἔτω πεπλανημένης τῆς ἱσορίας, πειρασόμεθα τοῖς βραχυτάτας ἔχεσιν ἀντιλογίας, ἢ γνωριμωτάτες μάρτυρας, ἑπόμενοι τῶν γεγραμμένων περὶ τῦ ἀνδρὸς, ἀποδῦναι τὴν διήγησιν.

II. Ἐπεὶ καὶ Σιμωνίδης ὁ ποιητὴς ἐκ Εὐνόμε λέγει τὸν Λυκῦργον πατρὸς, ἀλλὰ Πρυτάνιδος· καὶ τὸν Λυκῦργον καὶ τὸν Εὔνομον οἱ πλεῖστοι σχεδὸν ἐχ ἔτω γενεαλογῦσιν, ἀλλὰ Πατροκλέες μὲν τῦ Ἀρισοδήμε γενέσθαι Σόον· Σόε δὲ, Εὐρυτίωνα· τέτε δὲ, Πρυτάνιν. ἐκ τέτε δὲ, Εὔνομον· Εὐνόμε δὲ, Πολυδέκτην ἐκ προτέρας γυναικὸς, Λυκῦργον δὲ, νεώτερον ἐκ Διανάσσης. ὡς Διευτυχίδας [1] ἱσόρηκεν, ἕκτον μὲν ἀπὸ Πατροκλέες, ἑνδέκατον δὲ ἀφ᾽ Ἡρακλέες. τῶν δὲ προγόνων αὐτῦ μάλιςα [2] ἐθαυμάσθη Σόος, ἐφ᾽ ἕ καὶ τὰς εἵλωτας ἐποιήσαντο δέλες οἱ Σπαρτιάται, καὶ χώραν προσεκτήσαντο πολλὴν, Ἀρκάδων ἀποτεμόμενοι. λέγεται δὲ τὸν Σόον, ἐν χωρίῳ χαλεπῷ καὶ ἀνύδρῳ πολιορκέμενον ὑπὸ Κλιτορίων, ὁμολογῆσαι τὴν δορίκτητον γῆν αὐτοῖς ἀφήσειν, εἰ πίοι καὶ αὐτὸς καὶ οἱ μετ᾽ αὐτῦ πάντες ἀπὸ τῆς πλησίον πηγῆς. γενομένων δὲ τῶν ὁρκίων καὶ [3] ὁμολογιῶν, συναγαγόντα τὲς μεθ᾽ ἑαυτῦ, διδόναι τῷ μὴ πιόντι τὴν βασιλείαν· ἐδενὸς δὲ καρτερήσαντος, ἀλλὰ πάντων πιόντων, αὐτὸν ἐπὶ πᾶσι καταβάντα, καὶ περιῤῥανάμενον, ἔτι τῶν πολεμίων παρόντων, ἀπελθεῖν· καὶ τὴν χώραν κατασχεῖν, ὡς μὴ πάντων πιόντων. ἀλλὰ καίπερ ἐπὶ τέτοις θαυμάζοντες αὐτὸν, ἐκ ἀπὸ τέτε τὴν οἰκίαν, ἀλλὰ τῦ παιδὸς αὐτῦ προσηγόρευσαν Εὐρυτιωνίδας· ὅτι δοκεῖ πρῶτος Εὐρυτίων τὸ ἄγαν μοναρχικὸν ἀνεῖναι τῆς βασιλείας, δημα-

1 Br. hoc auctoris nomen ſtatuit, pro ὡς δὲ Εὐτυχίδας, particulam δὲ pro onerante ſententiam declarans. Aliter ſentit Schir. lect. vulg. ſequens.

2 SG. add. μὲν.

3 deeſt SG. & Junt.

δημαγωγῶν καὶ χαριζόμενος τοῖς πολλοῖς, ἐκ δὲ τῆς τοιαύτης ἀνέσεως, τȣ͂ μὲν δήμȣ θρασυνομένȣ, τῶν δ' ὕστερον βασιλέων, τὰ μὲν ἀπεχθανομένων τῷ βιάζεσθαι τȣ̀ς πολλȣ̀ς, τὰ δὲ πρὸς χάριν, ἢ δι' ἀσθένειαν ὑποφερομένων, ἀνομία καὶ ἀταξία κατέσχε τὴν Σπάρτην ἐπὶ πολὺν χρόνον· ὑφ' ἧς καὶ τὸν πατέρα τȣ͂ Λυκȣ́ργȣ βασιλεύοντα συνέβη τελευτῆσαι. διερύκων γὰρ ἀμφιμαχίαν τινὰ, μαγειρικῇ κοπίδι [1] πληγεὶς, ἀπέθανε, τῷ πρεσβυτέρῳ παιδὶ Πολυδέκτῃ καταλιπὼν τὴν βασιλείαν.

III. Ἀποθανόντος δὲ καὶ τȣ́τȣ μετ' ὀλίγον χρόνον, ἔδει βασιλεύειν, ὡς πάντες ᾤοντο, τὸν Λυκȣ͂ργον· καὶ πρίν γε τὴν γυναῖκα τȣ͂ ἀδελφȣ͂ φανερὰν γενέσθαι [2] κύȣσαν, ἐβασίλευεν. ἐπεὶ δὲ τȣ͂το τάχιστα ᾔσθετο, τὴν μὲν βασιλείαν ἀπέφηνε τȣ͂ παιδὸς ȣ͂σαν, ἄνπερ ἄῤῥην γένηται, τὴν δ' ἀρχὴν αὐτὸς ὡς ἐπίτροπος διεῖπε· τȣ̀ς δὲ τῶν ὀρφανῶν βασιλέων ἐπιτρόπȣς Λακεδαιμόνιοι προδίκως ὠνόμαζον [3]. ὡς δὲ ἡ γυνὴ προσέπεμπε κρύφα, καὶ λόγȣς ἐποιεῖτο, βȣλομένη διαφθεῖραι τὸ βρέφος, ἐπὶ τῷ συνοικεῖν ἐκείνῳ βασιλεύοντι τῆς Σπάρτης, τὸ μὲν ἦθος αὐτῆς ἐμίσησε, πρὸς δὲ τὸν λόγον αὐτὸν ȣ̓κ ἀντεῖπεν· ἀλλ' ἐπαινεῖν καὶ δέχεσθαι προσποιȣ́μενος, ȣ̓κ ἔφη δεῖν ἀμβλίσκȣσαν αὐτὴν καὶ φαρμακευομένην διαλυμαίνεσθαι τὸ σῶμα καὶ κινδυνεύειν· αὐτῷ γὰρ μελήσειν, ὅπως εὐθὺς ἐκποδὼν ἔσται τὸ γεννηθέν. ȣ̔́τω δὲ παραγαγὼν ἄχρι τȣ͂ τόκȣ τὴν ἄνθρωπον, ὡς ᾔσθετο τίκτȣσαν, εἰσέπεμψε παρέδρȣς ταῖς ὠδῖσιν αὐτῆς καὶ φύλακας, οἷς ἦν προστεταγμένον, ἐὰν μὲν θῆλυ τεχθῇ, παραδȣ͂ναι ταῖς γυναιξίν· ἐὰν

1 SG. κοπίδει.
2 R. dedit h. v. pro vulg. ἔσεσθαι.
3 Sic dedit H. Steph. — Junt. & Ald. ὠνομάζȣσι, unde efficiendum ὀνομάζ.

ἐὰν δὲ ἄῤῥεν, κομίσαι πρὸς ἑαυτὸν, ὅ τι ἂν τύχῃ πράτ]ων. ἔτυχε δὲ δειπνοῦντος αὐτοῦ μετὰ τῶν ἀρχόντων ἀποκυηθὲν ἄῤῥεν· καὶ παρῆσαν οἱ ὑπηρέται τὸ παιδάριον αὐτῷ κομίζοντες. ὁ δὲ, δεξάμενος [λέγεται [1]] καὶ πρὸς τοὺς παρόντας εἰπών· Βασιλεὺς ἡμῖν [2] γέγονεν, ὦ Σπαρτιᾶται· κατέκλινεν ἐν τῇ βασιλικῇ χώρᾳ, καὶ Χαρίλαον ὠνόμασε, διὰ τὸ τοὺς πάντας [3] εἶναι περιχαρεῖς, ἀγαμένους αὐτοῦ τὸ φρόνημα καὶ τὴν δικαιοσύνην. ἐβασίλευσε δὲ μῆνας ὀκ]ὼ τὸ σύμπαν. ἦν δὲ καὶ τἄλλα περίβλεπ]ος ὑπὸ τῶν πολιτῶν, καὶ πλείονες ἐγένοντο τῶν ὡς ἐπιτρόπῳ βασιλέως, καὶ βασιλικὴν ἐξουσίαν ἔχοντι πειθομένων, οἱ δι' ἀρετὴν προσέχοντες αὐτῷ καὶ ποιεῖν ἐθέλοντες ἑτοίμως [4] τὸ προσταττόμενον. ἦν δέ τι καὶ τὸ φθονοῦν, καὶ πρὸς τὴν αὔξησιν ὄντι [5] νέῳ πειρώμενον ἐνίςαθαι· μάλιςα μὲν οἱ συγγενεῖς καὶ οἰκεῖοι τῆς τοῦ βασιλέως μητρὸς ὑβρίσθαι δοκούσης· ὁ δὲ ἀδελφὸς αὐτῆς Λεωνίδας καὶ θρασύτερόν ποτε τῷ Λυκούργῳ λοιδορηθεὶς, ὑπεῖπεν, ὡς εἰδείη σαφῶς μέλλοντα βασιλεύειν αὐτόν· ὑπόνοιαν διδοὺς καὶ προκαταλαμβάνων διαβολῇ τὸν Λυκοῦργον, εἴ τι συμβαίη τῷ βασιλεῖ παθεῖν, ὡς ἐπιβεβουλευκότα. τοιοῦτοι δέ τινες λόγοι καὶ παρὰ τῆς γυναικὸς ἐξεφοίτων· ἐφ' οἷς βαρέως φέρων, καὶ δεδοικὼς τὸ ἄδηλον, ἔγνω φυγεῖν ἀποδημίᾳ τὴν ὑπόνοιαν, καὶ

1 H. Steph. vult ὡς λέγεται; R. vero uncis amputandum inclusit.

2 Ita leg. cum Flor. Ald. & Lapo. Vulg. ὑμῖν.

3 R. quærit, num τοὺς παρόντας.

4 In vet. exempl. προθύμως. H. Steph.

5 R. mavult ἰόντι, eunti; nec non πειρώμενον pro vulg. πειρώμενοι, ob præcedens φθονοῦν. An vero hac lectionis receptæ mutatione facilius res ipsa explicari possit, multum dubito. Semper quærendum restat: quis verè & commode per νέῳ sit intelligendum, utrum Lycurgus, an Charilaus? — Cf. Annot. ad h. l. in fin. Vol.

καὶ πλανηθῆναι, μέχρις ἂν ὁ ἀδελφιδοῦς ἐν ἡλικίᾳ γενόμενος τεκνώσῃ διάδοχον τῆς βασιλείας.

IV. Οὕτως ἀπάρας, πρῶτον μὲν εἰς Κρήτην ἀφίκετο, καὶ τὰς αὐτόθι πολιτείας κατανοήσας, καὶ συγγενόμενος τοῖς πρωτεύουσι κατὰ δόξαν ἀνδράσι, τὰ μὲν [1] ἐζήλωσε καὶ παρέλαβε τῶν νόμων, ὡς οἴκαδε μετοίσων καὶ χρησόμενος, ἔστι δ' ὧν κατεφρόνησεν. ἕνα δὲ τῶν νομιζομένων ἐκεῖ σοφῶν καὶ πολιτικῶν, χάριτι καὶ φιλίᾳ πείσας, ἀπέστειλεν εἰς τὴν Σπάρτην, Θάλητα, ποιητὴν μὲν δοκοῦντα λυρικῶν μελῶν, καὶ πρόσχημα τὴν τέχνην ταύτην πεποιημένον, ἔργῳ δὲ, ἅπερ οἱ κράτιστοι τῶν νομοθετῶν, διαπραττόμενον. λόγοι γὰρ ἦσαν αἱ ᾠδαὶ πρὸς εὐπείθειαν καὶ ὁμόνοιαν ἀνακλητικοὶ διὰ μελῶν ἅμα καὶ ῥυθμῶν, πολὺ τὸ κόσμιον ἐχόντων καὶ καταστατικόν. ὧν ἀκροώμενοι κατεπραΰνοντο λεληθότως τὰ ἤθη, καὶ συνῳκειοῦντο τῷ ζήλῳ τῶν καλῶν ἐκ τῆς ἐπιχωριαζούσης τότε πρὸς ἀλλήλους κακοθυμίας· ὥστε τρόπον τινὰ τῷ Λυκούργῳ προοδοποιεῖν τὴν παίδευσιν αὐτῶν ἐκεῖνον. ἀπὸ δὲ [2] τῆς Κρήτης ὁ Λυκοῦργος ἐπ' Ἀσίαν ἔπλευσε [3], βουλόμενος, ὡς λέγεται, ταῖς Κρητικαῖς διαίταις, εὐτελέσιν οὔσαις καὶ [4] αὐστηραῖς, τὰς Ἰωνικὰς πολυτελείας καὶ τρυφὰς, ὥσπερ ἰατρὸς σώμασιν ὑγιεινοῖς ὕπουλα καὶ νοσώδη, παραβαλὼν [5], ἀποθεωρῆσαι τὴν διαφορὰν τῶν βίων καὶ τῶν πολιτειῶν. ἐκεῖ δὲ καὶ τοῖς Ὁμήρου ποιήμασιν ἐντυχὼν πρῶτον, ὡς ἔοικε, παρὰ τοῖς ἐκγόνοις τοῖς Κλεοφύλου διατηρουμένοις,

1 R. mavult τὰς μὲν ἐζήλ. sc. νόμους; aut si servetur τὰ, pro νόμων leg. putat νομίμων.

2 V. ἐκ δέ.

3 Ita SG. Vulg. ἔπλευσεν.

4 deest Juntinae; ab Aldina add. recte.

5 SG. παραλαβὼν; & pro seq. ἀποθεωρῆσαι hab. V. ἀποθεωρεῖσθαι.

μένοις, καὶ κατιδὼν ἐν αὐτοῖς ταῖς [1] πρὸς ἡδονὴν καὶ ἀκρασίαν διατριβαῖς τὸ πολιτικὸν καὶ παιδευτικὸν, ἐκ ἐλάττονος ἄξιον σπȣδῆς, ἀναμεμιγμένον, ἐγράψατο [2] προθύμως, καὶ συνήγαγεν ὡς δεῦρο κομιῶν. ἦν γάρ τις ἤδη δόξα τῶν ἐπῶν ἀμαυρὰ παρὰ τοῖς Ἕλλησιν· ἐκέκτηντο δ' ȣ πολλοὶ μέρη τινὰ σποράδην τῆς ποιήσεως ὡς ἔτυχε διαφερομένης· γνωρίμην δὲ αὐτὴν καὶ μάλιστα [3] πρῶτος ἐποίησε Λυκȣ̃ργος. Αἰγύπτιοι δὲ καὶ πρὸς αὐτȣ̀ς ἀφικέσθαι τὸν Λυκȣ̃ργον οἴονται, καὶ τὴν ἀπὸ τῶν ἄλλων γενῶν τȣ̃ μαχίμȣ διάκρισιν μάλιστα θαυμάσαντα μετενεγκεῖν εἰς τὴν Σπάρτην, καὶ χωρίσαντα [4] τȣ̀ς βαναύσȣς καὶ χειροτέχνας, ἀστεῖον ὡς ἀληθῶς τὸ πολίτευμα καὶ καθαρὸν ἀποδεῖξαι. ταῦτα μὲν ȣ̃ν Αἰγυπτίοις [5] ἔνιοι καὶ τῶν Ἑλληνικῶν συγγραφέων μαρτυρȣ̃σιν· ὅτι δὲ καὶ Λιβύην καὶ Ἰβηρίαν ἐπῆλθεν ὁ Λυκȣ̃ργος, καὶ περὶ τὴν Ἰνδικὴν πλανηθεὶς τοῖς Γυμνοσοφισαῖς ὡμίλησεν, ȣ̓δένα πλὴν Ἀρισοκράτη τὸν Ἱππάρχȣ Σπαρτιάτην [6] εἰρηκότα γινώσκομεν.

V. Οἱ δὲ Λακεδαιμόνιοι τὸν Λυκȣ̃ργον ἐπόθȣν ἀπόντα, καὶ μετεπέμποντο πολλάκις, ὡς τȣ̀ς μὲν βασιλεῖς ὄνομα καὶ τιμὴν, ἄλλο δὲ μηδὲν, ᾧ [7] διαφέρȣσι

1 Ex emend. R. pro vulg. τῆς π. ἡ. κ. ἀ. διατριβῆς.

2 R. mavult ἐξεγράψατο, nahm Abschriften davon, liess sie abkopiren.

3 R. videtur deesse περισπȣδαστον.

4 R. mavult ἐκχωρίσαντα.

5 V. ἐν Αἰγυπτίοις. R. susp. Αἰγύπτιοι, sc. φάσκȣσιν, οἷς ἔνιοι &c. Pro ἐλλην. συγγραφέων legitur in Junt. & Ald. ἐλλήνων καὶ συγγραφέων.

6 R. censet, aut legendum esse ἄνδρα σπαρτιάτην, aut latere aliquid in voc σπαρτ; quam suspicionem vitiosa lectio Codicis SG. — σρατιώτην movet.

7 deest Junt. & Ald. Quod si omittitur, legendum διαφέρον; quod habet Vulc.

σι τῶν πολλῶν ἔχοντας· ἐν ἐκείνῳ δὲ φύσιν ἡγεμονικὴν καὶ δύναμιν ἀνθρώπων ἀγωγὸν οὖσαν. οὐ μὴν οὐδὲ τοῖς βασιλεῦσιν ἦν ἀβούλητος ἡ παρουσία τοῦ ἀνδρὸς, ἀλλ' ἤλπιζον ἐκείνου συμπαρόντος ἧττον ὑβρίζουσι χρῆσθαι τοῖς πολλοῖς. ἐπανελθὼν οὖν πρὸς οὕτω διακειμένους, εὐθὺς ἐπεχείρει τὰ παρόντα κινεῖν, καὶ μεθιστάναι τὴν πολιτείαν, ὡς τῶν κατὰ μέρος νόμων οὐδὲν ἔργον [1] οὐδ' ὄφελος, εἰ μή τις ὥσπερ σώματι πονηρῷ καὶ γέμοντι παντοδαπῶν νοσημάτων τὴν ὑπάρχουσαν ἐκλήξας καὶ μεταβαλὼν [2] κρᾶσιν ὑπὸ φαρμάκων καὶ καθαρμῶν, ἑτέρας ἄρξηται καινῆς διαίτης. διανοηθεὶς δὲ ταῦτα, πρῶτον μὲν ἀπεδήμησεν εἰς Δελφοὺς, καὶ τῷ Θεῷ χρησάμενος καὶ θύσας [3] ἐπανῆλθε, τὸν διαβόητον ἐκεῖνον χρησμὸν κομίζων, ᾧ θεοφιλῆ μὲν αὐτὸν ἡ Πυθία προσεῖπε, καὶ Θεὸν μᾶλλον, ἢ ἄνθρωπον· εὐνομίας δὲ χρήζοντι διδόναι καὶ καταινεῖν ἔφη τὸν Θεὸν, ἣ πολὺ κρατίστη τῶν ἄλλων ἔσται πολιτειῶν. ἐπαρθεὶς δὲ τούτοις προσήγετο [4] τοὺς ἀρίστους, καὶ συνεφάπτεσθαι παρεκάλει, κρύφα διαλεγόμενος τοῖς φίλοις πρῶτον, εἶτα οὕτως κατὰ μικρὸν ἁπτόμενος πλειόνων, καὶ συνιστὰς ἐπὶ τὴν πρᾶξιν. ὡς δ' ὁ καιρὸς ἧκε, τριάκοντα τοὺς πρώτους ἐκέλευσε μετὰ τῶν ὅπλων ἕωθεν εἰς ἀγορὰν προελθεῖν, ἐκπλήξεως ἕνεκα καὶ φόβου πρὸς τοὺς ἀντιπράττοντας. ὧν εἴκοσι τοὺς ἐπιφανεστάτους Ἕρμιππος ἀνέγραψε· τὸν δὲ μάλιστα τῶν Λυκούργου [5] ἔργων κοινωνήσαντα πάντων καὶ συμπραγματευσάμενον [6] τὰ περὶ τοὺς νόμους, Ἀρθμιάδαν ὀνομάζουσιν. ἀρχομένης δὲ τῆς ταραχῆς, ὁ βασιλεὺς Χαρίλαος φοβηθεὶς, ὡς

1 R. addendum videtur ὄν.
2 V. καταβαλών.
3 SG. transp. θύσας καὶ χρησάμ.
4 R. de suo dedit pro vulg. προσῆγε.
5 V. τὸν Λυκοῦργῳ.
6 V. A. συμπραξάμενον.

ὡς ἐπ' αὐτὸν ὅλης τῆς πράξεως [1] συνισαμένης, κατέφυγε πρὸς τὴν [2] Χαλκίοικον· εἶτα πειθεὶς καὶ λαβὼν ὅρκυς, ἀνέςη, καὶ μετεῖχε τῶν πραττομένων, φύσει πρᾶος ὤν· ὥς πυ καὶ λέγεται συμβασιλεύοντα τὸν Ἀρχέλαον αὐτῷ πρὸς τὺς ἐγκωμιάζοντας τὸν νεανίσκον εἰπεῖν· Πῶς δ' ἂν ὐκ εἴη [3] Χαρίλαος ἀνὴρ ἀγαθὸς, ὃς ὐδὲ τοῖς πονηροῖς χαλεπός ἐςι; Πλειόνων δὲ καινοτομυμένων ὑπὸ τῦ Λυκύργυ, πρῶτον ἦν καὶ μέγισον ἡ κατάςασις τῶν γερόντων. ἥν φησιν ὁ Πλάτων τῇ τῶν βασιλέων ἀρχῇ φλεγμαινύσῃ μιχθεῖσαν, καὶ γενομένην ἰσόψηφον, εἰς τὰ μέγιςα σωτηρίαν ἅμα καὶ σωφροσύνην παραχεῖν. αἰωρυμένη γὰρ ἡ πολιτεία καὶ ἀποκλίνυσα νῦν μὲν ὡς τὺς βασιλεῖς ἐπὶ τυραννίδα, νῦν δὲ ὡς τὸ πλῆθος ἐπὶ δημοκρατίαν, οἷον ἕρμα [4] τὴν τῶν γερόντων ἀρχὴν ἐν μέσῳ θεμένη καὶ ἰσοῤῥοπήσασα, τὴν ἀσφαλεςάτην τάξιν ἔχε καὶ κατάςασιν· ἀεὶ τῶν ὀκτὼ καὶ εἴκοσι γερόντων τοῖς μὲν βασιλεῦσι προστιθεμένων, ὅσον ἀντιβῆναι πρὸς δημοκρατίαν, αὖθις δὲ ὑπὲρ τῦ μὴ γενέσθαι τυραννίδα, τὸν δῆμον ἀναῤῥωννύντων. τοσύτυς δὲ κατασαθῆναί φησι [5] τὺς γέροντας Ἀριςοτέλης, ὅτι τριάκοντα τῶν πρώτων μετὰ Λυκύργυ γενομένων, δύο τὴν πρᾶξιν ἐγκατέλιπον ἀποδειλιάσαντες. ὁ δὲ Σφαῖρος ἐξ ἀρχῆς φησι τοσύτυς γενέσθαι



1 Legitur etiam παρατάξεως; sed recte πράξεως. H. Steph.

2 Junt. & Ald. vitiose πρὸς τὸν χ.

3 Alii ὐκ delendum esse censent. At stare potest, aut cadere pro sensu, quo vocem ἀγαθὸς accipias. Si est commodus, facilis, æquus; tum recte servabitur. Si est fortis, strenuus; tunc abesse potest. R.

4 Sic emend. h. l. Casaub. ad Strab. IX. consentiente Anon. pro vulg. ἔρυμα. Notandum tamen in Catal. Edit. Frf. esse ἕρμα vitiose scriptum.

5 SG. transp. φησὶ κατασαθ.

νέϑαι τὲς τῆς γνώμης μεταχόντας. εἴη δ' ἄν τι [1] καὶ τὸ τῦ ἀριϑμῦ δι' ἑβδομάδος τετράδι πολλαπλασιαϑείσης ἀποτελέμενον, καὶ ὅτι τοῖς αὐτῦ μέρεσιν ἴσος ὢν [2] μετὰ τὴν ἑξάδα, τέλειός ἐςιν. ἐμοὶ δὲ δοκεῖ μάλιςα τοσέτες ἀποδεῖξαι τὲς γέροντας, ὅπως οἱ πάντες εἶεν τριάκοντα, τοῖς ὀκτὼ καὶ εἴκοσι τοῖν δυοῖν βασιλέοιν προστιϑεμένοιν.

VI. Οὕτω δὲ περὶ ταύτην ἐσπέδασε τὴν ἀρχὴν ὁ Λυκῦργος, ὥςε μαντείαν ἐκ Δελφῶν κομίσαι περὶ αὐτῆς, ἣν ῥήτραν καλῦσιν. ἔχει δὲ ὕτως· Διὸς Συλλανίυ καὶ Ἀϑηνᾶς Συλλανίας [3] ἱερὸν ἱδρυσάμενον [4], φυλὰς φυλάξαντα, καὶ ὠβὰς ὠβάξαντα τριάκοντα, γερυσίαν σὺν ἀρχαγέταις [5] καταςήσαντα, ὥρας ἐξ ὥρας ἀπελλάζειν μεταξὺ Βαβύκας τε καὶ Κνακίωνος, ὕτως εἰσφέρειν τε καὶ ἀφίςαϑαι γαμωδᾶν γοριᾶν ἦ μὴν καὶ κράτος [6]. Ἐν τύτοις [7], τὸ μὲν φυλὰς φυλάξαι καὶ ὠβὰς

1 Subaudi πρῦργυ, aut ἰσχυρὸν, vel ἄξιον λόγυ, vel tale quid. Poſt τὸ τῦ ἀρ. ſubaudi ἴδιον, propria hæc hujus numeri ratio. R.

2 R. quærit, num poſt h. v. exciderit πρῶτος.

3 Varie ſentiunt de his cognominibus Interpp. Dacer. corrigit Σελλασίυ & Σελλασίας, a Sellaſia, loco quodam Laconiæ; Bryan. legi mavult Ἑλλανίυ & Ἑλλανίας, dor. pro Ἑλληνίυ & Ἑλληνίας. R. quærit, num Συμανίυ & Συμανίας, Summani & Summanæ, i. e. ὑπάτυ & ὑπάτης.

4 Ex emend. Br. pro vulg. ἱδρυσάμενος, in relat. ad ſeq. φυλάξ. & ὠβάξ.

5 V. ἀρχηγέταις. Id. loco Βαβύκας l. ſeq. hab. Βιβύκας.

6 De ſenſu harum vocum, quis audeat, aliquid certi proponere? — Dacer. ita legit & vertit: δάμῳ δ' ἂν ἀγορᾶν ἦμην τὸ κράτος, populo autem concionum poteſtatem relinquere. Br. ſecundum lectionem Anonym. δάμῳ δ' ἀνωγὰν εἶμεν καὶ κράτος, ex lege decemvirali apud Romanos ita vertit: juſſus populi & ſuffragia ſunto, ſive, quodcunque poſtremum populus juſſit, id jus ratumque eſto. R. conjectura hæc eſt: εἰ (quod reges & ſeniores) τὰς βωλὰς εἰσφέρειν ſc. χρὴ εἰς τὸν δῆμον (fas eſt delibera-

ὠβὰς ὠβάξαι, διελεῖν [1] ἐςὶ καὶ κατανεῖμαι τὸ πλῆθος εἰς μερίδας· ὧν τὰς μὲν φυλὰς, τὰς δὲ ὠβὰς προσηγόρευκεν. ἀρχαγέται δὲ οἱ βασιλεῖς λέγονται. τὸ δὲ ἀπελλάζειν, ἐκκλησιάζειν· ὅτι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν τῆς πολιτείας εἰς τὸν Πύθιον ἀνῆψε. τὴν δὲ Βαβύκαν, καὶ τὸν Κνακίωνα, νῦν Οἰνοῦντα [2] προσαγορεύουσιν· Ἀριςοτέλης δὲ τὸν μὲν Κνακίωνα, ποταμὸν, τὴν δὲ Βαβύκαν, γέφυραν. ἐν μέσῳ δὲ τούτων τὰς ἐκκλησίας ἦγον, οὔτε πας̓άδων οὐσῶν, οὔτ' ἄλλης τινὸς κατασκευῆς. οὐθὲν [3] γὰρ ᾤετο ταῦτα πρὸς εὐβουλίαν εἶναι, μᾶλλον δὲ βλάπτειν, φλυαρώδεις ἀπεργαζόμενα καὶ χαύνους φρονήματι κενῷ τὰς διανοίας τῶν συμπορευομένων, ὅταν εἰς ἀγάλματα καὶ γραφὰς, ἢ προσκήνια θεάτρων, ἢ ςέγας βουλευτηρίων ἠσκημένας περιττῶς ἐκκλησιάζοντες ἀποβλέπωσι. τοῦ δὲ πλήθους ἀθροισθέντος εἰπεῖν μὲν οὐδενὶ γνώμην τῶν ἄλλων ἡφεῖτο [4], τὴν δ' ὑπὸ τῶν γερόντων καὶ τῶν βασιλέων προτεθεῖσαν ἐπικρῖναι κύριος ἦν ὁ δῆμος. ὕςερον μέντοι τῶν πολλῶν ἀφαιρέσει καὶ προσθέσει τὰς γνώμας διαςρεφόντων, καὶ παραβιαζομένων, Πολύδωρος καὶ Θεόπομπος οἱ βασιλεῖς τάδε τῇ ῥήτρᾳ παρενέγραψαν. αἱ δὲ



liberationes in plebem inferre) καὶ ἀφιςάναι (concionem rursus dimittere) δάμῳ δ' ἀγορίαν ἦμεν καὶ κράτος (jus jubendi vetandique plebis esse, auctoritatemque ratum quid irritumve reddendi.) Schirach lectionem Br. sequens, ita vertit: Du trägst vor, oder hebst die Versammlung auf, aber des Volkes Bewilligung ist geltend Gesez. In Catal. lect. Var. ed. Frf. invenitur alia lectio: γυριανήμην, absque ind. cod.

7 V. & Flor. Ἰοσάτοις. Lectionem recept. dedit prima Ald.

1 Ita hab. Anon. pro vulg. διέχειν.

2 V. εἰς νοῦν.

3 Junt. vitiose dat ὅθεν καὶ.

4 Ex emend. R. sive ab ἀφιέναι, sive ab ἐφιέναι. Pro vulg. ὑφεῖτο.

δὲ [1] σκολιὰν ὁ δᾶμος αἱροῖτο, τὲς πρεσβυγενέας καὶ ἀρχαγέτας ἀποςατῆρας εἶμεν. τῦτ᾽ ἔςι μὴ κυρῦν, ἀλλ᾽ ὅλως ἀφίςαθαι [2] καὶ διαλύειν τὸν δῆμον, ὡς ἐκτρέποντα καὶ μεταποιῦντα τὴν γνώμην παρὰ τὸ βέλτισον. ἔπεισαν δὲ καὶ αὐτοὶ τὴν πόλιν [3], ὡς τῦ Θεῦ ταῦτα προστάσσοντος· ὥς πυ Τυρταῖος [4] ἐπιμέμνηται διὰ τύτων·

Φοίβυ ἀκύσαντες Πυθωνόθεν οἴκαδ᾽ ἔνεικαν [5]
Μαντείας τε Θεῦ καὶ τελέεντ᾽ ἔπεα.
Ἄρχειν μὲν βυλῆς θεοτιμήτυς βασιλῆας,
Οἷσι μέλει Σπάρτας ἱμερόεσσα πόλις,
Πρεσβύτας τε γέροντας, ἔπειτα δὲ δημότας ἄνδρας,
Εὐθείαις ῥήτραις ἀνταπαμειβομένυς.

VII. Οὕτω τὸ πολίτευμα τῦ Λυκύργυ μίξαντος, ὅμως ἄκρατον ἔτι τὴν ὀλιγαρχίαν καὶ ἰσχυρὰν [6] οἱ μετ᾽ αὐτὸν ὁρῶντες σπαργῶσαν καὶ θυμυμένην, ὥς φησιν ὁ Πλάτων, οἷον ψάλιον [7] ἐμβάλλυσιν αὐτῇ, τὴν τῶν ἐφόρων δύναμιν, ἔτεσί πυ μάλιςα τριάκοντα καὶ ἑκατὸν μετὰ Λυκῦργον, πρώτων [8] τῶν περὶ Ἔλατον ἐφόρων κατασαθέντων ἐπὶ Θεοπόμπυ βασιλεύοντος· ὃν καί φασιν

1 V. ἃ δὲ. — Voc. seq. αἱροῖτο dedit R. pro vulg. ἔροιτο, populus pravum si sciscat scitum.

2 R. vult ἀφιςάναι, dimittere. ἀφίςαθαι est discedere.

3 R. susp. ἔπεισαν δὲ καὶ αὐτοῖς ἐπιτρέπειν τὴν πόλιν, cives oratione permoverunt, ut sibi permitterent remp. gerendam.

4 Junt. vitiose Τριταῖος. Eadem v. 3. cum Aldi. pro βασιλῆας dat βασιλείας, non a βασιλεία, sed, ut accentus indicat, a βασιλεὺς deriv.

5 Ita ex lect. Anon. pro vulg. οἱ τάδε νικῷν.

6 R. videtur deesse ἦσαν. constructione ita resolvenda; ὁρῶντες σπαργῶσαν, ἦσαν ἄκρατον &c. i. e. διὰ τὸ εἶναι ἄκρ. videntes ferocientem, utpote quæ esset haud contemperata.

7 V. ψέλλιον, v. ψάλλιον.

8 Ex emend. R. pro vulg. πρῶτον.

φασιν ὑπὸ τῆς ἑαυτȢ γυναικὸς ὀνειδιζόμενον ὡς ἐλάττω παραδώσοντα τοῖς παισὶ τὴν βασιλείαν, ἣ παρέλαβε· Μείζω μὲν ȣ̃ν, εἰπεῖν, ὅσῳ χρονιωτέραν [1]. τῷ γὰρ ὄντι τὸ ἄγαν ἀποβαλȢσα, μετὰ τȢ̃ φθόνȣ διέφυγε τὸν κίνδυνον· ὥςε μὴ παθεῖν, ἃ Μεσσήνιοι καὶ Ἀργεῖοι [2] τȣ̀ς παρ' αὐτοῖς βασιλεῖς ἔδρασαν, μηδὲν ἐνδȣ̃ναι, μηδὲ χαλάσαι τῆς ἐξȣσίας ἐπὶ τὸ δημοτικὸν ἐθελήσαντας [3]. ὃ [4] καὶ μάλιςα τὴν ΛυκȢ́ργȣ σοφίαν καὶ πρόνοιαν ἐποίησε φανερὰν εἰς τὰς Μεσσηνίων καὶ Ἀργείων, συγγενῶν καὶ γειτόνων δήμων, καὶ βασιλέων ςάσεις καὶ κακοπολιτείας ἀφορῶσιν· οἳ τῶν ἴσων ἀπ' ἀρχῆς τετυχηκότες, ἐν δὲ τῷ κλήρῳ καὶ πλέον ἔχειν ἐκείνων δόξαντες, ȣ̓κ ἐπὶ πολὺν χρόνον εὐδαιμόνησαν, ἀλλ' ὕβρει μὲν τῶν βασιλέων, ȣ̓κ-εὐπειθίᾳ [5] δὲ τῶν ὄχλων, τὰ καθεςῶτα συνταράξαντες, ἔδειξαν, ὅτι θεῖον ἦν ὡς ἀληθῶς εὐτύχημα τοῖς Σπαρτιάταις ὁ τὴν πολιτείαν ἁρμοσάμενος καὶ κεράσας παρ' αὐτοῖς. ταῦτα μὲν ȣ̃ν ὕςερον.

VIII. Δεύτερον δὲ τῶν ΛυκȢ́ργȣ πολιτευμάτων καὶ νεανικώτατον, ὁ τῆς γῆς ἀναδασμός ἐςι. δεινῆς γὰρ ȣ̓́σης ἀνωμαλίας, καὶ πολλῶν ἀκτημόνων καὶ ἀπόρων ἐπιφερβομένων [6] τῇ πόλει, τȢ̃ δὲ πλȢ́τȣ παντάπασιν εἰς ὀλίγȣς συνεῤῥυηκότος, ὕβριν, καὶ φθόνον, καὶ κακȣργίαν, καὶ τρυφὴν, καὶ τὰ τȣ́των ἔτι πρεσβύτερα



1 Idem legimus *in Plutarcho ad princ. inerud.* ubi pro ἣ παρέλ. est ἧς παρέλ. & βεβαιοτέραν pro χρονιωτ.

2 V. cum art. οἱ Ἀργ. — Nomen Μεσσήν. Cod. SG. cum dupl. σ. semper. Vulg. dant Μεσήνιοι.

3 SG. ἐθελήσαντος.

4 abest a Junt. & Ald.

5 Interjecta lineola quasi unum vocabulum, ut si dicas, *obediendi non-facilitas*, pro difficultas. SG. εὐπειθείᾳ.

6 Ita ex emend. R. pro vulg. ἐπιφερομ. — Anon. ἐπιφορȣμένων.

βύτερα καὶ μείζω νοσήματα πολιτείας, πλοῦτον καὶ πενίαν ἐξελαύνων, συνέπεισε τὴν χώραν ἅπασαν εἰς μέσον θέντας, ἐξ ἀρχῆς ἀναδάσασθαι, καὶ ζῆν μετ' ἀλλήλων ἅπαντας ὁμαλεῖς καὶ ἰσοκλήρους τοῖς βίοις γενομένους· τὸ δὲ πρωτεῖον ἀρετῇ μετιόντας, ὡς ἄλλης ἑτέρῳ πρὸς ἕτερον οὐκ οὔσης διαφορᾶς, οὐδ' ἀνισότητος, πλὴν ὅσην καὶ [1] αἰσχρῶν ψόγος ὁρίζει καὶ καλῶν ἔπαινος. ἐπάγων δὲ τῷ λόγῳ τὸ ἔργον, διένειμε [2] τὴν μὲν ἄλλην τοῖς περιοίκοις Λακωνικὴν, τρισμυρίους κλήρους [3], τὴν δ' εἰς τὸ ἄστυ τὴν Σπάρτην [4] συντελοῦσαν, ἐννακισχιλίους· τοσοῦτοι γὰρ ἐγένοντο κλῆροι Σπαρτιατῶν. ἔνιοι δέ φασι τὸν μὲν Λυκοῦργον ἑξακισχιλίους νεῖμαι, τρισχιλίους δὲ μετὰ ταῦτα προσθεῖναι Πολύδωρον. οἱ δὲ τοὺς μὲν ἡμίσεις τῶν ἐννακισχιλίων τοῦτον, τοὺς δὲ ἡμίσεις, Λυκοῦργον [5]. ὁ δὲ κλῆρος ἦν ἑκάστου τοσοῦτος, ὥστ' ἀποφορὰν φέρειν, ἀνδρὶ μὲν, ἑβδομήκοντα κριθῶν μεδίμνους, γυναικὶ δὲ δώδεκα [6], καὶ τῶν ὑγρῶν καρπῶν ἀναλόγως τὸ πλῆθος. ἀρκέσειν γὰρ ᾤετο [7] τοσοῦτον [8] αὐτοῖς τῆς τροφῆς, πρὸς εὐεξίαν καὶ ὑγείαν ἱκανὴν [9] ἄλλου μηδενὸς δεησομένοις. λέγεται δ' αὐτὸν ὕστερόν ποτε χρόνῳ τὴν χώραν διεξερχόμενον ἐξ ἀποδημίας ἄρτι τεθερισμένην, ὁρῶντα τοὺς σωροὺς παραλλή-

λους

1 deest SG.

2 SG. ἔνειμε.

3 abest a Junt. & Ald. dedit.

4 V. τῆς Σπάρτῃ vel τῆς Σπάρτης; SG. & Junt. τῇ Σπάρτῃ.

5 V. Λυκούργῳ.

6 Secundum R. discrepantia numer. 70. & 12. nimis est enormis, quam ut videri possit, h. l. in numeris aberratum non esse.

7 Ita leg. cum Anon. V. SG. Steph. Lapo, pro vulg. ᾤοντο.

8 V. Anon. τοσούτους τὸν αὐτ.

9 Ex emend. R. pro vulg. ἱκανῆς. Post seq. ἄλλου hab. SG. δέ. Loco δεησομένοις est in Var. lect. δεησόμενον, sine codicis nomine.

λους καὶ ὁμαλεῖς, μειδιάσαι, καὶ εἰπεῖν πρὸς τοὺς παρόντας, ὡς ἡ Λακωνικὴ φαίνεται πᾶσα πολλῶν ἀδελφῶν εἶναι νεωστὶ νενεμημένων.

IX. Ἐπιχειρήσας δὲ καὶ τὰ ἔπιπλα διαιρεῖν, ὅπως παντάπασιν ἐξέλοι τὸ ἄνισον καὶ ἀνώμαλον, ἐπεὶ χαλεπῶς ἑώρα προσδεχομένους [1] τὴν ἄντικρυς ἀφαίρεσιν, ἑτέρᾳ προσῆλθεν [2] ὁδῷ, καὶ κατεπολιτεύσατο τὴν ἐν τούτοις πλεονεξίαν. πρῶτον μὲν γὰρ [3] ἀκυρώσας πᾶν νόμισμα χρυσοῦν καὶ ἀργυροῦν, μόνῳ χρῆσθαι τῷ σιδηρῷ προσέταξε [4], καὶ τούτῳ δ' ἀπὸ πολλοῦ σταθμοῦ καὶ ὄγκου, δύναμιν ὀλίγην ἔδωκεν [5], ὥστε δέκα μνῶν ἀμοιβὴν ἀποθήκης τε μεγάλης ἐν οἰκίᾳ δεῖσθαι καὶ ζεύγους ἄγοντος. τούτου δ' ἐπιχυθέντος, ἐξέπεσεν ἀδικημάτων γένη πολλὰ τῆς Λακεδαίμονος. τίς γὰρ ἢ κλέπτειν ἔμελλεν, ἢ δωροδοκεῖν, ἢ ἀποστερεῖν, ἢ ἁρπάζειν, ὃ μήτε κατακρύψαι δυνατὸν ἦν, μήτε κεκτῆσθαι ζηλωτὸν, ἀλλὰ μηδὲ κατακόψαι λυσιτελές; ὄξει γὰρ, ὡς λέγεται, διαπύρου σιδήρου τὸ στόμωμα κατασβέσας, ἀφείλετο τὴν εἰς τἆλλα χρείαν καὶ δύναμιν, ἀδρανοῦς καὶ δυσέργου γενομένου. μετὰ δὲ τοῦτο τῶν ἀχρήστων καὶ περισσῶν ἐποιεῖτο τεχνῶν ξενηλασίαν. ἔμελλον δέ που, καὶ μηδενὸς ἐξελαύνοντος, αἱ πολλαὶ τῷ κοινῷ [6] νομίσματι συνεκπεσεῖσθαι, διάθεσιν τῶν ἔργων οὐκ ἐχόντων. τὸ γὰρ σιδηροῦν ἀγώγιμον οὐκ ἦν πρὸς τοὺς ἄλλους Ἕλληνας, οὐδ' εἶχε τιμὴν, καταγελώμενον· ὥστ' οὐδὲ πρίασθαί τι τῶν ξενικῶν καὶ ῥωπικῶν ὑπῆρχεν·



1 Br. magis placet προσδεξομένους, quod hab. Pl. in Apophth. Lacon.

2 Ex emend. R. pro vulg. προῆλθεν. SG. περιῆλθεν.

3 Vulg. deest; additum ex V. & SG.

4 Ita SG. — Vulg. προσέταξεν.

5 V. ἔδωκαν.

6 Br. mavult καινῷ; rei veritati mentique Plutarchi minus congrue.

ὐδ' εἰσέπλει φόρτος [1] ἐμπορικὸς εἰς τὰς λιμένας· ὐδ' ἐπέβαινε τῆς Λακωνικῆς ὐ σοφιςῆς λόγων, ὐ μάντις ἀγυρτικὸς, ὐχ ἑταιρῶν τροφεὺς, ὐ χρυσῶν τις, ὐκ ἀργυρῶν καλλωπισμάτων δημιυργὸς, ἅτε δὴ νομίσματος ὐκ ὄντος. ἀλλὰ ὕτως ἀπερημωθεῖσα κατὰ μικρὸν ἡ τρυφὴ τῶν ζωπυρύντων καὶ τρεφόντων αὐτὴν, δι' αὐτῆς ἐμαραίνετο· καὶ πλεῖον ὐδὲν ἦν τοῖς τὰ πολλὰ κεκτημένοις, ὁδὸν ὐκ ἐχύσης εἰς μέσον τῆς εὐπορίας, ἀλλ' ἐγκατῳκοδομημένης [2] καὶ ἀργύσης. δι' ὃ καὶ τὰ πρόχειρα τῶν σκευῶν καὶ ἀναγκαῖα ταῦτα, κλιντῆρες καὶ δίφροι καὶ τράπεζαι, βέλτιςα παρ' αὐτοῖς ἐδημιυργεῖτο, καὶ κώθων ὁ Λακωνικὸς εὐδοκίμει μάλιςα πρὸς τὰς ςρατείας, ὡς φησὶ Κριτίας. τὰ γὰρ ἀναγκαίως πινόμενα τῶν ὑδάτων καὶ δυσωπῦντα τὴν ὄψιν, ἀπεκρύπτετο τῇ χρόᾳ [3], καὶ τῦ θολερῦ προσκόπτοντος ἐντὸς καὶ προσιςχομένυ [4] τοῖς ἄμβωσι, καθαρώτερον ἐπλησίαζε τῷ ςόματι τὸ πινόμενον. αἴτιος δὲ καὶ τύτων ὁ νομοθέτης· ἀπηλλαγμένοι γὰρ οἱ δημιυργοὶ τῶν ἀχρήςων, ἐν τοῖς ἀναγκαίοις ἐπεδείκνυντο τὴν καλλιτεχνίαν.

X. Ἔτι δὲ μᾶλλον ἐπιθέσθαι τῇ τρυφῇ καὶ τὸν ζῆλον ἀφελέσθαι τῦ πλύτυ διανοηθεὶς, καὶ τὸ τρίτον πολίτευμα καὶ κάλλιςον ἐπῆγε, τὴν τῶν συσσιτίων κατασκευὴν, ὥςε δειπνεῖν μετ' ἀλλήλων συνιόντας, ἐπὶ κοινοῖς

1 V. φορτικὸς; hinc Br. mavult φορτηγὸς, navis oneraria, cum qua voce legendum quoque esset ἐμπορικὴ; at contra necessitatem.

2 Ex emend. R. pro vulg. ἐγκατῳκοδομυμένης, quod nihili est; aut ἐγκατοικοδ. in præsenti; aut ἐγκατῳκ. in perf. leg.

3 R. mavult hanc vocum collocationem: δυσωπ. τῇ χρόᾳ ἀπεκρύπτετο τὴν ὄψιν, colore suo terrentia tædiumque creantia occultabant adspectum sui; aut sic legi δυσωπ. τῇ ὄψει (i. e. τῇ προσόψει) ἀπεκρ. τὴν χρόαν, adspectu suo terrentia celabant colorem suum.

4 Ita H. Steph. pro vulg. προϊςχομ.

κοινοῖς καὶ τεταγμένοις ὄψοις καὶ σιτίοις, οἴκοι δὲ [1] μὴ διαιτᾶσθαι, ἢ ϛρωμνὰς [2] πολυτελεῖς καὶ τραπέζας, ἐν χερσὶ δημιουργῶν καὶ μαγείρων, ὑπὸ σκότος [3], ὥσπερ ἀδηφάγα [4] ζῶα, πιαινομένους, καὶ διαφθείροντας ἅμα τοῖς ἤθεσι τὰ σώματα [5], πρὸς πᾶσαν ἐπιθυμίαν ἀνειμένα καὶ πλησμονὴν, μακρῶν μὲν ὕπνων, θερμῶν δὲ λουτρῶν, πολλῆς δὲ ἡσυχίας, καὶ τρόπον τινὰ νοσηλείας καθημερινῆς δεομένην [6]. μέγα μὲν οὖν καὶ τοῦτο ἦν, μεῖζον δὲ τὸ τὸν πλοῦτον [ἄσυλον [7], μᾶλλον δ'] ἄζηλον, ὥς φησι Θεόφραϛος, καὶ ἄπλουτον ἀπεργάσασθαι τῇ κοινότητι τῶν δείπνων, καὶ τῇ περὶ τὴν δίαιταν εὐτελείᾳ. χρῆσις γὰρ οὐκ ἦν, οὐδ' ἀπόλαυσις, οὐδ' ὄψις ὅλως ἢ ἐπίδειξις τῆς πολλῆς παρασκευῆς, ἐπὶ ταυτὸ δεῖπνον τῷ πένητι τοῦ πλουσίου βαδίζοντος· ὥϛε δὴ τοῦτο τὸ θρυλλούμενον [8] ἐν μόνῃ τῶν ὑπὸ τὸν ἥλιον πόλεων τῇ Σπάρτῃ σώζεσθαι, τυφλὸν ὄντα τὸν πλοῦτον, καὶ κείμενον, ὥσπερ γραφὴν, ἄψυχον καὶ ἀκίνητον." οὐδὲ γὰρ οἴκοι προδειπνήσαντας ἐξῆν βαδίζειν ἐπὶ τὰ συσσίτια πεπληρωμένους, ἀλλ' ἐπιμελῶς οἱ λοιποὶ παραφυλάττοντες τὸν μὴ πίνοντα, μηδ' ἐσθίοντα μετ' αὐτῶν, ἐκάκιζον, ὡς ἀκρατῆ καὶ πρὸς τὴν κοινὴν ἀπομαλακιζόμενον δίαιταν.

XI.

1 Partic. δὲ omisit Junt. — item in lect. var. Ed. Francf. sine codicis nomine. — Ald. dedit.

2 Post ἢ Reiskio videtur deesse θαυμάζειν. Br. voluit ἢ ἐπὶ ϛρωμνάς.

3 R. mavult ὑπὸ σκότους.

4 V. ἀδδήφαγα, vel ἀδηφαγία.

5 R. mavult καὶ τὰ σώμ.

6 Ita dedit R. pro vulg. δεομένων, in relat. ad πλησμονήν. Br. voluit δεόμενα, ref. ad σώματα; quod leg. in V. & Anon.

7 Verba, secundum Br. expungenda, uti in Cod. SG. desunt, cum nullibi in frequenti hujus sententiæ citatione πλοῦτος dicatur ἄσυλος.

8 SG. τοῦτο δὴ τὸ θρυλλούμενον; Id. antea pro ἐπὶ ταυτὸ hab. ἐπὶ τὸ αὐτό.

XI. Διὸ καὶ μάλιςά φασι τῷ Λυκέργῳ πρὸς τῦτο τὸ πολίτευμα χαλεπῶς [1] γενέϑαι τὺς εὐπόρυς, καὶ συςάντας ἐπ' αὐτὸν ἀϑρόυς καταβοᾶν καὶ ἀγανακτεῖν, τέλος δὲ βαλλόμενος ὑπὸ πολλῶν, ἐξέπεσε τῆς ἀγορᾶς δρόμῳ. καὶ τὺς μὲν ἄλλυς ἔφϑασεν εἰς ἱερὸν καταφυγών· εἷς δέ τις νεανίσκος, ἄλλως μὲν ὐκ ἀφυὴς, ὀξὺς δὲ καὶ ϑυμοειδὴς, Ἄλκανδρος, ἐπικείμενος καὶ διώκων, ἐπιςραφέντος αὐτῦ τῇ βακτηρίᾳ πατάξας τὸν ὀφϑαλμὸν ἐξέκοψεν [2]. ὁ μὲν ὖν Λυκῦργος, ὐδὲν ἐνδὺς πρὸς τὸ πάϑος, ἀλλὰ σὰς ἐναντίος, ἔδειξε τοῖς πολίταις τὸ πρόσωπον ἡμαγμένον, καὶ διεφϑαρμένην τὴν ὄψιν. αἰδὼς δὲ πολλὴ καὶ κατήφεια τὺς ἰδόντας ἔσχεν, ὥςε παραδῦναι τὸν Ἄλκανδρον αὐτῷ, καὶ προπέμψαι μέχρι τῆς οἰκίας συναγανακτῦντας. ὁ δὲ Λυκῦργος ἐκείνυς μὲν ἐπαινέσας ἀφῆκε, τὸν δ' Ἄλκανδρον εἰσαγαγὼν οἴκαδε, κακὸν μὲν ὐδὲν ὖτ' ἐποίησεν [3], ὖτ' εἶπεν, ἀπαλλάξας δὲ τὺς συνήϑεις [καὶ] ϑεραπευτῆρας [ὑπηρέτας [4],] ἐκεῖνον ἐκέλευσεν ὑπηρετεῖν. ὁ δ', ὐκ ὢν ἀγεννὴς, ἐποίει τὸ προστασσόμενον σιωπῇ, καὶ παραμένων ἅμα τῷ Λυκέργῳ καὶ συνδιαιτώμενος, ἐν τῷ κατανοεῖν τὴν πρᾳότητα καὶ τὸ βάϑος [5] αὐτῦ τῆς ψυχῆς, καὶ τὸ περὶ τὴν δίαιταν αὐςηρὸν, καὶ τὸ πρὸς τὺς πόνυς ἄκαμπτον, αὐτός τε δεινῶς διετέϑη περὶ [6] τὸν

1 Br. mavult cum V. & Anon. χαλεπῦς. R. reliquit lect. vulg. ex dubitatione, num Plut. potius compositum παραγενέϑαι dedisset.

2 Ita H. Steph. pro vulg. ἀπέκοψεν; Consent. V. & usus loquendi in Plut. & aliis compluribus probandus.

3 Ita SG. — Vulg. ὖτε. Hoc prius autem deest Juntinæ & Aldinæ.

4 Hunc locum SG. ita exhibet τὺς συνήϑεις ὑπηρέτας καὶ ϑεραπευτῆρας. In lect. vulg. ὑπηρ. tanquam glossema prioris vocis Br. delendum censet.

5 R. de suo dedit pro vulg. πάϑος.

6 R. mavult πρός.

τὸν ἄνδρα, καὶ πρὸς τὰς συνήθεις καὶ φίλους ἔλεγεν, ὡς οὐ σκληρὸς, οὐδ' αὐθάδης ὁ Λυκοῦργος, ἀλλὰ μόνος ἐκεῖνος [1] ἥμερος καὶ πρᾶός ἐστι τοῖς ἄλλοις. οὕτω μὲν οὖν οὗτος ἐκεκόλαστο, καὶ τοιαύτην ὑπεσχήκει [2] δίκην, ἐκ πονηροῦ νέου [3] καὶ αὐθάδους ἐμμελέστατος ἀνὴρ καὶ σωφρονικώτατος γενόμενος. τοῦ δὲ [4] πάθους ὑπόμνημα Λυκοῦργος ἱδρύσατο, τῆς Ἀθηνᾶς ἱερὸν, ἣν Ὀπτιλέτιν προσηγόρευσε· τοὺς γὰρ ὀφθαλμοὺς ὄπτιλους οἱ τῇδε Δωριεῖς καλοῦσιν. ἔνιοι μέντοι τὸν Λυκοῦργον, ὧν καὶ Διοσκορίδης ἐστὶν ὁ συντεταγμένος τὴν Λακωνικὴν πολιτείαν, πληγῆναι μέν φασιν, οὐ τυφλωθῆναι δὲ τὸν ὀφθαλμόν· ἀλλὰ καὶ τὸ ἱερὸν τῇ Θεῷ τῆς ἀκέσεως [5] χαριστήριον ἱδρύσασθαι. τὸ μέντοι φέρειν βακτηρίαν ἐκκλησιάζοντες οἱ Σπαρτιάται μετὰ τὴν συμφορὰν ἐκείνην ἀπέμαθον.

XII. Τὰ δὲ συσσίτια, Κρῆτες μὲν ἄνδρια, οἱ [6] Λακεδαιμόνιοι δὲ φιδίτια προσαγορεύουσιν, εἴτε ὡς φιλίας καὶ φιλοφροσύνης ὑπαρχόντων, ἀντὶ τοῦ λ τὸ δ λαμβάνοντες· εἴτε ὡς πρὸς εὐτέλειαν καὶ φειδὼ συνεθιζόντων. οὐδὲν δὲ κωλύει καὶ τὸν πρῶτον ἔξωθεν ἐπικεῖσθαι φθόγγον, ὥσπερ ἔνιοί φασιν, ἐδιτίων παρὰ τὴν δίαιταν καὶ τὴν ἐδωδὴν λεγομένων. συνήρχοντο δ' ἀνὰ πεντεκαίδεκα, καὶ βραχὺ τούτων ἐλάττους, ἢ πλείους. ἔφερε δὲ ἕκαστος κατὰ μῆνα τῶν συσσίτων [7] ἀλφίτων μέδιμνον, οἴνου χόας ὀκτὼ, τυροῦ πέντε μνᾶς, σύκων ἡμι-

1 deest SG. & Juntinæ. Prima dedit Ald.
2 Ita SG. — Vulg. ὑπέσχηκε.
3 Flor. hab. δὴ νέου, quod Br. placuit; recte omisit δὴ Ald. secundum R.
4 V. τοῦ δή.
5 V. ἀσκήσεως. Id. paulo post ἀπέθανον pro ἀπέμαθον.
6 deest SG. Ibid. pro mox seq. λαμβάνοντες, leg. προσλαμβάνοντες; pro βραχὺ, βραχεῖ.
7 Ita V. & Anon. Vulg. συσσιτίων.

ἡμίμνεα [1] πέντε· πρὸς δὲ τούτοις εἰς ὀψωνίαν μικρόν τι κομιδῇ νομίσματος. ἄλλως δὲ καὶ θύσας τις ἀπαρχὴν, καὶ θηρεύσας, μέρος ἔπεμψεν [2] εἰς τὸ συσσίτιον. ἐξῆν γὰρ οἴκοι δειπνεῖν, ὁπότε θύσας τις ἢ κυνηγῶν [3] ἐψήσειε [4], τοὺς δ' ἄλλους ἔδει παρεῖναι. καὶ μέχρι γε πολλοῦ τὰς συσσιτήσεις [5] ἀκριβῶς διεφύλαττον. Ἄγιδος γοῦν [6] τοῦ βασιλέως, ὡς ἐπανῆλθεν ἀπὸ τῆς στρατείας καταπεπολεμηκὼς Ἀθηναίους, βουλομένου παρὰ τῇ γυναικὶ δειπνεῖν, καὶ μεταπεμπομένου τὰς μερίδας, οὐκ ἔπεμψαν οἱ πολέμαρχοι. τοῦ δὲ μεθ' ἡμέραν ὑπ' ὀργῆς [7] μὴ θύσαντος, ἣν ἔδει, θυσίαν, ἐζημίωσαν αὐτόν. εἰς δὲ τὰ συσσίτια καὶ παῖδες ἐφοίτων, ὥσπερ εἰς διδασκαλεῖα σωφροσύνης ἀγόμενοι, καὶ λόγων ἠκροῶντο πολιτικῶν, καὶ παιδευτὰς ἐλευθερίους [8] ἑώρων, αὐτοί τε παίζειν εἰθίζοντο [9] καὶ σκώπτειν ἄνευ βωμολοχίας, καὶ σκωπτόμενοι μὴ δυσχεραίνειν. σφόδρα γὰρ ἐδόκει καὶ τοῦτο Λακωνικὸν εἶναι, σκώμματος ἀνέχεσθαι· μὴ φέροντα δ' ἐξῆν παραιτεῖσθαι, καὶ ὁ σκώπτων πέπαυτο [10]. τῶν δ' εἰσιόντων ἑκάστῳ δείξας ὁ πρεσβύτατος τὰς θύρας, Διὰ τούτων, φησὶν, ἔξω λόγος οὐκ ἐκπορεύε-

1 Anon. ἡμίμναια.

2 H. Steph. maluit ἔπεμπεν, in relat. ad præced. ἔφερε.

3 R. vult κυνηγήσας.

4 V. ὀψήσειε; quod etiam Junt. — SG. ὀψίσειεν. Ita vertunt Lapus & Amiotus per *retardatum*, quos *Kind* est secutus.

5 SG. σιτήσεις.

6 Br. vult οὖν, ut in Apoph. Lac.

7 V. ὀργὴν.

8 In quodam cod. secundum H. Steph. ἐλευθερίας Quis tamen probet versionem *Kindii* — *freiwillige Lehrer*, quos oppositos vult coactis aut mercede conductis, de quibus Plut. infra cap. 16. — Nec in versione Schirachi — vorzügliche Lehrer — mens Plutarchi mihi expressa videtur.

9 Ita hab. Anon. In vulg. est εἴθιζον.

10 V. Anon. πέπαυται, vel ἐπέπαυτο.

πορεύεται. δοκιμάζεσθαι δὲ τὸν βȣλόμενον τȣ̃ συσσιτίȣ μεταχεῖν, ȣ̈τω φασί [1]. λαβὼν τῶν συσσίτων [2] ἕκαςος ἀπομαγδαλίαν εἰς τὴν χεῖρα, τȣ̃ διακόνȣ φέροντος ἀγγεῖον ἐπὶ τῆς κεφαλῆς, ἔβαλλε [3] σιωπῇ καθάπερ ψῆφον· ὁ μὲν δοκιμάζων ἁπλῶς, ὁ δ' ἐκκρίνων [4] σφόδρα τῇ χειρὶ πιέσας. ἡ γὰρ πεπιεσμένη τῆς τετρημένης [5] ἔχει δύναμιν. κἂν μίαν εὕρωσι τοιαύτην, ȣ̓ προσδέχονται τὸν ἐπεισιόντα, βȣλόμενοι πάντας ἡδομένȣς ἀλλήλοις συνεῖναι [6] τὸν δὲ ȣ̈τως ἀποδοκιμασθέντα κεκαδδεῖσθαι λέγȣσι· κάδδος [7] γὰρ καλεῖται τὸ ἀγγεῖον, εἰς ὃ τὰς ἀπομαγδαλίας ἐμβάλλȣσι. τῶν δ' ὄψων εὐδοκίμει μάλιςα παρ' αὐτοῖς ὁ μέλας ζωμὸς, ὥςε μηδὲ [8] κρεαδίȣ δεῖσθαι τȣ̀ς πρεσβυτέρȣς, ἀλλὰ παραχωρεῖν τοῖς νεανίσκοις, αὐτȣ̀ς δὲ τȣ̃ ζωμȣ̃ κάρτα δεομένȣς [9] ἑςιᾶσθαι. λέγεται δέ τινα τῶν Ποντικῶν [10] βασιλέων, ἕνεκα τȣ̃ ζωμȣ̃ καὶ πρίασθαι Λακωνικὸν μάγειρον· εἶτα γευσά-

1 Sic prima dedit Aldina. Vulg. φησὶ, quod dederat Junt, refer. ad Dioscoridem, supra commemoratum.

2 SG. συσσιτίων.

3 Ita SG. Vulgo ἔβαλε.

4 Ex emend. R. pro vulg. ὁ δὲ κρίνων.

5 SG. τὴν τῆς τετρημ.

6 Ita Anon. Vulg. συνεῖναι.

7 Pro hac voce dant V. Flor. Lapus, Cod. SG. κάδδιχος, aut κάδιχος. Hinc in præced. legendum putat Br. κεκαδδιχίσθαι, vel ἐκκεκαδδιχίσθαι. Junt. hab. κεκαδδῆσθαι. H. Steph. susp. κεκαδδίσθαι.

8 Ita dedit R. de suo pro vulg. μήτε.

9 Ita emendavit textum R. — *admodum, impense cupientes.* V. SG. Junt. dant καταχεομένȣς. Ald. prima dedit κατατετυγμένȣς, quam lectionem reliquæ edd. secutæ sunt. Si ita legendum, R. videtur efficiendum κατατεταμένȣς, a v. τείνω, i. e. μετὰ κατατάσεως καὶ σπȣδῆς.

10 Cum hoc a Dionysio tyranno factum Cicero referat, nec non alibi Plutarchus; *Xylander* vocem ποντικῶν vitiosam existimat.

γευσάμενον, δυσχερᾶναι· καὶ τὸν μάγειρον εἰπεῖν· Ὦ βασιλεῦ, τοῦτον δεῖ [1] τὸν ζωμὸν ἐν τῷ Εὐρώτᾳ λελουμένους ἐποψᾶσθαι. πιόντες δὲ μετρίως, ἀπίασι δίχα λαμπάδος. οὐ γὰρ ἔξεστι πρὸς φῶς βαδίζειν, οὔτε ταύτην, οὔτ' ἄλλην ὁδὸν, ὅπως ἐθίζωνται σκότους καὶ νυκτὸς εὐθαρσῶς καὶ ἀδεῶς ὁδεύειν. τὰ μὲν οὖν συσσίτια τοιαύτην ἔχει [2] τάξιν.

XIII. Νόμους δὲ γεγραμμένους ὁ Λυκοῦργος οὐκ ἔθηκεν, ἀλλὰ μία τῶν καλουμένων ῥητρῶν ἐστιν αὕτη [3]. τὰ μὲν οὖν κυριώτατα καὶ μέγιστα πρὸς εὐδαιμονίαν πόλεως καὶ ἀρετὴν, ἐν τοῖς ἤθεσιν ᾤετο καὶ ταῖς ἀγωγαῖς τῶν πολιτῶν ἐγκατεστοιχειωμένα [4] μένειν ἀκίνητα, καὶ βέβαια [5], ἔχοντα τὴν προαίρεσιν δεσμὸν ἰσχυρότερον [6] τῆς ἀνάγκης, ἣν ἡ παίδευσις ἐμποιεῖ τοῖς νέοις [7], νομοθέτου διάθεσιν ἀπεργαζομένη περὶ ἕκαστον αὐτῶν. τὰ δὲ μικρὰ καὶ χρηματικὰ [8] συμβόλαια, καὶ συμμεταπίπτοντα ταῖς χρείαις ἄλλοτε ἄλλως, βέλτιον ἦν μὴ καταλαμβάνειν ἐγγράφοις ἀνάγκαις, μηδ' ἀκινήτοις ἔθεσιν, ἀλλ' ἐᾷν ἐπὶ τῶν καιρῶν προσθέσεις λαμβάνοντα καὶ ἀφαιρέσεις, ἃς ἂν οἱ πεπαιδευμένοι δοκιμάσωσι. τὸ γὰρ [9] ὅλον καὶ πάσης νομοθεσίας ἔργον εἰς τὴν παιδείαν ἀνῆψε. μία μὲν οὖν τῶν ῥητρῶν ἦν, ὥσπερ εἴρηται,

1 SG. Junt. Ald. τοῦτον δή.

2 R. mavult εἶχε.

3 deesse νόμοις ἐγγράφοις μὴ χρῆσθαι, docent insequentia. Pro seq. οὖν leg. erit γάρ. R.

4 SG. ἐγκαταστοιχ.

5 Ex emend. R. pro vulg. βεβαίαν.

6 Ita V. Anon. & SG. — Vulg. ἰσχυρότατον.

7 Vulg. lect. quam R. emendat, ita se habet: καὶ ἣν παίδευσις ἐποιεῖτο τοῖς νέοις νομοθέτου διάθεσιν. — Anon. dat ἡ παίδευσις ἐμποιεῖ τοῖς νέοις διάθεσιν, νομοθέτου δίκην.

8 R. susp. χρηματιστικά; Idem pro vulg. μεταπίπτοντα dedit συμμεταπ.

9 V. τὸ δὲ. γὰρ deest etiam Juntinae.

ρηται, μὴ χρῆσθαι νόμοις ἐγγράφοις· Ἑτέρα δὲ πάλιν κατὰ τῆς πολυτελείας, ὅπως οἰκία πᾶσα τὴν μὲν ὀροφὴν ἀπὸ πελέκεως [1] εἰργασμένην ἔχῃ, τὰς δὲ θύρας ἀπὸ πρίονος μόνυ, καὶ μηδενὸς τῶν ἄλλων ἐργαλείων. ὅπερ γὰρ ὕϛερον Ἐπαμινώνδαν εἰπεῖν λέγυσιν ἐπὶ τῆς ἑαυτῦ τραπέζης, ὡς τὸ τοιῦτον ἄριϛον ἐ χωρεῖ προδοσίαν, τῦτο πρῶτον [2] ἐνόησε Λυκῦργος, ὡς οἰκία τοιαύτη τρυφὴν ἐ χωρεῖ καὶ πολυτέλειαν [3]. ἐδ' ἔϛιν ἐδεὶς ἔτως [4] ἀπειρόκαλος καὶ ἀνόητος, ὥς' εἰς οἰκίαν ἀφελῆ καὶ δημοτικὴν εἰσφέρειν κλίνας ἀργυρόποδας, καὶ ϛρωμνὰς ἁλυργεῖς, καὶ χρυσᾶς [5] κύλικας, καὶ τὴν τέτοις ἑπομένην πολυτέλειαν. ἀλλ' ἀνάγκη συναρμόζεσθαι καὶ συνεξομοιῦσθαι [6] τῇ μὲν οἰκίᾳ τὴν κλίνην, τῇ δὲ κλίνῃ τὴν ἐσθῆτα, ταύτῃ δὲ τὴν ἄλλην χορηγίαν καὶ κατασκευήν. ἐκ δὲ ταύτης τῆς συνηθείας φασὶ καὶ Λεωτυχίδην τὸν πρεσβύτερον ἐν Κορίνθῳ δειπνῦντα, καὶ θεασάμενον τῆς ϛέγης τῦ οἴκυ τὴν κατασκευὴν πολυτελῆ καὶ φατνωματικήν, ἐρωτῆσαι τὸν ξένον, εἰ τετράγωνα παρ' αὐτοῖς τὰ ξύλα φύεται. Τρίτην δὲ ῥήτραν διαμνημονεύυσι [7] τῦ Λυκύργυ, τὴν κωλύυσαν ἐπὶ τὺς αὐτὺς πολεμίυς [8] ϛρατεύειν, ἵνα μὴ πολλάκις ἀμύ-

1 Anon. h. l. dat πρίονος; in seq. autem pro hac voce πελέκεως.

2 H. Steph. reponi voluit ex vet. cod. πρῶτος. Videtur autem R. ob præmissum ὕϛερον retineri posse, adverbial. *primum, ante omnes alios.*

3 V. τρυφῆς ἐ χωρεῖν πολυτέλειαν.

4 abest a Juntina: sed habet Ald.

5 R. mavult χρυσᾶς, ob κύλιξ masc. gen.

6 Ita Anon. — Vulg. συνεξομοιῦν. — Præcedens συναρμοζ. dedit R. pro vulg. ἀνάγκη ἴσην ἁρμόζ.

7 V. διαμνημονεῦσαι.

8 V. πολέμυς. R. voces textus ita locandas susp. πολεμίυς ϛρατεύειν, ἵνα μὴ ἀμύν. συνεθ.

αμύνεσθαι συνεθιζόμενοι, πολεμικοὶ γένωνται. καὶ τοῦτό γε μάλιϛα κατηγοροῦσιν Ἀγησιλάου τοῦ βασιλέως ὕϛερον, ὡς ταῖς συνεχέσι καὶ πυκναῖς εἰς τὴν Βοιωτίαν ἐμβολαῖς [1] καὶ ϛρατείαις τοὺς Θηβαίους ἀντιπάλους τοῖς Λακεδαιμονίοις κατασκευάσαντος. διὸ καὶ τετρωμένον αὐτὸν ἰδὼν Ἀνταλκίδας· Καλὰ [2], ἔφη, τὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς, μηδ' εἰδότας, μάχεσθαι διδάξας. τὰ μὲν οὖν τοιαῦτα νομοθετήματα ῥήτρας ὠνόμασεν, ὡς παρὰ τοῦ Θεοῦ νομιζόμενα καὶ χρησμοὺς ὄντα.

XIV. Τῆς δὲ παιδείας, ἣν μέγιϛον ἡγεῖτο τοῦ νομοθέτου καὶ κάλλιϛον ἔργον εἶναι, πόῤῥωθεν ἀρχόμενος, εὐθὺς ἐπεσκόπει τὰ περὶ τοὺς γάμους καὶ τὰς γενέσεις. οὐ γὰρ, ὡς Ἀριϛοτέλης φησὶν, ἐπιχειρήσας σωφρονίζειν τὰς γυναῖκας, ἐπαύσατο, μὴ κρατῶν τῆς πολλῆς ἀνέσεως καὶ γυναικοκρατείας, διὰ τὰς πολλὰς ϛρατείας τῶν ἀνδρῶν, ἐν αἷς ἠναγκάζοντο κυρίας [3] ἀπολιπεῖν ἐκείνας, καὶ διὰ τοῦτο μᾶλλον τοῦ προσήκοντος αὐτὰς ἐθεράπευον, καὶ δεσποίνας προσηγόρευον· ἀλλὰ καὶ τούτων τὴν ἐνδεχομένην ἐπιμέλειαν ἐποιήσατο. τὰ μέντοι [4] σώματα τῶν παρθένων δρόμοις καὶ πάλαις καὶ βολαῖς δίσκων καὶ ἀκοντίων διεπόνησεν, ὡς ἥ τε τῶν γεννωμένων [5] ῥίζωσις ἰσχυρὰν ἐν ἰσχυροῖς σώμασιν ἀρχὴν λαβοῦσα βλαϛάνοι [6] βέλτιον, αὐταί τε μετὰ ῥώμης τοὺς τόκους ὑπομένουσαι, καλῶς ἅμα καὶ ῥᾳδίως ἀγωνίζοιντο πρὸς τὰς ὠδῖνας. ἀφελὼν δὲ θρύψιν καὶ σκιατροφίαν καὶ θηλύτητα πᾶσαν, οὐδὲν ἧττον εἴθισε τῶν κόρων [7] τὰς

1 V. συμβολαῖς.
2 R. susp. καλά γ' ἔφη. V. κακῶς.
3 V. κυρίως.
4 SG. μέν γε.
5 Br. dedit pro vulg. γενομένων, ex Apophth. Lacon. — SG. Junt. & Ald. dant γινομένων.
6 SG. βλαϛάνει. Br. voluit βλαϛάνῃ.
7 V. κολύρων.

τὰς κόρας γυμνάς τε πολιτεύειν [1], καὶ πρὸς ἱεροῖς τισιν ὀρχεῖσθαι καὶ ᾄδειν, τῶν νέων παρόντων καὶ θεωμένων [2]. ἔστι δὲ ὅτε καὶ σκώμματα λέγουσαι πρὸς ἕκαστον εὐχρήστως ἐπελαμβάνοντο τῶν ἁμαρτανομένων· καὶ πάλιν εἰς τοὺς ἀξίους αὐτῶν ἐγκώμια μετ' ᾠδῆς πεποιημένα διεξιοῦσαι, φιλοτιμίαν πολλὴν καὶ ζῆλον ἐνεποίουν τοῖς νεανίσκοις. ὁ γὰρ ἐγκωμιασθεὶς ἐπ' ἀνδραγαθίαις [3] καὶ κλεινὸς ἐν ταῖς παρθένοις γεγονὼς ἀπῄει μεγαλυνόμενος ὑπὸ τῶν ἐπαίνων· αἱ δὲ μετὰ παιδιᾶς καὶ σκωμμάτων δήξεις οὐδὲν ἀμβλύτεραι τῶν μετὰ σπουδῆς νουθετημάτων ἦσαν· ἅτε δὴ πρὸς τὴν θέαν, ὁμοῦ τοῖς ἄλλοις πολίταις, καὶ τῶν βασιλέων καὶ τῶν γερόντων συμπορευομένων. ἡ δὲ γύμνωσις τῶν παρθένων οὐδὲν αἰσχρὸν εἶχεν, αἰδοῦς μὲν παρούσης, ἀκρασίας δ' ἀπούσης· ἀλλ' ἐθισμὸν ἀφελῆ καὶ ζῆλον εὐεξίας ἐνειργάζετο, καὶ φρονήματος τὸ θῆλυ παρέγευεν οὐκ ἀγεννοῦς, ὡς μηδὲν ἧττον αὐτῷ καὶ ἀρετῆς καὶ φιλοτιμίας μετουσίαν οὖσαν [4]. ὅθεν αὐταῖς καὶ λέγειν ἐπῄει καὶ φρονεῖν, οἷα καὶ περὶ Γοργοῦς ἱστόρηται τῆς Λεωνίδου γυναικός. εἰπούσης γάρ τινος, ὡς ἔοικε, ξένης πρὸς αὐτὴν, ὡς μόναι τῶν ἀνδρῶν ἄρχετε ὑμεῖς αἱ Λάκαιναι· Μόναι γὰρ, ἔφη, τίκτομεν ἄνδρας.

XV. Ἦν μὲν οὖν καὶ ταῦτα παρορμητικὰ πρὸς γάμον· λέγω δὲ τὰς πομπὰς τῶν παρθένων, καὶ τὰς ἀποδύσεις, καὶ τοὺς ἀγῶνας ἐν ὄψει τῶν νέων, ἀγομένων οὐ γεωμετρικαῖς, ἀλλ' ἐρωτικαῖς, ὥς φησιν ὁ Πλάτων, ἀνάγκαις· οὐ μὴν ἀλλὰ καὶ ἀτιμίαν τινὰ προσέθηκε τοῖς ἀγάμοις. εἴργοντο γὰρ ἐν ταῖς γυμνοπαιδίαις



1 Dacer. ex Ms. & Anon. legunt πυκτεύειν; Salvinius ex Florent. cod. παλαίειν; Br. & R. πομπεύειν.

2 V. δεομένων.

3 SG. & Junt. ἀνδραγαθίᾳ.

4 V. εἶναι.

τῆς θέας. τοῦ δὲ χειμῶνος οἱ μὲν ἄρχοντες αὐτοὺς ἐκέλευον ἐν κύκλῳ γυμνοὺς περιϊέναι [1] τὴν ἀγορὰν, οἱ δὲ περιϊόντες ᾖδον εἰς αὐτοὺς ᾠδήν τινα πεποιημένην, ὡς δίκαια πάσχοιεν, ὅτι τοῖς νόμοις ἀπειθοῦσι. τιμῆς δὲ καὶ θεραπείαις, ἣν νέοι πρεσβυτέροις παρεῖχον, ἐστέροντο. ὅθεν καὶ τὸ πρὸς Δερκυλλίδαν ῥηθὲν οὐδεὶς ἐμέμψατο, καίπερ εὐδόκιμον ὄντα στρατηγόν. ἐπιόντι γὰρ τῶν νεωτέρων τις τῆς ἕδρας οὐχ ὑπεῖξεν αὐτῷ [2], εἰπών· Οὐδὲ γὰρ ἐμοὶ σὺ τὸν ὑπείξοντα [3] γεγέννηκας. ἐγάμουν δὲ δι' ἁρπαγῆς, οὐ μικρὰς, οὐδ' ἀώρους πρὸς γάμον, ἀλλὰ καὶ ἀκμαζούσας καὶ πεπείρους. τὴν δ' ἁρπαθεῖσαν ἡ νυμφεύτρια καλουμένη παραλαβοῦσα, τὴν μὲν κεφαλὴν ἐν χρῷ περιέκειρεν, ἱματίῳ δ' ἀνδρείῳ καὶ ὑποδήμασιν ἐνσκευάσασα, κατέκλινεν ἐπὶ στιβάδα [4] μόνην ἄνευ φωτός. ὁ δὲ νυμφίος, οὐ μεθύων, οὐδὲ θρυπτόμενος, ἀλλὰ νήφων, ὥσπερ ἀεὶ, δεδειπνηκὼς [5] ἐν τοῖς φιδιτίοις, παρεισελθὼν ἔλυε τὴν ζώνην, καὶ μετήνεγκεν ἀράμενος ἐπὶ τὴν κλίνην. συνδιατρίψας δὲ χρόνον οὐ πολὺν, ἀπῄει κοσμίως, ὅπερ εἰώθει τὸ πρότερον, καθευδήσων μετὰ τῶν ἄλλων νέων· καὶ τὸ λοιπὸν οὕτως ἔπραττε, τοῖς μὲν ἡλικιώταις συνδιημερεύων καὶ συναναπαυόμενος, πρὸς δὲ τὴν νύμφην μετ' εὐλαβείας

1 R. vult περιστῆναι; οἱ δὲ sunt maritati.

2 In Vulg. bis legitur, post ἐπιόντι, & post ὑπεῖξεν. Prius omisit R. posterius delendum censuit Br. — R. addidit articul. τῆς ἕδρ.

3 SG. Junt. & Ald. ὑπείξαντα.

4 H. Steph. vult στιβάδος.

5 Lectio vulg. conjungit ὥσπερ ἀεὶ δεδειπν. sine ulla distinctione. Hinc Br. legendum censet ἄρτι δεδειπν. *modo cœnatus*. Eum sequitur *Schirach* vertendo: sondern so wie er eben von der gemeinschaftlichen Speisung zurükkam. R. per distinctionem rem expedit: ὥσπερ ἀεὶ sc. νήφειν εἰώθει, δεδειπνηκὼς, i. e. ἀπὸ τοῦ ἐν φειδ. δείπνου, vel μετὰ τὸ ἐκεῖ δειπν. — SG. hab. δεδειπνικώς.

βείας [1] φοιτῶν, αἰσχυνόμενος καὶ δεδοικὼς, μή τις αἴσθοιτο τῶν ἔνδον· ἅμα καὶ τῆς νύμφης ἐπιτεχνωμένης καὶ συνευπορούσης, ὅπως ἂν ἐν καιρῷ καὶ λανθάνοντες ἀλλήλοις συμπορεύοιντο. καὶ τοῦτ' ἔπραττον οὐκ ὀλίγον χρόνον, ἀλλ' ὥστε καὶ παῖδας γενέσθαι ἐνίοις, πρὶν ἐς ἡμέραν θεάσασθαι τὰς αὐτῶν [2] γυναῖκας. ἡ δὲ τοιαύτη σύνοδος, οὐ μόνον ἐγκρατείας καὶ σωφροσύνης ἄσκησις ἦν, ἀλλὰ τοῖς [3] τε σώμασι γονίμους [4], καὶ τῷ φιλεῖν ἀεὶ καινοὺς καὶ προσφάτους ἦγεν ἐπὶ τὴν κοινωνίαν, οὐδὲ διακορεῖς, οὐδ' ἐξιτήλους ταῖς ἀνέδην [5] κοινωνίαις, ἀλλ' ἀεί τι λείψανον καὶ ὑπέκκαυμα πόθου καὶ χάριτος ἐναπολείποντας ἀλλήλοις. τοσαύτην δὲ τοῖς γάμοις ἐπιστήσας αἰδῶ καὶ τάξιν, οὐδὲν ἧττον ἐξέβαλε τὴν κενὴν [6] καὶ γυναικώδη ζηλοτυπίαν, ἐν καλῷ καταστήσας, ὕβριν μὲν καὶ αταξίαν πᾶσαν εἴργειν ἀπὸ τοῦ γάμου, παίδων τε καὶ τεκνώσεως κοινωνεῖν [7] τοῖς ἀξίοις, καταγελῶντας [8] τῶν, ὡς ἄμικτα καὶ ἀκοινώνητα, ταῦτα μετιόντων σφαγαῖς καὶ πολέμοις. ἐξῆν μὲν γὰρ ἀνδρὶ πρεσβυτέρῳ νέας γυναικὸς, εἰ δή τινα τῶν καλῶν καὶ ἀγαθῶν ἀσπάσαιτο νέων καὶ δοκιμάσειεν, εἰσαγαγεῖν παρ' αὐτὴν, καὶ πλήσαντα γενναίου σπέρματος, ἴδιον αὐτοῖς [9] ποιήσασθαι τὸ γεννηθέν. ἐξῆν δὲ

 πάλιν

1 Ante has voces additur κρύφα in SG.
2 SG. ἑαυτῶν.
3 R. mavult ἀλλὰ καὶ τοῖς.
4 V. γονίμοις; Idem paulo post καινοῖς καὶ προσφάτοις, pro καινοὺς καὶ προσφάτους.
5 Vulg. ἀναιδῆν; pro quo H. Steph. ex mente Plutarchi ἀνέδην reponendum censuit. Consentit cod. SG. ἀνέδην habens.
6 SG. καινήν.
7 Ex emend. R. pro vulg. κοινωνίαν.
8 Sic V. SG. Junt. — Vulg. dant καταγελῶν ex Ald.
9 Ita Ald. & SG. — Vulg. αὐτῆς ex Junt. — Quis tamen dubitet, Reiskio, dictionem Pl. quamcunque legas, nimis duram

πάλιν ἀνδρὶ χρηςῷ, τῶν εὐτέκνων τινὰ καὶ σωφρόνων θαυμάσαντι γυναικῶν ἑτέρῳ γεγαμημένην, πεῖσαι τὸν ἄνδρα [2] συνελθεῖν, ὥσπερ ἐν χώρᾳ καλλικάρπῳ φυτεύοντα καὶ ποιέμενον παῖδας ἀγαθὲς, ἀγαθῶν ὁμαίμες καὶ συγγενεῖς ἐσομένες. πρῶτον μὲν γὰρ ἐκ ἰδίες ἡγεῖτο τῶν πατέρων τὲς παῖδας, ἀλλὰ κοινὲς τῆς πόλεως, ὁ Λυκῆργος. ὅθεν ἐκ ἐκ τῶν τυχόντων, ἀλλ' ἐκ τῶν ἀρίςων ἐβέλετο γεγονότας εἶναι τὲς πολίτας. ἔπειτα πολλὴν ἀβελτερίαν [2] καὶ τῦφον ἐνεώρα τοῖς περὶ ταῦτα τῶν ἄλλων νομοθετήμασιν· οἳ κύνας μὲν καὶ ἵππες ὑπὸ τοῖς κρατίςοις τῶν ὀχείων βιβάζεσι [3], χάριτι πείθοντες, ἢ μισθῷ, τὲς κυρίες· τὰς δὲ γυναῖκας ἐγκλεισάμενοι φρερῆσιν, ἐξ αὐτῶν [4] μόνων τίκτειν ἀξιῆντες, κἂν ἄφρονες ὦσι, κἂν παρήλικες, κἂν νοσώδεις· ὡς ἐχὶ πρώτοις τοῖς κεκτημένοις καὶ τρέφεσι τῶν παίδων γινομένων πονηρῶν, ἐὰν ἐκ πονηρῶν γένωνται, καὶ τἐναντίον χρηςῶν, ἂν τοιαύτης τύχωσι γενέσεως. ταῦτα δὲ ἕτως πραττόμενα φυσικῶς καὶ πολιτικῶς τότε, τοσῆτον ἀπεῖχε τῆς ὕςερον λεγομένης γενέσθαι περὶ τὰς γυναῖκας εὐχερείας, ὥςε ὅλως ἄπιςον εἶναι τὸ τῆς μοιχείας παρ' αὐτοῖς. καὶ λόγος ἀπομνημονεύεται Γεράδα τινὸς Σπαρτιάτε τῶν σφόδρα παλαιῶν, ὃς ἐρωτηθεὶς ὑπὸ ξένε, τί πάσχεσιν οἱ μοιχοὶ παρ' αὐτοῖς, εἶπεν [5]. Ὦ ξένε, ἐδεὶς γίνεται μοιχὸς παρ' ἡμῖν. ἐκείνε δὲ ὑπολαβόντος, Ἐὰν δ' ἐν

ram declaranti, assentire? Sane non mirum, si lectori suspecta videtur. An conjectura R. — καὶ τὸν (i. e. τῆτον) πλήσαντα, & hunc, juvenem puta — αὐτοῖς εἰσποιήσασθαι — omnem difficultatem tollat, aliorum relinquo judicio.

1 Post h. v. videtur R. deesse ἐὰν αὐτῇ.

2 Ita SG. — Vulg. ἀβελτηρίαν.

3 V. τῶν ὀχετῶν βαδίζεσι. R. mavult verba sic structa legi: ἵππες τοῖς κρατίςοις τῶν ὀχέων ὑποβιβάζεσι.

4 Br. legit ἀνδρῶν.

5 Junt. & Ald. εἰπεῖν.

ἂν [1] γένηται; Ταῦρον, ἔφη ὁ Γεράδας, ἐκτείνει [2] μέγαν, ὃς ὑπερκύψας τὸ Ταΰγετον ἀπὸ τοῦ Εὐρώτα πίεται. θαυμάσαντος δ᾽ ἐκείνου καὶ φήσαντος· Πῶς δ᾽ ἂν γένοιτο βοῦς τηλικοῦτος; γελάσας ὁ Γεράδας. Πῶς δ᾽ ἄν, ἔφη, ἐν Σπάρτῃ μοιχὸς γένοιτο; ταῦτα μὲν οὖν ἱστόρηται περὶ τῶν γάμων.

XVI. Τὸ δὲ γεννηθὲν οὐκ ἦν κύριος ὁ γεννήσας τρέφειν, ἀλλ᾽ ἔφερε λαβὼν εἰς τόπον τινὰ λέσχην [3] καλούμενον, ἐν ᾧ καθήμενοι τῶν φυλετῶν οἱ πρεσβύτατοι, καταμαθόντες τὸ παιδάριον, εἰ μὲν εὐπαγὲς εἴη καὶ ῥωμαλέον, τρέφειν ἐκέλευον, κλῆρον αὐτῷ τῶν ἐνναικισχιλίων προσνείμαντες. εἰ δ᾽ ἀγεννὲς καὶ ἄμορφον, ἀπέπεμπον εἰς τὰς λεγομένας ἀποθέτας, παρὰ Ταΰγετον [τὸν [4]] βαραθρώδη τόπον, ὡς οὔτ᾽ αὐτῷ ζῆν ἄμεινον, οὔτε τῇ πόλει, τὸ μὴ καλῶς εὐθὺς ἐξ ἀρχῆς πρὸς εὐεξίαν καὶ ῥώμην πεφυκός. ὅθεν οὐδὲ ὕδατι τὰ βρέφη, ἀλλ᾽ οἴνῳ παριέλουον αἱ γυναῖκες, βάσανόν τινα ποιούμεναι τῆς κράσεως αὐτῶν. λέγεται γὰρ ἐξίστασθαι τὰ ἐπιληπτικὰ καὶ νοσώδη πρὸς τὸν ἄκρατον [5] ἀποσφακελίζοντα· τὰ δ᾽ ὑγιεινὰ μᾶλλον στομοῦσθαι καὶ κρατύνεσθαι τὴν ἕξιν. ἦν δὲ περὶ τὰς τροφοὺς ἐπιμέλειά τις μετὰ τέχνης, ὥστ᾽ ἄνευ σπαργάνων ἐκτρεφούσας τὰ βρέφη, τοῖς μέλεσι καὶ τοῖς εἴδεσιν ἐλευθέρια ποιεῖν, ἔτι δ᾽ εὔκολα ταῖς διαίταις, καὶ ἄσικχα, καὶ ἀθαμβῆ σκότους, καὶ πρὸς ἐρημίαν ἄφοβα, καὶ ἄπειρα δυσκολίας ἀγεννοῦς καὶ κλαυθμυρισμῶν. διὸ καὶ τῶν ἔξωθεν ἔνιοι τοῖς τέκνοις Λακωνικὰς ἐωνοῦντο τιτθάς· καὶ τήν γε τὸν Ἀθηναῖον Ἀλκιβιάδην τιτθεύσασαν Ἀμύκλαν ἱστοροῦσι



1 V. SG. ἐὰν οὖν. Vulg. ἐὰν δὲ γέν.

2 R. vult κτείνει.

3 V. λεύκην.

4 R. videtur delendum, perperam e fine nominis Ταΰγ. iteratum.

5 SG. τὸ ἄκρατον.

ρῦσι γεγονέναι Λάκαιναν. ἀλλὰ τούτῳ μὲν, ὡς Πλάτων φησὶ, Ζώπυρον ἐπέστησε παιδαγωγὸν Περικλῆς, οὐδέν τι τῶν ἄλλων διαφέροντα δούλων· τῶν δὲ Σπαρτιατῶν παῖδας οὐκ ἐπ' ὠνητοῖς, οὐδ' ἐμμισθίοις [1] ἐποιήσατο παιδαγωγοῖς ὁ Λυκοῦργος, οὐδ' ἐξῆν ἑκάστῳ τρέφειν, οὐδὲ παιδεύειν, ὡς ἐβούλετο, τὸν υἱὸν, ἀλλὰ πάντας εὐθὺς ἑπταετεῖς γενομένους παραλαμβάνων αὐτὸς, εἰς ἀγέλας κατελόχιζε, καὶ συννόμους ποιῶν καὶ συντρόφους, μετ' ἀλλήλων εἴθιζε συμπαίζειν καὶ συσχολάζειν. ἄρχοντα δ' αὐτοῖς παρίστατο [2] τῆς ἀγέλης, τὸν τῷ φρονεῖν διαφέροντα, καὶ θυμοειδέστατον ἐν τῷ μάχεσθαι· καὶ πρὸς τοῦτον ἀφεώρων, καὶ προστάττοντος ἠκροῶντο, καὶ κολάζοντος ἐκαρτέρουν, ὥστε τὴν παιδείαν εἶναι μελέτην εὐπειθείας. ἐπεσκόπουν δ' οἱ πρεσβύτεροι παίζοντας αὐτοὺς, καὶ τὰ πολλὰ μάχας τινὰς ἐμβαλόντες ἀεὶ καὶ φιλονεικίας, οὐ παρέργως κατεμάνθανον, ὁποῖός ἐστι τὴν φύσιν ἕκαστος αὐτῶν πρὸς τὸ τολμᾷν, καὶ μὴ φυγομαχεῖν ἐν ταῖς ἁμίλλαις· γράμματα μὲν οὖν ἕνεκα τῆς χρείας ἐμάνθανον· ἡ δ' ἄλλη πᾶσα παιδεία πρὸς τὸ ἄρχεσθαι καλῶς ἐγίνετο, καὶ καρτερεῖν πονοῦντα, καὶ νικᾷν μαχόμενον. δι' ὃ καὶ τῆς ἡλικίας προερχομένης ἐπέτεινον αὐτῶν τὴν ἄσκησιν, ἐν χρῷ τε κείροντες, καὶ βαδίζειν ἀνυποδήτους, παίζειν τε γυμνοὺς ὡς τὰ πολλὰ συνεθίζοντες. γενόμενοι δὲ δωδεκαετεῖς, ἄνευ χιτῶνος ἤδη διετέλουν, ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμβάνοντες, αὐχμηροὶ τὰ σώματα, καὶ λουτρῶν καὶ ἀλειμμάτων ἄπειροι· πλὴν ὀλίγας ἡμέρας τινὰς τοῦ ἐνιαυτοῦ τῆς τοιαύτης φιλανθρωπίας [3] μετεῖχον. ἐκάθευδον δ' ὁμοῦ κατ' ἴλην καὶ ἀγέλην, ἐπὶ στιβάδων, ἃς αὐτοὶ [4] συνεφόρουν, τοῦ παρὰ τὸν Εὐρώταν πεφυκότος καλά-

1 Ex emend. R. pro vulg. οὐδὲ μισθίοις.
2 Ita dedit R. pro vulg. παριστᾶτο.
3 Sola in Junt. legitur τῆς τοιαύτης φωνῆς καὶ φιλανθρ.
4 V. αὐτοῖς.

καλάμυ τὰ ἄκρα ταῖς χερσὶν ἄνευ σιδήρυ κατακλάσαντες. ἐν δὲ τῷ χειμῶνι τὺς λεγομένυς λυκόφονας [1] ὑπεβάλλοντο, καὶ κατεμίγνυσαν ταῖς ςιβάσι, θερμαντικὸν ἔχειν τι τῆς ὕλης δοκύσης.

XVII. Ἤδη δὲ τοῖς τηλικύτοις ἐραςαὶ τῶν εὐδοκίμων νέων συνανεςρέφοντο καὶ προσεῖχον οἱ πρεσβύτεροι καὶ μᾶλλον [2], ἐπιφοιτῶντες εἰς τὰ γυμνάσια, καὶ μαχομένοις καὶ σκώπτυσιν ἀλλήλυς παρατυγχάνοντες, ὐ παρέργως, ἀλλὰ τρόπον τινὰ πάντες οἰόμενοι πάντων καὶ πατέρες εἶναι καὶ παιδαγωγοὶ καὶ ἄρχοντες· ὥςε μήτε καιρὸν ἀπολείπεσθαι, μήτε χωρίον ἔρημον τῦ νυθετῦντος [3] τὸν ἁμαρτάνοντα, καὶ κολάζοντος. ὐ μὴν ἀλλὰ καὶ παιδονόμος ἐκ τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν ἐτάττετο· καὶ κατ' ἀγέλας αὐτοὶ προΐςαντο τῶν λεγομένων εἰρένων ἀεὶ τὸν σωφρονέςατον καὶ μαχιμώτατον. εἴρενας δὲ καλῦσι, τὺς ἔτος ἤδη δεύτερον ἐκ παίδων γεγονότας· μελλείρενας δὲ, τῶν παίδων τὺς πρεσβυτάτυς. ὗτος ὖν ὁ εἴρην, εἴκοσιν ἔτη γεγονὼς, ἄρχει τε τῶν ὑποτεταγμένων ἐν ταῖς μάχαις, καὶ κατ' οἶκον ὑπηρέταις χρῆται πρὸς τὸ δεῖπνον. ἐπιτάσσει δὲ τοῖς μὲν ἁδροῖς [4], ξύλα φέρειν, τοῖς δὲ μικροτέροις, λάχανα. καὶ φέρυσι κλέπτοντες, οἱ μὲν, ἐπὶ τὺς κήπυς [5] βαδίζοντες, οἱ δ' εἰς τὰ τῶν ἀνδρῶν συσσίτια παρεισρέοντες εὖ μάλα πανύργως καὶ πεφυλαγμένως· ἂν δ' ἁλῷ, πολλὰς λαμβάνει πληγὰς τῇ μάςιγι, ῥᾳθύμως δοκῶν κλέπτειν καὶ ἀτέχνως. κλέπτυσι δὲ καὶ τῶν σιτίων ὅ τι ἂν δύνωνται, μανθάνοντες εὐφυῶς ἐπιτίθεσθαι



1 Anon. λυκοφάνυς. V. λυκόφρονας. — Hesychius & Varinus λυκόφανον; In instit. Lacon. λυκοφῶνας.

2 Part. καὶ, quam hab. V. & Junt. — vulgares autem, Aldinam secutæ, omiserat, restituit R.

3 Ita legi voluit Br. pro vulg. νομοθετῦντος.

4 V. ἀνδροῖς.

5 V. κόπυς.

σθαι τοῖς καθεύδουσιν, ἢ ῥαθύμως φυλάσσουσι. τῷ δὲ ἁλόντι ζημία πληγαὶ καὶ τὸ πεινῆν [1]. γλίσχρον γὰρ αὐτοῖς ἐστι δεῖπνον, ὅπως δι' αὑτῶν [2] ἀμυνόμενοι τὴν ἔνδειαν, ἀναγκάζωνται τολμᾷν καὶ πανουργεῖν [3]. καὶ τοῦτο μὲν, ἔργον τῆς ὀλιγοσιτίας· πάρεργον δέ φασι τὴν τῶν σωμάτων αὔξησιν. φέρεται γὰρ εἰς μῆκος, ὅταν τὸ πνεῦμα μὴ πολλὴν ἔχῃ διατριβὴν καὶ ἀσχολίαν ὑπὸ πλήθους τροφῆς εἰς βάθος καὶ πλάτος πιεζόμενον, ἀλλ' ἄνω βαδίζῃ διὰ κουφότητα, τοῦ σώματος ἐκλύτως καὶ ῥαδίως ἐπιδιδόντος. τὸ δ' αὐτὸ [4] καὶ καλοὺς [5] δοκεῖ ποιεῖν· αἱ γὰρ ἰσχναὶ καὶ διάκενοι μᾶλλον ἕξεις [6] ὑπακούουσι πρὸς τὴν διάρθρωσιν· αἱ δ' ὀγκώδεις καὶ πολύτροφοι, διὰ βάρος ἀντιβαίνουσιν· ὥσπερ ἀμέλει καὶ τῶν ἐν τῷ κύειν καθαιρομένων γυναικῶν ἰσχνὰ μὲν, εὐειδῆ δὲ καὶ γλαφυρὰ γίνεται τὰ βρέφη, διὰ τὴν ἐλαφρότητα τῆς ὕλης κρατουμένης μᾶλλον ὑπὸ τοῦ τυποῦντος. ἀλλὰ γὰρ ἡ μὲν αἰτία τοῦ συμβαίνοντος ἐν μέσῳ προκείσθω σκοπεῖν.

XVIII. Οὕτω δὲ κλέπτουσι πεφροντισμένως οἱ παῖδες, ὥστε λέγεταί τις ἤδη σκύμνον ἀλώπεκος [7] κεκλοφὼς, καὶ τῷ τριβωνίῳ περιστέλλων, σπαρασσόμενος ὑπὸ τοῦ θηρίου τὴν γαστέρα τοῖς ὄνυξι καὶ τοῖς ὀδοῦσιν, ὑπὲρ τοῦ λαθεῖν ἐγκαρτερῶν ἀποθανεῖν. καὶ τοῦτο μὲν οὐδ' ἀπὸ τῶν νῦν ἐφήβων ἄπιστόν ἐστιν, ὧν πολλοὺς ἐπὶ τοῦ

βω-

1 R. fusp. legendum: πρὸς ταῖς πληγαῖς καὶ τὸ πεινῆν. In Junt. & Ald. πεινεῖν.

2 Ita Br. leg. voluit pro vulg. αὐτῶν.

3 Post h. v. R. deesse videtur: εἰσὶ δ' αὐτῶν οἱ πλεῖστοι ἰσχνοί.

4 V. τὸ δ' αὐτὸ τοῦτο.

5 Ita Anon. — vulg. καλῶς.

6 Br. mutato ordine legendum censet ἕξ. μᾶλ. ὑπακ.

7 abest à Junt. sed habet Ald.

βωμῦ τῆς Ὀρθίας [1] ἑωράκαμεν ἐναποθνήσκοντας [2] ταῖς πληγαῖς. δειπνήσας δὲ ὁ εἴρην κατακείμενος, τῷ μὲν ᾆσαι προσέταξε τῶν παίδων, τῷ δ' ἐρώτημά τι πρȣ́βαλε, πεφροντισμένης δεόμενον ἀποκρίσεως. οἷον, ὅϛις ἄριϛος ἐν τοῖς ἀνδράσιν, ἢ ποία τις ἡ τȣ̃δε πρᾶξις. ἐκ τȣ́τȣ δὲ καὶ κρίνειν τὰ καλὰ καὶ πολυπραγμονεῖν εὐθὺς ἐξ ἀρχῆς εἰθίζοντο περὶ τῶν πολιτῶν. τὸ γὰρ, ἐρωτηθέντα, τίς πολίτης ἀγαθὸς, ἢ τίς ȣ̓κ εὐδόκιμος, ἀπορεῖν τȣ̃ ἀποκρίναϑαι, νωθρᾶς ἐποιȣ̃ντο καὶ πρὸς ἀρετὴν ἀφιλοτίμȣ ψυχῆς σημεῖον. ἔδει δὲ [3] τὴν ἀπόκρισιν καὶ μετ' αἰτίας εἶναι, καὶ ἀποδείξεως εἰς βραχύν τινα συνηγμένης λόγον καὶ σύντομον· ὁ δὲ πλημμελῶς ἐπιμελόμενος [4] ἐκολάζετο, δῆγμα λαμβάνων ὑπὸ τȣ̃ εἴρενος εἰς τὸν ἀντίχειρα. πολλάκις δὲ καὶ πρεσβυτέρων παρόντων καὶ ἀρχόντων, ὁ εἴρην ἐκόλαζε τȣ̀ς παῖδας, ἀπόδειξιν διδȣ̀ς, εἰ μετὰ λόγȣ, καὶ ὡς δεῖ, κολάζει. καὶ κολάζων μὲν, ȣ̓κ ἐκωλύετο· τῶν δὲ παίδων ἀπελθόντων, εὐθύνας ὑπεῖχεν, εἰ τραχύτερον τȣ̃ δέοντος ἐπετίμησεν [5], ἢ τȣ̓ναντίον ἐκλελυμένως καὶ ἀτόνως. ἐκοινώνȣν δ' οἱ ἐραϛαὶ τοῖς παισὶ τῆς δόξης ἐπ' ἀμφότερα· καὶ λέγεταί ποτε παιδὸς ἐν τῷ μάχεϑαι φωνὴν ἀγενῆ προεμένȣ, ζημιωθῆναι τὸν ἐραϛὴν ὑπὸ τῶν ἀρχόντων. ȣ̃τω δὲ τȣ̃ ἐρᾷν ἐγκεκριμένȣ [6] παρ' αὐτοῖς, ὥϛε καὶ τῶν παρθένων ἐρᾷν τὰς καλὰς καὶ ἀγαθὰς γυναῖκας, τὸ ἀντερᾷν [7] ȣ̓κ ἦν· ἀλλὰ

1 Ita Anon. & ex omnium conſenſu legendum pro vulg. ὀρνιθείας.

2 Ita Anon. — Vulg. ἀποθνήσκ.

3 V. add. καὶ.

4 Hanc lectionem ex Junt. & Ald. revocavit R. pro conjectura H. St. ut videtur eſſe, ἀποκρινάμενος.

5 Junt. & Ald. vitioſe ἀπετίμ.

6 Sic Aldina. Junt. hab. ἐγκεχριμένȣ.

7 Ex ſenſu, quo hæc vox h. l. ſumenda eſt, R. deeſſe videtur poſt ȣ̓κ ἦν — ἔριδος καὶ ζηλοτυπίας πρόφασις.

λὰ μᾶλλον ἀρχὴν ἐποιῦντο φιλίας πρὸς ἀλλήλους οἱ τῶν αὐτῶν ἐρασθέντες, καὶ διετέλυν κοινῇ σπυδάζοντες, ὅπως ἄριστον ἀπεργάσαιντο τὸν ἐρώμενον.

XIX. Ἐδίδασκον δὲ τὰς παῖδας καὶ λόγῳ χρῆσθαι πικρίαν ἔχοντι μεμιγμένην χάριτι, καὶ πολλὴν ἀπὸ βραχείας λέξεως αναθεώρησιν. τὸ μὲν γὰρ σιδηρῦν νόμισμα μικρὰν ἔχειν ἐποίησεν ἀπὸ πολλῦ σαθμῦ δύναμιν ὁ Λυκῦργος, ὡς εἴρηται. τὸ δὲ τῦ λόγυ νόμισμα τὐναντίον, ἀπ' εὐτελῦς καὶ ὀλίγης λέξεως, εἰς πολλὴν καὶ περιττὴν κατεσκεύασε διάνοιαν, τῇ πολλῇ σιωπῇ τὰς παῖδας ἀποφθεγματικὰς καὶ πεπαιδευμένυς πρὸς τὰς ἀποκρίσεις μηχανώμενος. ὡς γὰρ τὸ σπέρμα τῶν [1] πρὸς τὰς συνυσίας ἀκολάσων ἄγονον ὡς τὰ πολλὰ καὶ ἄκαρπόν ἐστιν, ὕτως ἡ πρὸς τὸ λαλεῖν ἀκρασία κενὸν τὸν λόγον ποιεῖ καὶ ἀνόητον. Ἆγις μὲν ὖν ὁ βασιλεὺς, σκώπτοντος Ἀττικῦ τινος τὰς Λακωνικὰς μαχαίρας εἰς τὴν μικρότητα, καὶ λέγοντος, ὅτι ῥᾳδίως αὐτὰς οἱ θαυματοποιοὶ καταπίνυσιν ἐν τοῖς θεάτροις, Καὶ μὴν μόλις [2], εἶπεν, ἡμεῖς ἐφικνύμεθα τοῖς ἐγχειριδίοις τῶν πολεμίων. ἐγὼ δὲ καὶ τὸν λόγον ὁρῶ τὸν Λακωνικὸν, βραχὺν μὲν εἶναι δοκῦντα, μάλιστα δὲ τῶν πραγμάτων ἐφικνύμενον, καὶ τῆς διανοίας ἁπτόμενον τῶν ἀκροωμένων. καὶ γὰρ ὁ Λυκῦργος αὐτὸς [3] βραχυλόγος τις ἔοικε γενέσθαι καὶ ἀποφθεγματικός· εἰ δεῖ τεκμαίρεσθαι τοῖς ἀπομνημονεύμασιν,

1 Omittit V.

2 Secundum Br. hæc lectio menti Pl. minus congrua. Reponendum censet aut cum Anon. μάλιστα, id quod & legitur in Apophth. aut μάκιστα, Dor. pro μήκιστα, longissime, quod R. maxime placet. Hic quidem vocem μόλις haud prorsus repudiat, dummodo cum τέτοις, quod abesse nullo pacto potest, copuletur.

3 Hunc verborum ordinem, qui est in Juntina, R. dedit pro vulgari, qui est in Aldina, καὶ γὰρ αὐτὸς ὁ Λυκ.

σιν, οἷόν ἐςι τὸ παρὰ τὰς πολιτείας [1], πρὸς τὸν ἀξιῦντα ποιεῖν δημοκρατίαν ἐν τῇ πόλει· Σὺ γὰρ, ἔφη, πρῶτος ἐν τῇ οἰκίᾳ σε ποίησον δημοκρατίαν. καὶ τὸ [2] περὶ τῶν θυσιῶν, πρὸς τὸν πυθόμενον, διὰ τί μικρὰς ὕτω καὶ εὐτελεῖς ἔταξεν [3]. Ἵνα μή ποτ', ἔφη, τιμῶντες τὸ θεῖον διαλίπωμεν. καὶ τὸ περὶ τῶν ἀθλημάτων, ταῦτα μόνα μὴ κωλύσαι [4] ἀγωνίζεσθαι τὺς πολίτας, ἐν οἷς χεὶρ ὐκ ἀνατείνεται. Φέρονται δ' αὐτῦ καὶ δι' ἐπιςολῶν ἀποκρίσεις τοιαῦται πρὸς τὺς πολίτας. Πῶς ἂν πολεμίων ἔφοδον ἀλεξοίμεθα [5]; Ἂν πτωχοὶ μένητε [6], καὶ μὴ μέσδω ἅτερος θατέρω ἐρατέημεν. καὶ πάλιν περὶ τῶν τειχῶν· Οὐκ ἂν εἴη ἀτείχιςος πόλις, ἅν τις [7] ἀνδρείοις [8], καὶ ὐ πλίνθοις ἐςεφάνωται. περὶ μὲν ὖν τύτων καὶ [9] τῶν τοιύτων ἐπιςολῶν ὔτ' ἀπιςῆσαι ῥᾴδιον, ὔτε πιςεῦσαι.

XX. Τῆς δὲ πρὸς τὰ μήκη τῶν λόγων διαβολῆς, δείγματα τοιαῦτα τῶν ἀποφθεγμάτων ἐςί. Λεωνίδας ὁ βασιλεὺς, ἀκαίρως τινὸς περὶ πραγμάτων ἀχρήςων διαλεχθέντος· Ὦ ξένε, εἶπεν, ὐκ ἐν δέοντι χρέῃ τῷ δέοντι. Χαρίλαος δὲ, ὁ ἀδελφιδῦς τῦ Λυκύργυ, περὶ

1 R. mavult abesse has voces, aut saltim περὶ τῶν πολιτειῶν legi.

2 V. uti & infra καὶ τὸ π. τ. ἀθλ. —

3 V. ἔδοξεν, vel ἔδειξεν.

4 Ex emend. R. pro vulg. κωλύσαντα. In Junt. & Ald. est κωλύσαντος. Ad hæc, idem non dubitat, μὴ ponendum esse post κωλῦσαι.

5 V. ἀποδεξοίμεθα.

6 Br. vult μὲν ἦτε; Aldina dat πτωχοὶ μὲν ἦτε μένητε; pro seq. ἐρατέημεν Xyl. susp. κρατέητε. Anon. hab. ἠρατέητε; Br. forsan legendum putat ἐρατέῃ aut ἐρατίζῃ. In Apophth. legitur ἐρεάνῃ. — Xyl. dedit θατέρω, gen. cas. sine jot. subscr.

7 R. restituit e Junt. pro vulg. ἅτις, quod Ald. dedit.

8 Anon. ἀνδράσι, uti in Apophth. — R. autem legendum censet: ἀνδρείοις τείχεσι, καὶ ὐ πλινθίνοις.

9 deest V. Præcedens ὖν autem dedit R. ex Junt. & Ald.

ρὶ τῆς ὀλιγότητος αὐτῦ τῶν νόμων ἐρωτηθεὶς, εἶπεν, ὡς οἱ λόγοις μὴ χρώμενοι πολλοῖς, ὐδὲ νόμων δέονται πολλῶν. Ἀρχιδαμίδας δὲ, μεμφομένων τινῶν Ἑκαταῖον τὸν σοφιςὴν, ὅτι παραληφθεὶς εἰς τὸ συσσίτιον ὐδὲν ἔλεγεν. Ὁ εἰδὼς, ἔφη, λόγον, καὶ καιρὸν οἶδεν. ἃ δὲ τῶν πικρῶν ἔφην ἀπομνημονευμάτων [1] ὐκ ἀμοιρεῖν χάριτος, τοιαῦτ᾽ ἐςι. Δημάρατος, ἀνθρώπυ πονηρῦ κόπτοντος [2] αὐτὸν ἀκαίροις ἐρωτήμασι, καὶ δὴ τῦτο πολλάκις ἐρωτῶντος, τίς ἄριςος Σπαρτιατῶν, ἔφη. Ὁ τὶν ἀνομοιότατος. Ἄγις δ᾽ ἐπαινύντων τινῶν τὺς Ἠλείυς, ὡς καλῶς τὰ Ὀλύμπια καὶ δικαίυς ἄγοντας· Καὶ τί μέγα, ἔφη, Ἠλεῖοι ποιῦντι [3], δι᾽ ἐτῶν πέντε ἀμέρᾳ μιᾷ χρώμενοι τᾷ δικαιοσύνᾳ; Θεόπομπος δὲ, ξένυ τινὸς εὔνοιαν ἐνδεικνυμένυ, καὶ φάσκοντος, ὡς παρὰ τοῖς αὐτῦ πολίταις φιλολάκων καλεῖται· Καλὸν ἦν τοι, εἶπεν, ὦ ξένε, φιλοπολίταν καλεῖσθαι. Πλειςώναξ δὲ ὁ Παυσανίυ, ῥήτορος Ἀθηναίυ τὺς Λακεδαιμονίυς ἀμαθεῖς ἀποκαλῦντος, Ὀρθῶς, ἔφη, λέγεις· μόνοι γὰρ Ἑλλήνων ἄμμες ὐδὲν κακὸν μεμαθήκαμεν παρ᾽ ὑμῶν. Ἀρχιδαμίδας δὲ πρὸς τὸν πυθόμενον, πόσοι εἰσὶ Σπαρτιάται, Ἱκανοὶ, εἶπεν, ὦ ξένε, τὺς κακὺς [4] ἀπερύκειν. Ἔςι δὲ καὶ τοῖς μετὰ παιδιᾶς εἰρημένοις ὑπ᾽ αὐτῶν τεκμήρασθαι τὸν ἐθισμόν. εἰθίζοντο γὰρ μηδέποτε χρῆσθαι τῷ λόγῳ παρέργως, μηδ᾽ ἀφιέναι φωνὴν, ἥτις ὐκ ἀμωσγέπως εἶχε [5] τινὸς θεωρίας ἀξίαν διάνοιαν. ὁ μὲν γὰρ ἀκῦσαι τῦ μιμυμένυ τὴν ἀηδόνα παρακαλύμενος, Αὐτᾶς ἔφη, ἄκυκα τῆνας [6]. ὁ δ᾽ ἀναγνὺς τὸ ἐπίγραμμα τῦτο·

Σβεν-

1 Anon. ἀποφθεγμάτων.

2 Ita legi maluit H. Steph. pro vulg. σκώπτοντος.

3 Sic Aldina. ποιῦντες dedit Juntina.

4 In Apoph. hab. Pl. ἐχθρὺς, dictumque Aristoni tribuit.

5 Ita dedit R. de suo. Vulg. ἔχει. H. Steph. vult ἔχοι.

6 Vulg. lect. dat αὐτὸς ἔφ. ἄκ. τῆνας; Anon. hab. αὐτᾶς. Junt. autem, Ald. & Cratandr. αὐτᾶς & τῆνας.

Σβεννύντας ποτὲ τᾶσδε τυραννίδα, χάλκεος Ἄρης
Εἷλε· Σελινᾶντος δ' ἀμφὶ πύλας ἔθανον.

Δικαίως, εἶπε, τεθνάκαντι τοὶ ἄνδρες· ἔδει γὰρ ἀφέμεν ὅλαν αὐτὰν κατακαῆμεν [1]. νεανίσκος δὲ πρὸς τὸν ἐπαγγελλόμενον αὐτῷ δώσειν ἀλεκτρυόνας θνήσκοντας ἐν τῷ μάχεσθαι· Μὴ σύγε, εἶπεν, ἀλλὰ δός μοι τῶν ἀποκτεινόντων ἐν τῷ μάχεσθαι. Ἕτερος δέ τις ἰδὼν θακεύοντας ἐν ἀποχωρήσει ἐπὶ δίφρων ἀνθρώπους· Μὴ γένοιτο, εἶπεν, ἐνταῦθα καθίσαι, ὅθεν οὐκ ἔστιν ὑπεξαναστῆναι πρεσβυτέρῳ. Τὸ μὲν οὖν τῶν ἀποφθεγμάτων εἶδος ἦν τοιοῦτον, ὥστε λέγειν τινὰς οὐκ ἀτόπως, ὅτι μᾶλλόν ἐστι τὸ φιλοσοφεῖν, ἢ τὸ φιλογυμναστεῖν, λακωνίζειν.

XXI. Ἡ δὲ περὶ τὰς ᾠδὰς καὶ τὰ μέλη παίδευσις οὐχ ἧττον ἐσπουδάζετο τῆς ἐν τοῖς λόγοις εὐζηλίας [2] καὶ καθαριότητος· ἀλλὰ καὶ τὰ μέλη κέντρον εἶχεν ἐγερτικὸν θυμοῦ, καὶ παραστατικὸν ὁρμῆς ἐνθουσιώδους καὶ πραγματικῆς [3]. καὶ ἡ λέξις ἦν ἀφελὴς καὶ ἄθρυπτος ἐπὶ πράγμασι [4] σεμνοῖς καὶ ἠθοποιοῖς. ἔπαινοι γὰρ ἦσαν ὡς τὰ πολλὰ τῶν τεθνηκότων ὑπὲρ τῆς Σπάρτης, εὐδαιμονιζομένων [5]. καὶ ψόγοι τῶν τρεσάντων, ὡς ἀλγεινὸν καὶ κακοδαίμονα βιούντων βίον, ἐπαγγελία τε καὶ μεγαλαυχία πρὸς ἀρετὴν, πρέπουσα ταῖς ἡλικίαις [6]. ὧν ἕνεκα δείγματος, οὐ χεῖρόν ἐστιν ἔν τι

1 V. κατακαῦμεν. Id. paulo poſt ἀποθνήσκοντας pro θνήσκοντας.

2 V. ἀζηλίας. Vtram lectionem præferat, dubitat R.

3 Br. mavult πρακτικῆς, ut in Inſtit. Lac.

4 V. γράμμασι.

5 R. ſuſp. ὡς εὐδαιμονιζ.

6 R. has voces ita ſtruendas legendasque ſuſp. ἐπαγγελία τε πρὸς ἀρετὴν, καὶ μεγαλαυχία πρέπουσα τ. η. aut ἐπαγγελία καὶ μεγαλ. πρὸς ἀρετὴν προτρέπουσα, πρεπόντως ταῖς ἡλικίαις.

τι προσενέγκαθαι [1]. τριῶν γὰρ χορῶν κατὰ τὰς τρεῖς ἡλικίας συνιςαμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος ᾖδεν·

Ἄμμες πόκ' ἦμες [2] ἄλκιμοι νεανίαι.

ὁ δὲ τῶν ἀκμαζόντων ἀμειβόμενος ἔλεγεν·

Ἄμμες δέ γ' εἰμὲν [3]· αἳ δὲ λῇς, πεῖραν λάβε.

ὁ δὲ τρίτος, ὁ τῶν παίδων·

Ἄμμες δέ γ' ἐσσόμεθα πολλῷ κάῤῥονες [4].

ὅλως δ' ἄν τις ἐπιςήσας τοῖς Λακωνικοῖς ποιήμασιν, ὧν ἔτι καθ' ἡμᾶς ἔνια διεσώζετο, καὶ τὰς ἐμβατηρίας ῥυθμὰς ἀναλαβὼν, οἷς ἐχρῶντο πρὸς τὸν αὐλὸν ἐπάγοντες τοῖς πολεμίοις, ἀ κακῶς ἡγήσαιτο καὶ τὸν Τέρπανδρον καὶ τὸν Πίνδαρον τὴν ἀνδρείαν τῇ μουσικῇ συνάπτειν. ὁ μὲν γὰρ οὕτως πεποίηκε περὶ τῶν Λακεδαιμονίων·

Ἔνθ' αἰχμά τε νέων θάλλει καὶ μοῦσα λίγεια,
Καὶ δίκα εὐρυάγυια.

Πίνδαρος δέ φησιν·

Ἔνθα βουλαὶ γερόντων, καὶ νέων ἀνδρῶν ἀριςευόντων αἰχμαὶ, καὶ χοροὶ καὶ μοῦσαι καὶ ἀγλαΐα. Μουσικωτάτους γὰρ ἅμα καὶ πολεμικωτάτους ἀποφαίνουσιν αὐτούς.

Ἕρπει [5] γὰρ ἄντα τῷ σιδάρῳ τὸ καλῶς κιθαρίσδειν, ὡς ὁ Λακωνικὸς ποιητὴς εἴρηκε. καὶ γὰρ ἐν ταῖς μάχαις προεθύετο ταῖς Μούσαις ὁ βασιλεὺς, αναμιμνήσκων,

1 Hanc lect. restituit R. ex Junt. pro vulg. προενέγκ. ex Ald.

2 Junt. & Ald. dant ποτ' ἦμες.

3 Anon. εἶμές.

4 Pro πολλῷ dant Junt. & Ald. πολλῶν. V. & Junt. κρέσσονες.

5 Br. sec. Jos. Scaliger. in notis ad Varron. de re rust. legi vult. ῥέπει. Eand. lect. habet Anon. qui & pro σιδάρῳ legit σιδήρῳ. R. lect. vulg. bene habere censet: *ars fidicina it obviam ferro.*

σκων [1], ὡς ἔοικε, τῆς παιδείας [2] καὶ τῶν κρίσεων, ἵνα ὦσι πρόχειροι παρὰ τὰ δεινὰ, καὶ λόγου τινὸς ἀξίας παρέχωσι τὰς πράξεις τῶν μαχομένων.

XXII. Τότε δὲ [3] καὶ τοῖς νέοις τὰ σκληρότατα τῆς ἀγωγῆς ἐπανιέντες, οὐκ ἐκώλυον καλλωπίζεσθαι περὶ κόμην, καὶ κόσμον ὅπλων καὶ ἱματίων, χαίροντες, ὥσπερ ἵπποις, γαυριῶσι καὶ φρυαττομένοις πρὸς τοὺς ἀγῶνας. διὸ κομῶντες εὐθὺς ἐκ τῆς τῶν ἐφήβων ἡλικίας, μάλιστα περὶ τοὺς κινδύνους ἐθεράπευον τὴν κόμην, λιπαράν [4] τε φαίνεσθαι καὶ διακεκριμένην· ἀπομνημονεύοντές τινα καὶ Λυκούργου λόγον περὶ τῆς κόμης, ὅτι τοὺς μὲν καλοὺς εὐπρεπεστέρους ποιεῖ, τοὺς δ' αἰσχροὺς φοβερωτέρους. ἐχρῶντο δὲ καὶ γυμνασίοις μαλακωτέροις παρὰ τὰς στρατείας· καὶ τὴν ἄλλην δίαιταν οὐχ οὕτω κεκολασμένην, οὐδ' ὑπεύθυνον τοῖς νέοις παρεῖχον, ὥστε μόνοις ἀνθρώπων ἐκείνοις τῆς εἰς τὸν πόλεμον ἀσκήσεως ἀνάπαυσιν εἶναι τὸν πόλεμον. ἤδη δὲ συντεταγμένης [ἅμα [5]] τῆς φάλαγγος αὐτῶν, καὶ τῶν πολεμίων παρόντων [6], ὁ βασιλεὺς ἅμα τήν τε χίμαιραν

ραν

1 R. susp. ἀναμιμνήσκειν εὐχόμενος, ὡς ἔοικε — Idem pro seq. τῶν κρίσεων vult τῶν ῥήσεων.

2 V. ποιήσεως. Ex eodem restitutum est ὦσι πρόχειροι pro vulg. ὡς πρόχ.

3 Ita legendum censuit Dacer. ex Xenoph. Laced. Rep. pro vulg. ποτὲ δὲ, quia non interdum, sed semper moris fuerit proelio ingruente. Schirach tamen sequitur lect. vulg. — zuweilen erliess man auch den jungen Leuten die Härte.

4 Ante h. v. potest ὥστε vel ἐπὶ τῷ subaudiri; Mavult tamen R. suspicari post λιπαράν τε desiderari σπουδάζοντες.

5 R. in annot. ad h. l. vocabulum ἅμα, quod quater paucis versibus repetitur, redundans hic loci, uncis inclusum, ceu delendum declarat. Textus autem ipse uncos omisit, quos nunc nostra in edit. recepimus.

6 V. ὁρώντων.

ραν ἐσφαγιάζετο, καὶ ςεφανȣ̃σθαι παρήγγελλε πᾶσι, καὶ τȣ̀ς αὐλητὰς αὐλεῖν ἐκέλευε τὸ Καςόρειον μέλος· ἅμα [1] δ' ἐξῆρχεν ἐμβατηρίȣ παιᾶνος. ὥςε σεμνὴν ἅμα καὶ καταπληκτικὴν τὴν ὄψιν εἶναι, ῥυθμῷ τε πρὸς τὸν αὐλὸν ἐπιβαινόντων [2], καὶ μήτε διάσπασμα ποιȣ́ντων ἐν τῇ φάλαγγι, μήτε ταῖς ψυχαῖς θορυβȣμένων, ἀλλὰ πράως καὶ ἱλαρῶς ὑπὸ τȣ̃ μέλȣς ἀγομένων ἐπὶ τὸν κίνδυνον. ȣ̃τε γὰρ φόβον, ȣ̃τε θυμὸν ἐγγίνεσθαι πλεονάζοντα τοῖς ȣ̃τω διακειμένοις εἰκός ἐςιν, ἀλλ' εὐςαθὲς φρόνημα μετ' ἐλπίδος καὶ θράσȣς [3], ὡς τȣ̃ Θεȣ̃ συμπαρόντος. ἐχώρει δ' ὁ βασιλεὺς ἐπὶ τȣ̀ς πολεμίȣς, ἔχων μεθ' ἑαυτȣ̃ ςεφανίτην ἀγῶνα νενικηκότα. καὶ φασί γέ τινα, χρημάτων πολλῶν ἐν Ὀλυμπίοις διδομένων αὐτῷ, μὴ δεξάμενον, ἀλλὰ πολλῷ πόνῳ καταπαλαίσαντα τὸν ἀνταγωνιςὴν, ὥς τις [4] εἶπεν αὐτῷ, Τί σοι πλέον, ὦ Λάκων, γέγονεν ἀπὸ τῆς νίκης [5]; φάναι μειδιάσαντα, Πρὸ τȣ̃ βασιλέως τεταγμένος μαχȣ̃μαι τοῖς πολεμίοις. τρεψάμενοι δὲ καὶ νικήσαντες ἐδίωκον, ὅσον ἐκβεβαιώσασθαι [6] τὸ νίκημα τῇ φυγῇ τῶν πολεμίων, εἶτ' εὐθὺς ἀνεχώρȣν, ȣ̃τε γενναῖον, ȣ̃τε Ἑλληνικὸν ἡγȣ́μενοι, κόπτειν καὶ φονεύειν ἀπολεγομένȣς καὶ παρακεχωρηκότας. ἦν δ' ȣ̓ μόνον καλὸν τȣ̃το καὶ μεγαλόψυχον, ἀλλὰ καὶ χρήσιμον. εἰδότες γὰρ οἱ μαχόμενοι πρὸς αὐτȣ̀ς, ὅτι τȣ̀ς ὑφιςαμένȣς ἀναιρȣ̃σι, φείδονται δὲ τῶν ἐνδιδόντων, τȣ̃ μένειν τὸ φεύγειν ἡγȣ̃ντο λυσιτελέςερον.

XXIII.

1 R. susp. αὐτὸς δ' ἐξῆρχεν.

2 Br. mavult cum Anon. ἐμβαινόντων, quia rhythmus ipse ἐμβατήριος dicatur.

3 V. θάρσȣς.

4 V. e Junt. ὥςε.

5 Junt. & Ald. dant γέγονε διὰ τῆς ν.

6 Ita dedit R. ex more loquendi Plutarcheo pro vulg. ἐμβεβ.

XXIII. Αὐτὸν δὲ τὸν Λυκοῦργον Ἱππίας μὲν ὁ σοφιστὴς πολεμικώτατόν φησι γενέσθαι, καὶ πολλῶν ἔμπειρον στρατηγιῶν [1]. Φιλοστέφανος δὲ καὶ τὴν κατ' οὐλαμοὺς τῶν ἱππέων διανομὴν [2] Λυκούργῳ προστίθησιν· εἶναι δὲ τὸν οὐλαμὸν, ὡς ἐκεῖνος συνέστησεν, ἱππέων πεντήκοντα τὸ πλῆθος ἐν τετραγώνῳ σχήματι τεταγμένων. ὁ δὲ Φαληρεὺς Δημήτριος, οὐδεμιᾶς ἁψάμενον πολεμικῆς πράξεως, ἐν εἰρήνῃ καταστήσασθαι τὴν πολιτείαν. ἔοικε δὲ καὶ [3] τῆς Ὀλυμπιακῆς ἐκεχειρίας ἡ ἐπίνοια, πρᾴου καὶ πρὸς εἰρήνην ἔχοντος οἰκείως ἀνδρὸς εἶναι. καίτοι φασί τινες, ὡς Ἕρμιππος μνημονεύει, τὸν Λυκοῦργον οὐ προσέχειν, οὐδὲ κοινωνεῖν ἐν ἀρχῇ τοῖς περὶ [4] τὸν Ἴφιτον, ἀλλὰ τυγχάνειν ἄλλως ἐπιδημοῦντα καὶ θεώμενον· ἀκοῦσαι δὲ φωνὴν ὥσπερ ἀνθρώπου τινὸς ἐξόπισθεν ἐπιτιμῶντος αὐτῷ, καὶ θαυμάζοντος, ὅτι τοὺς πολίτας οὐ προτρέπεται κοινωνεῖν τῆς πανηγύρεως· ὡς δὲ μεταστραφέντος, οὐδαμοῦ φανερὸς ὁ φθεγξάμενος ἦν, θεῖον ἡγησάμενον, οὕτω πρὸς τὸν Ἴφιτον τραπέσθαι, καὶ συνδιακοσμήσαντα τὴν ἑορτὴν, ἐνδοξοτέραν καὶ βεβαιοτέραν καταστῆσαι.

XXIV. Ἡ δὲ παιδεία μέχρι τῶν ἐνηλίκων διέτεινεν. οὐδεὶς γὰρ ἦν ἀφειμένος ὡς ἐβούλετο ζῆν, ἀλλ', οἷον ἐν στρατοπέδῳ, τῇ πόλει, καὶ δίαιταν ἔχοντες ὡρισμένην, καὶ διατριβὴν περὶ τὰ κοινὰ, καὶ ὅλως νομίζοντες οὐχ αὐτῶν, ἀλλὰ τῆς πατρίδος εἶναι, διετέλουν·



1 Ita dedit R. pro vulg. στρατιῶν, pro quo Br. voluit στρατειῶν. Schirach tamen vulgatam sequitur lectionem & interpretationem, vertendo: soll vielen Feldzügen beigewohnt haben, quod phrasis: πολλῶν στρατιῶν ἔμπειρον, non significare posse videtur.

2 Junt. & Ald. dant simplex νομήν; uti paulo post ἔστησεν pro συνέστησεν.

3 deest Junt. & Ald.

4 Junt. & Ald. dant vitiose πρός.

λουν· εἰ μή τι πράττειν εἴη ἕτερον [1] προστεταγμένον, ἐπισκοποῦντες τοὺς παῖδας, καὶ διδάσκοντές τι τῶν χρησίμων, ἢ μανθάνοντες αὐτοὶ παρὰ τῶν πρεσβυτέρων. καὶ γὰρ ἓν τι τοῦτο [2] τῶν καλῶν ἦν καὶ μακαρίων, ἃ παρεσκεύακε [3] τοῖς ἑαυτοῦ πολίταις ὁ Λυκοῦργος, ἀφθονία [4] σχολῆς, οἷς τέχνης μὲν ἅψασθαι βαναύσου τὸ παράπαν οὐκ ἐφίετο· χρηματισμοῦ δὲ συναγωγὴν ἔχοντος ἐργώδη καὶ πραγματείαν [5], οὐδ' ὁτιοῦν ἔδει, διὰ τὸ κομιδῇ τὸν πλοῦτον ἄζηλον γεγονέναι καὶ ἄτιμον. οἱ δ' εἵλωτες αὐτοῖς εἰργάζοντο τὴν γῆν, ἀποφορὰν τὴν εἰρημένην τελοῦντες. ἐπιδημῶν δέ τις Ἀθήνησι, δικαστηρίων ὄντων, καὶ πυθόμενός τινα δίκην ἀργίας ὠφληκότα βαδίζειν ἀθυμοῦντα, καὶ προπεμπόμενον [6] ὑπὸ τῶν φίλων συναχθομένων καὶ βαρέως φερόντων, ἐδεῖτο δεῖξαι τοὺς συμπαρόντας αὐτῷ, τίς ἐστιν ὁ τὴν ἐλευθερίας [7] ἑαλωκὼς δίκην. οὕτω δουλοπρεπὲς ἡγοῦντο τὴν περὶ τὰς τέχνας καὶ τὸν χρηματισμὸν ἀδολεσχίαν [8]. δίκαι δ', ὡς εἰκὸς, ἐξέλιπον ἅμα τῷ νομίσματι, μήτε πλεονεξίας, μήτ' ἀπορίας αὐτοῖς παρούσης, ἰσότητος δ' ἐν εὐπορίᾳ, καὶ ῥᾳστώνης δι' εὐτέλειαν γεγενημένης. χοροὶ δὲ καὶ θαλίαι καὶ εὐωχίαι, καὶ διατριβαὶ περί τε θήρας καὶ γυμνάσια καὶ λέσχας, τὸν ἅπαντα χρόνον ἐπεχωρίαζον, ὅτε μὴ στρατευόμενοι τύχοιεν.

XXV.

1 V. hunc habet verborum ordinem: πρ. ἕτερον εἴη.

2 V. & Junt. τούτων.

3 Anon. ὧν παρεσκεύακεν.

4 Ita voluit H. Steph. & dat Anon. pro vulg. ἀφθονίαν.

5 Br. mavult πραγματείας, jungendo cum χρημat. vel πραγματικὴν, ad συναγωγήν. R. post πραγμ. susp. deesse πολλήν.

6 V. προπεμπόμενος.

7 Ita dedit R. ex conjectura Bryani pro vulg. ἐλευθερίαν. Legi quoque posse ἐλευθερίων, R. censet.

8 H. Steph. ex veterum codd. consensu reponendum putavit ἀσχολίαν. Ita habet Anon. — R. a Steph. dissentit.

XXV. Οἱ μέν γε νεώτεροι τριάκοντα ἐτῶν τὸ παράπαν ἐ κατέβαινον εἰς ἀγορὰν, ἀλλὰ διὰ τῶν συγγενῶν καὶ τῶν ἐραςῶν ἐποιῦντο τὰς ἀναγκαίας οἰκονομίας. τοῖς δὲ πρεσβυτέροις αἰσχρὸν ἦν συνεχῶς ὁρᾶσθαι περὶ ταῦτα διατρίβεσιν, ἀλλὰ τὸ μὲν [1] πλεῖςον τῆς ἡμέρας περὶ τὰ γυμνάσια καὶ τὰς καλεμένας λέσχας ἀναςρέφεσθαι. καὶ γὰρ εἰς ταύτας συνιόντες ἐπιεικῶς ἐσχόλαζον μετ' ἀλλήλων, ἐδενὸς μεμνημένοι τῶν πρὸς χρηματισμὸν ἢ χρείαν ἀγοραῖον συντελέντων· ἀλλὰ τὸ πλεῖςον [2] ἦν τῆς τοιαύτης διατριβῆς ἔργον, ἐπαινεῖν τι τῶν καλῶν, ἢ τῶν αἰσχρῶν ψέγειν, μετὰ παιδιᾶς καὶ γέλωτος ἐλαφρῶς ὑποφέροντος εἰς νεθεσίαν καὶ διόρθωσιν. ἐδὲ γὰρ αὐτὸς ἦν ἀκράτως [3] αὐςηρὸς ὁ Λυκῦργος· ἀλλὰ καὶ τὸ τε γέλωτος ἀγαλμάτιον ἐκεῖνον ἱδρύσασθαι Σωσίβιος ἱςορεῖ, τὴν παιδιὰν ὥσπερ ἥδυσμα τε πόνε καὶ τῆς διαίτης, ἐμβαλόντα κατὰ καιρὸν εἰς τὰ συμπόσια καὶ τὰς τοιαύτας διατριβάς. τὸ δ' ὅλον, εἴθιζε τὲς πολίτας μὴ βέλεσθαι, μήτ' ἐπίςασθαι κατ' ἰδίαν ζῆν, ἀλλ' ὥσπερ τὰς μελίττας, τῷ κοινῷ συμφυεῖς ὄντας ἀεὶ, καὶ μετ' ἀλλήλων εἰλεμένες περὶ τὸν ἄρχοντα, μικρε δεῖν ἐξεςῶτας ἑαυτῶν ὑπ' ἐνθεσιασμε καὶ φιλοτιμίας, ὅλες εἶναι τῆς πατρίδος. ὡς ἔςι καὶ φωναῖς τισιν αὐτῶν ἀποθεωρῆσαι τὴν διάνοιαν. ὁ μὲν γὰρ Παιδάρητος, ἐκ ἐγκριθεὶς εἰς τὲς τριακοσίες, ἀπῄει

 μάλα

1 Hanc particulam restituit R. e Junt. pro vulg. lect. μὴ, ex Ald. profecta. Anon. μὴ τὸ πλεῖςον, quod maluit Br. quam τὸ μὴ πλ. — Hinc R. ante sequens ἀναςρέφεσθαι deesse putat ἔδει aut ἔχρην. Schirach lectionem sequitur Anon. vertendo: Den Alten gereichte es zur Schande, wenn sie sich oft in dergleichen Geschäften auf dem Markte sehen liessen (in Plut. dictione hunc sensum equidem non invenio: melius sane Kind.) und nicht den grösten Theil des Tags &c.

2 V. inserit μή.

3 Ita hab. Anon. & legi voluit Tan. Faber pro vulg. ἀκρατῶς.

μάλα Φαιδρῶς [1], ὥσπερ χαίρων, ὅτι βελτίονας αὐτȣ̃ τριακοσίȣς ἡ πόλις ἔχει. Πεισιςρατίδας δὲ ὁ πρεσβεύων πρὸς τȣ̀ς βασιλέως [2] ςρατηγȣ̀ς μεθ' ἑτέρων, ἐρομένων αὐτῶν. πότερον ἰδίᾳ πάρεισιν, ἢ δημοσίᾳ πεμφθέντες, εἶπεν, Αἴκα [3] τύχωμεν [4], δημοσίᾳ. αἴκα ἀποτύχωμεν, ἰδίᾳ. ἡ δὲ Βρασίδȣ μήτηρ Ἀργιλεωνὶς, ὡς ἀφικόμενοί τινες εἰς Λακεδαίμονα τῶν ἐξ Ἀμφιπόλεως εἰσῆλθον πρὸς αὐτὴν, ἠρώτησεν, εἰ καλῶς ὁ Βρασίδας ἀπέθανε, καὶ τᾶς Σπάρτας ἀξίως· μεγαλυνόντων δ' ἐκείνων τὸν ἄνδρα, καὶ λεγόντων, ὡς ȣ̓κ ἔχει τοιȣ̃τον ἄλλον ἡ Σπάρτη· Μὴ λέγετε, εἶπεν, ὦ ξένοι· καλὸς μὲν γὰρ ἦν καὶ ἀγαθὸς ὁ Βρασίδας· πολλȣ̀ς δ' ἄνδρας Λακεδαίμων ἔχει τήνȣ κάῤῥονας [5].

XXVI. Τȣ̀ς δὲ γέροντας αὐτὸς μὲν, ὡς εἴρηται, κατέςησε τὸ πρῶτον ἐκ τῶν μετεχόντων τȣ̃ βȣλεύματος· ὕςερον δ', ἀντὶ τȣ̃ τελευτῶντος, ἔταξε καθιςάναι τὸν ἄριςον ἀρετῇ κριθέντα τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων. καὶ μέγιςος ἐδόκει τῶν ἐν ἀνθρώποις ἀγώνων ȣ̃τος εἶναι, καὶ περιμαχητότατος, ȣ̓ γὰρ ἐν ταχέσι τάχιςον, ȣ̓δ' ἐν ἰσχυροῖς [6] ἰσχυρότατον, ἀλλ' ἐν ἀγαθοῖς καὶ σώφροσιν ἄριςον καὶ σωφρονέςατον ἔδει κριθέντα, νικητήριον ἔχειν τῆς ἀρετῆς διὰ βίȣ τὸ σύμπαν, ὡς εἰπεῖν, κράτος ἐν τῇ πολιτείᾳ, κύριον ὄντα καὶ θανάτȣ καὶ ἀτιμίας, καὶ ὅλως τῶν μεγίςων. ἐγίνετο δ' ἡ κρίσις τόνδε τὸν τρόπον. ἐκκλησίας ἀθροιθείσης, ἄνδρες αἱρετοὶ καθείργνυντο πλησίον εἰς οἴκημα, τὴν ὄψιν μὲν [7] ȣ̓χ ὁρῶντες, ȣ̓δ' ὁρώμενοι, τὴν δὲ κραυ-

1 R. mavult Φαιδρὸς, in adiect.
2 V. βασιλέων.
3 V. αἴτε.
4 Anon. τύχωμες; uti in seq. ἀποτύχωμες.
5 V. e Iunt. ἔχει ἐκείνȣ κρείττονας.
6 Ita Anon pro vulg. ȣ̓δὲ ἰσχυροῖς.
7 V. τὴν μὲν ὄψιν.

κραυγὴν μόνον ἀκούοντες ἐκκλησιαζόντων. βοῇ γὰρ, ὡς τἆλλα, καὶ τοὺς ἁμιλλωμένους ἔκρινον, οὐχ ὁμοῦ πάντων, ἀλλ' ἑκάστου κατὰ κλῆρον εἰσαγομένου, καὶ σιωπῇ διαπορευομένου τὴν ἐκκλησίαν. ἔχοντες οὖν οἱ κατάκλειστοι γραμματεῖα, καθ' ἕκαστον ἐπεσημαίνοντο τῆς κραυγῆς τὸ μέγεθος, οὐκ εἰδότες, ὅτῳ γένοιτο, πλὴν ὅτι πρῶτος, ἢ δεύτερος, ἢ τρίτος, ἢ ὁποστοσοῦν [1] εἴη τῶν εἰσαγομένων. ὅτῳ δὲ πλείστη γένοιτο καὶ μεγίστη, τοῦτον ἀνηγόρευον. ὁ δὲ στεφανωσάμενος περιῄει τοὺς θεούς· εἵποντο δὲ πολλοὶ νέοι, ζηλοῦντες τὸν ἄνδρα καὶ μεγαλύνοντες, πολλαί τε γυναῖκες ἐγκωμιάζουσαι δι' ᾠδῆς τὴν ἀρετὴν, καὶ τὸν βίον εὐδαιμονίζουσαι. τῶν δ' ἐπιτηδείων ἕκαστος αὐτῷ δεῖπνον παρατιθεὶς ἔλεγεν, ὅτι ταύτῃ ἡ πόλις τιμᾷ [2] τῇ τραπέζῃ. περιελθὼν δ', εἰς τὸ συσσίτιον ἀπῄει, καὶ τὰ μὲν ἄλλα ἐγίνετο συνήθως· δευτέρας δὲ μερίδος αὐτῷ παρατεθείσης, ἐφύλαττεν ἀράμενος· καὶ μετὰ τὸ δεῖπνον, ἐπὶ ταῖς θύραις τοῦ Φιδιτίου τῶν οἰκείων παρουσῶν γυναικῶν, ἣν μάλιστα τυγχάνοι [3] τιμῶν, προσεκαλεῖτο· καὶ διδοὺς τὴν μοῖραν ἔλεγεν, ὅτι ταύτην αὐτὸς λαβὼν ἀριστεῖον, ἐκείνῃ δίδωσιν, ὥστε κἀκείνην ζηλουμένην ὑπὸ τῶν ἄλλων προπέμπεσθαι γυναικῶν.

XXVII. Καὶ μὴν καὶ τὰ [4] περὶ τὰς ταφὰς ἄριστα διεκόσμησεν αὐτοῖς [5]. πρῶτον μὲν γὰρ ἀνελὼν δεισιδαιμονίαν ἅπασαν, ἐν τῇ πόλει θάπτειν τοὺς νεκροὺς, καὶ πλησίον ἔχειν τὰ μνήματα τῶν ἱερῶν οὐκ ἐκώλυσε, συντρόφους ποιῶν ταῖς τοιαύταις ὄψεσι καὶ συνήθεις τοὺς



1 Junt. dat ποστοσοῦν.

2 Post ταύτῃ aut σε, aut αὐτὸν R. putat deesse. Prius dat Anon ἡ πόλις σε τιμᾷ.

3 Junt. & Ald. dant τυγχάνει, in indicat.

4 deest Junt. & Ald.

5 Ita ex conject. Br. — Junt. & Ald. αὐτοῖς.

τὺς νέυς [1], ὥςε μὴ ταράτ]εϑαι, μηδ' ὀῤῥωδεῖν τὸν ϑάνατον, ὡς μιαίνοντα τὺς ἀψαμένυς νεκρῦ σώματος, ἢ διὰ τάφων διελϑόντας. ἔπειτα συνϑάπ]ειν ὐδὲν εἴασεν, ἀλλὰ ἐν [2] Φοινικίδι καὶ φύλλοις ἐλαίας ϑέντες τὸ σῶμα, περιέςελλον. ἐπιγράψαι δὲ τὔνομα ϑάψαντας ὐκ ἐξῆν τῦ νεκρῦ, πλὴν ἀνδρὸς ἐν πολέμῳ, καὶ γυναικὸς, τῶν ἱερῶς [3] ἀποϑανόντων. χρόνον δὲ πένϑυς ὀλίγον προσώρισεν [4], ἡμέρας ἕνδεκα· τῇ δὲ δωδεκάτῃ ϑύσαντας ἔδει Δήμητρι λύειν τὸ πένϑος. ὐδὲν γὰρ ἦν ἀργὸν, ὐδ' ἀφειμένον, ἀλλὰ πᾶσι κατεμιγνύετο [5] τοῖς ἀναγκαίοις ἀρετῆς τινα ζῆλον, ἢ κακίας διαβολήν· καὶ κατεπύκνυ παραδειγμάτων πλήϑει τὴν πόλιν, οἷς ἀναγκαῖον ἦν ἐντυγχάνοντας ἀεὶ καὶ συντρεφομένυς, ἄγεσϑαι καὶ καταχηματίζεϑαι ἰόντας [6] πρὸς τὸ καλόν. ὅϑεν ὐδ' ἀποδημεῖν ἔδωκε τοῖς βυλομένοις καὶ πλανᾶσϑαι, ξενικὰ συνάγοντας ἤϑη, καὶ μιμήματα βίων ἀπαιδεύτων, καὶ πολιτευμάτων διαφοράς [7]. ἀλλὰ καὶ τὺς ἀϑροιζομένυς ἐπ' ὐδενὶ χρησίμῳ, καὶ παρεισρέοντας εἰς τὴν πόλιν ἀπήλαυνεν, ὐχ, ὡς Θυκυδίδης φησὶ, δεδιὼς, μὴ τῆς πολιτείας μιμηταὶ γένωνται, καὶ πρὸς ἀρετήν τι χρήσιμον ἐκμάϑωσιν, ἀλλὰ μᾶλλον, ὅπως μὴ διδάσκαλοι κακῦ τινος ὑπάρξωσιν. ἅμα γὰρ ξένοις σώμασιν

1 V. νεκρὺς.

2 deest Juntinæ. Prima dedit Ald.

3 Artic. τῶν R. ex Junt. & Ald. præposuit, scil. earum mulierum, quæ uxores fuissent virorum in sacerdotio vita defunctorum. Pro ἱερῶς hab. Anon. — ἱερᾶς. Hinc Br. susp. ἱερείας; R. vero ἐν ἱερωσύνῃ, aut ἱερωμένης.

4 R. mavult προώρισεν.

5 R. mavult κατεμίγνυε.

6 R. hæc vox suspecta videtur. Quærit, num redundet, ut sæpius? an leg. πάντας, an λαϑόντας?

7 R. de suo dedit pro vulg. διαφοράν. Br. voluit διαφόρων.

σὶν ἀνάγκη καὶ λόγȣς [1] ἐπεισιέναι ξένȣς· λόγοι δὲ καινοὶ κρίσεις καινὰς ἐπιφέρȣσιν· ἐξ ὧν ἀνάγκη πάθη πολλὰ φύεσθαι, καὶ προαιρέσεις ἀπᾳδȣ́σας πρὸς τὴν καθεστῶσαν πολιτείαν, ὥσπερ ἁρμονίαν. διὸ μᾶλλον ᾤετο χρῆναι φυλάττειν τὴν πόλιν, ὅπως [2] ἠθῶν ȣ̓κ ἀναπλησθήσεται πονηρῶν, ἢ σωμάτων νοσερῶν ἔξωθεν ἐπεισιόντων.

XXVIII. Ἐν μὲν ȣ̓̃ν τȣ́τοις ȣ̓δέν ἐςιν ἀδικίας ἴχνος [3] ȣ̓δὲ πλεονεξίας, ἣν ἐγκαλȣ̃σιν ἔνιοι τοῖς Λυκȣ́ργȣ νόμοις, ὡς ἱκανῶς ἔχȣσι πρὸς ἀνδρείαν, ἐνδεῶς δὲ πρὸς δικαιοσύνην. ἡ δὲ καλȣμένη κρυπτία παρ' αὐτοῖς, εἴγε δὴ καὶ τȣ̃το τῶν Λυκȣ́ργȣ πολιτευμάτων ἕν ἐςιν, ὡς Ἀριςοτέλης ἱςόρηκε, ταύτην ἂν εἴη καὶ τῷ Πλάτωνι περὶ τῆς πολιτείας καὶ τȣ̃ ἀνδρὸς ἐνειργασμένη [4] δόξαν. ἦν δὲ τοιαύτη· τῶν νέων οἱ ἄρχοντες διὰ χρόνȣ τȣ̀ς μάλιςα νȣ̃ν ἔχειν δοκȣ̃ντας εἰς τὴν χώραν ἄλλως [5] ἐξέπεμπον, ἔχοντας ἐγχειρίδια καὶ τροφὴν ἀναγκαίαν, ἄλλο δ' ȣ̓δέν· οἱ δὲ μεθ' ἡμέραν μὲν εἰς ἀσυνδήλȣς διασπειρόμενοι τόπȣς, ἀπέκρυπτον ἑαυτȣ̀ς καὶ ἀνεπαύοντο, νύκτωρ δὲ κατιόντες εἰς τὰς ὁδȣ̀ς, τῶν εἱλώτων τὸν ἁλισκόμενον ἀπέσφαττον. πολλάκις δὲ καὶ τοῖς ἀγροῖς ἐπιπορευόμενοι, τȣ̀ς ῥωμαλεωτάτȣς καὶ κρατίςȣς αὐτῶν ἀνῄρȣν. ὥσπερ καὶ Θȣκυδίδης ἐν τοῖς Πελοποννησιακοῖς ἱςορεῖ, τȣ̀ς ἐπ' ἀνδρείᾳ προκριθέντας ὑπὸ τῶν Σπαρτιατῶν, ςεφανώσασθαι μὲν ὡς ἐλευθέρȣς γεγονότας, καὶ περιελθεῖν τὰ τῶν Θεῶν ἱερὰ, μικρὸν



1 Part. καὶ addidit R. de ſuo, & λόγοι explicat per artes, ſtudia.

2 Junt. & Ald. dant ὡς.

3 V. ἦθος.

4 R. de ſuo dedit pro ἀνειργ.

5 Rectius ex ſententia Br. ἄλλον ἄλλοσε. R. lectionem vulg. retinet, eam explicans per temere, prætextu aut nullo, aut quocunque tandem vano & commenticio.

δὲ ὕϛερον ἅπαντας ἀφανεῖς γενέϑαι, πλείονας ἢ διχιλίȣς ὄντας· ὡς μήτε παραχρῆμα, μήτε ὕϛερον ἔχειν τινὰ λέγειν τῷ τρόπῳ διεφϑάρησαν. Ἀριϛοτέλης δὲ μάλιϛά φησι καὶ τȣ̀ς Ἐφόρȣς, ὅταν εἰς τὴν ἀρχὴν καταϛῶσι, πρῶτον τοῖς εἵλωσι καταγγέλλειν πόλεμον, ὅπως εὐαγὲς ᾖ τὸ ἀνελεῖν. καὶ τἄλλα δὲ τραχέως προσεφέροντο καὶ σκληρῶς αὐτοῖς· ὥϛε [1] καὶ πίνειν ἀναγκάσαντες πολὺν ἄκρατον, εἰς τὰ συσσίτια παρεισῆγον, ἐπιδεικνύμενοι τὸ μεϑύειν οἷόν ἐϛι τοῖς νέοις. καὶ ᾠδὰς ἐκέλευον ᾄδειν, καὶ χορείας χορεύειν ἀγεννεῖς καὶ καταγελάϛȣς, ἀπέχεϑαι δὲ τῶν ἐλευϑέρων [2]. διὸ καί φασιν ὕϛερον ἐν τῇ Θηβαίων εἰς τὴν Λακωνικὴν ϛρατείᾳ [3] τȣ̀ς ἁλισκομένȣς εἵλωτας, κελευομένȣς ᾄδειν τὰ Τερπάνδρȣ καὶ Ἀλκμᾶνος καὶ Σπένδοντος [4] τȣ̃ Λάκωνος, παραιτεῖϑαι, φάσκοντας ȣ̓κ ἐϑέλειν τȣ̀ς δεσποσύνȣς [5]. ὥϛε τȣ̀ς λέγοντας, ἐν Λακεδαίμονι καὶ τὸν ἐλεύϑερον, μάλιϛα ἐλεύϑερον [6] εἶναι, καὶ τὸν δȣ̃λον, μάλιϛα δȣ̃λον, ȣ̓ φαύλως τεϑεωρηκέναι [7] τὴν διαφοράν. τὰς μὲν ȣ̓̃ν τοιαύτας χαλεπότητας ὕϛερον ἐγγενέϑαι [8] τοῖς Σπαρτιάταις νομίζω, μάλιϛα μετὰ [9] τὸν μέγαν σεισμὸν, ᾧ [10] συνεπιϑέϑαι τȣ̀ς εἵλωτας μετὰ Μεσσηνίων

1 Br. mavult ἔστε. Seq. ἀναγκάσαντες dedit R. de suo pro vulg. ἀναγκάζοντες.

2 Br. susp. ἐλευϑερίων, ut supra παιδευτὰς ἐλευϑερίȣς.

3 Ex conj. Br. pro vulg. ϛρατιᾷ.

4 Ita leg. Aldina. Speudontis habet Lapus; ἄρχοντος V. — Σπένδοντος Junt.

5 V. τȣ̀ς δεσποσύνȣς.

6 Junt. dat ἐλευϑέριον.

7 R. mavult συντεϑεωρηκέναι.

8 Junt. & Ald. dant simplex γενέϑαι.

9 R. mavult μάλιϛα δὲ μ.

10 Br. mavult ἐν ᾧ, quasi hæc præpos. ipsius ex sententia necessaria, absorpta fuisset in syllaba fin. præced. vocis σεισμόν. R. autem verè defendit dictionem Plut. secundum lect. vulg.

στηνίων ἰσορᾶσι, καὶ πλεῖστα κακὰ τὴν χώραν εἰργάσθαι, καὶ μέγιστον τῇ πόλει περιστῆσαι κίνδυνον [1]. οὐ γὰρ ἂν [2] ἔγωγε προσθείην Λυκούργῳ μιαρὸν οὕτω τὸ [3] τῆς κρυπτίας ἔργον· ἀπὸ τῆς ἄλλης αὐτοῦ πρᾳότητος καὶ δικαιοσύνης τεκμαιρόμενος τὸν τρόπον, ᾧ καὶ τὸ δαιμόνιον ἐπεμαρτύρησε.

XXIX. Κατειλημμένων δὲ τοῖς ἐθισμοῖς ἤδη [4] τῶν κυριωτάτων ὑπ' αὐτοῦ, καὶ τῆς πολιτείας ἐκτεθραμμένης [5] ἱκανῶς, καὶ δυναμένης φέρειν ἑαυτὴν καὶ σώζειν δι' ἑαυτῆς, ὥσπερ ὁ Πλάτων φησὶν, ἐπὶ τῷ κόσμῳ γενομένῳ καὶ κινηθέντι τὴν πρώτην κίνησιν εὐφρανθῆναι τὸν Θεὸν, οὕτως [6] ἀγαθεὶς καὶ ἀγαπήσας τὸ τῆς νομοθεσίας κάλλος καὶ μέγεθος ἐν ἔργῳ γενομένης καὶ ὁδῷ βαδιζούσης, ἐπεθύμησεν, ὡς ἀνυστὸν ἐξ ἀνθρωπίνης προνοίας, ἀθάνατον αὐτὴν ἀπολιπεῖν, καὶ ἀκίνητον εἰς τὸ μέλλον. συναγαγὼν οὖν ἅπαντας εἰς ἐκκλησίαν, τὰ μὲν ἄλλα μετρίως ἔχειν ἔφη καὶ ἱκανῶς πρὸς εὐδαιμονίαν καὶ ἀρετὴν τῆς πόλεως· ὃ δὲ κυριώτατόν ἐστι καὶ μέγιστον, οὐκ ἂν ἐξενεγκεῖν πρότερον πρὸς αὐτοὺς, ἢ χρήσασθαι τῷ Θεῷ. δεῖν οὖν ἐκείνους ἐμμένειν τοῖς καθεστῶσι νόμοις, καὶ μηδὲν ἀλλάσσειν, μήτε μετακινεῖν, ἕως ἐπάνεισιν ἐκ Δελφῶν αὐτός. ἐπανελθὼν γὰρ ὅ τι ἂν τῷ Θεῷ δοκῇ ποιήσειν. ὁμολογούντων δὲ πάντων καὶ κελευόντων βαδίζειν, ὅρκους λαβὼν παρὰ τῶν βασιλέων καὶ τῶν γερόντων, ἔπειτα παρὰ τῶν ἄλλων πολιτῶν, ἐμμε-

1 Post h. v. addit V. *ἐν μὲν οὖν τούτοις οὐδὲν ἐστιν ἀδικίας ἴχνος* — (sec. Ed. Frft. catal. var. lect. *εἶδος*) quae verba habentur supra.

2 Ita Anon. & V. — Vulgatis deest *ἄν*.

3 R. de suo addidit.

4 V. *ἤδη τοῖς ἐθισμοῖς*.

5 Sic dedit R. de suo, pro vulg. *ἐκτετραμμ.*

6 Post h. v. addi vult R. *ὁ Λυκοῦργος*, & lin. seq. pro *ἐν ἔργῳ* legi uno vocabulo *ἐνέργου*.

ἐμμενεῖν καὶ χρήσεσθαι [1] τῇ καθεςώσῃ πολιτείᾳ, μέχρις ἂν ἐπανέλθῃ ὁ Λυκοῦργος, ἀπῆρεν εἰς Δελφούς. παραγενόμενος δὲ πρὸς τὸ μαντεῖον, καὶ τῷ Θεῷ θύσας, ἠρώτησεν, εἰ καλῶς οἱ νόμοι καὶ ἱκανῶς πρὸς εὐδαιμονίαν καὶ ἀρετὴν πόλεως κείμενοι τυγχάνουσιν. ἀποκριναμένου δὲ τοῦ Θεοῦ καὶ τοὺς νόμους καλῶς κεῖσθαι, καὶ τὴν πόλιν [2] ἐνδοξοτάτην διαμενεῖν [3] τῇ Λυκούργου χρωμένην πολιτείᾳ, τὸ μάντευμα γραψάμενος, εἰς Σπάρτην ἀπέςειλεν. αὐτὸς δὲ τῷ Θεῷ πάλιν θύσας, καὶ τοὺς φίλους ἀσπασάμενος καὶ τὸν υἱὸν, ἔγνω μηκέτι τοῖς πολίταις ἀφεῖναι τὸν ὅρκον, αὐτοῦ δὲ καταλῦσαι τὸν βίον ἑκουσίως, ἡλικίας γεγονὼς, ἐν ᾗ καὶ βιοῦν ἔτι καὶ πεπαῦσθαι βουλομένοις ὡραῖόν ἐςι, καὶ τῶν περὶ αὐτὸν ἱκανῶς πρὸς εὐδαιμονίαν ἔχειν δοκούντων. ἐτελεύτησεν οὖν ἀποκαρτερήσας, ἡγούμενος χρῆναι τῶν πολιτικῶν ἀνδρῶν μηδὲ τὸν θάνατον ἀπολίτευτον εἶναι, μηδ᾽ ἀργὸν τὸ τοῦ βίου τέλος, ἀλλ᾽ ἐν ἀρετῆς μερίδι καὶ πράξεως γενόμενον. αὐτῷ τε γὰρ, ἐξειργασμένῳ τὰ κάλλιςα, τὴν τελευτὴν ὡς ἀληθῶς ἐπιτελείωσιν εἶναι τῆς εὐδαιμονίας, καὶ τοῖς πολίταις, ὧν διὰ τοῦ βίου παρεσκεύασε [4] καλῶν καὶ ἀγαθῶν, φύλακα τὸν θάνατον ἀπολείψειν, ὀμωμοκόσι χρῆσθαι τῇ πολιτείᾳ, μέχρις ἂν ἐκεῖνος ἐπανέλθῃ. καὶ οὐ διεψεύσθη τῶν λογισμῶν. τοσοῦτον γὰρ ἐπρώτευσεν ἡ πόλις τῆς Ἑλλάδος εὐνομίᾳ καὶ δόξῃ, χρόνῳ [5] ἐτῶν πεντακοσίων τοῖς Λυκούργου χρωμένη [6] νόμοις, οὓς δεκατεσσάρων βασιλέων, μετ᾽ ἐκεῖνον εἰς Ἆγιν τὸν Ἀρχιδάμου γενομένων, οὐδεὶς ἐκίνησεν.

ἡ

1 R. de suo utrumque verbum in fut. dedit, pro vulg. ἐμμένειν & χρήσασθαι.

2 V. τὴν πολιτείαν.

3 Ita legi voluit H. Steph. pro διαμένειν.

4 V. παρασκευάσασι.

5 Br. mavult χρόνον. V. habet χρόνοις vel χρόνων.

6 R. dedit e Junt. & Ald. pro vulg. χρησαμένη.

ἡ γὰρ τῶν Ἐφόρων κατάστασις, οὐκ ἄνεσις ἦν, ἀλλ᾽ ἐπίτασις τῆς πολιτείας, καὶ δοκοῦσα πρὸς τοῦ δήμου γεγονέναι, σφοδροτέραν ἐποίησε τὴν ἀριστοκρατίαν.

XXX. Ἄγιδος δὲ βασιλεύοντος, εἰσεῤῥύη νόμισμα πρῶτον εἰς τὴν Σπάρτην, καὶ μετὰ τοῦ νομίσματος, πλεονεξία καὶ πλούτου ζῆλος ἐπέβη, διὰ Λύσανδρον [1]. ὃς αὐτὸς ὢν ἀνάλωτος [2] ὑπὸ χρημάτων, ἐνέπλησε τὴν πατρίδα φιλοπλουτίας καὶ τρυφῆς, καὶ χρυσὸν καὶ ἄργυρον ἐκ τοῦ πολέμου καταταγαγὼν, καὶ τοὺς Λυκούργου καταπολιτευσάμενος νόμους. ὧν ἐπικρατούντων πρότερον, οὐ πόλεως ἡ Σπάρτη πολιτείαν, ἀλλ᾽ ἀνδρὸς ἀσκητοῦ καὶ σοφοῦ βίον ἔχουσα, μᾶλλον δ᾽, ὥσπερ οἱ ποιηταὶ τὸν Ἡρακλέα μυθολογοῦσι δέρμα καὶ ξύλον ἔχοντα τὴν οἰκουμένην ἐπιπορεύεσθαι, κολάζοντα τοὺς παρανόμους καὶ θηριώδεις τυράννους, οὕτως ἡ πόλις ἀπὸ σκυτάλης μιᾶς καὶ τρίβωνος ἄρχουσα τῆς Ἑλλάδος ἑκούσης καὶ βουλομένης, κατέλυε [3] τὰς ἀδίκους δυναστείας καὶ τυραννίδας ἐν τοῖς πολιτεύμασι, καὶ πολέμους ἐβράβευε, καὶ στάσεις κατέπαυε, πολλάκις οὐδ᾽ ἀσπίδα κινήσασα μίαν, ἀλλ᾽ ἕνα πέμψασα πρεσβευτὴν, ᾧ πάντες εὐθὺς ἐποίουν τὸ προστασσόμενον, ὥσπερ αἱ μέλισσαι φανέντος ἡγεμόνος, συντρέχοντες καὶ κατακοσμούμενοι. τοσοῦτον περιῆν εὐνομίας τῇ πόλει καὶ δικαιοσύνης. ὅθεν ἔγωγε θαυμάζω τῶν λεγόντων, ὡς ἄρχεσθαι μὲν ᾔδεσαν, ἄρχειν δ᾽ οὐκ ἠπίσταντο Λακεδαιμόνιοι. καὶ τὸν Θεοπόμπου τοῦ βασιλέως οὐκ [4] ἐπαινούντων λόγον, ὃς, εἰπόντος τινὸς, σώζεσθαι τὴν Σπάρτην διὰ τοὺς βασιλεῖς ἀρχικοὺς

1 Vulg. vitiose dant δι᾽ Ἀλέξανδρον, μᾶλλον δὲ διὰ Λύσανδρον.

2 Anon. εὐάλωτος; V. ἀναλώματος.

3 Junt. & Ald. dant κατέλυσε.

4 R. addidit de suo, sensuique Plutarchi necessarium duxit. Prorsus ab eo dissentit Schirach, hanc particulam falsam existimans.

κὰς γεγονότας, Μᾶλλον, εἶπε [1], διὰ τὰς πολίτας πειθαρχικὰς ὄντας. ὰ γὰρ ἀκάειν ὑπομένασι τῶν προςατεῖν μὴ δυναμένων· ἀλλ' ἡ πειθαρχία μάθημα μέν ἐςιν ἄρχοντος. ἐμποιεῖ γὰρ ὁ καλῶς ἄγων, τὸ καλῶς ἕπεσθαι. καὶ καθάπερ ἱππικῆς τέχνης ἀποτέλεσμα, πρᾶον ἵππον καὶ πειθήνιον παραχεῖν, ὅτω βασιλικῆς ἐπιςήμης ἔργον, εὐπείθειαν ἐργάσασθαι [2]. Λακεδαιμόνιοι δὲ ὰκ εὐπείθειαν, ἀλλ' ἐπιθυμίαν ἐνειργάζοντο τοῖς ἄλλοις τὰ ἄρχεσθαι καὶ ὑπακάειν αὐτοῖς. ἤταν γὰρ ὰ ναῦς, ὅτε χρήματα παρ' αὐτῶν, ὰδ' ὁπλίτας, πέμποντες, ἀλλὰ ἕνα Σπαρτιάτην ἡγεμόνα· καὶ λαβόντες ἐχρῶντο μετὰ τιμῆς καὶ δέας. ὥσπερ Γυλίππῳ Σικελιῶται, καὶ Βρασίδᾳ Χαλκιδεῖς, Λυσάνδρῳ δὲ, καὶ Καλλικρατίδᾳ καὶ Ἀγησιλάῳ, πάντες οἱ τὴν Ἀσίαν οἰκᾶντες· τὰς μὲν ἄνδρας, ἁρμοςὰς καὶ σωφρονιςὰς τῶν ἑκαςαχᾶ δήμων καὶ ἀρχόντων ὀνομάζοντες [3], πρὸς δὲ σύμπασαν τὴν [4] τῶν Σπαρτιατῶν πόλιν, ὥσπερ παιδαγωγὸν, ἢ διδάσκαλον εὐσχήμονος βία καὶ τεταγμένης πολιτείας, ἀποβλέποντες. εἰς ὃ καὶ Στρατόνικος [5] ἐπισκῶψαι δοκεῖ μετὰ παιδιᾶς νομοθετῶν καὶ κελεύων, Ἀθηναίας ἄγειν μυςήρια καὶ πομπὰς, Ἠλείας δ' ἀγωνοθετεῖν, ὡς κάλλιςα τᾶτο ποιᾶντας· Λακεδαιμονίας δ', ἂν ἁμαρτάνωσιν ἔτοι, δέρεσθαι. καὶ τᾶτο μὲν εἴρηται χάριν τᾶ γελοία· Ἀντισθένης δὲ ὁ Σωκρατικὸς ἀπὸ τῆς ἐν Λεύκτροις μάχης ὁρῶν τὰς Θηβαίας μέγα φρονᾶντας, ὰδὲν αὐτὰς ἔφη διαφέρειν παιδαρίων ἐπὶ τῷ συγκόψαι τὸν παιδαγωγὸν γαυριώντων.

XXXI.

1 V. εἰπεῖν.
2 Br. mavult ἐνεργάσασθαι, ut paulo post ἐνειργάσαντο.
3 Br. mavult νομίζοντες.
4 deest Juntinæ, sed habet Aldina.
5 Post hoc nomen videtur R. ἀποβλέπων deesse; aut sic leg. ἀποβλέποντες, ἴσα (adverb. pro ὡς) καὶ Στρατόνικος, ὅς ἐπισκῶψαι —

XXXI. Οὐ μὴν τῦτό γε τῷ Λυκύργῳ κεφάλαιον ἦν τότε, πλείςων ἡγύμένην ἀπολιπεῖν τὴν πόλιν· ἀλλ' ὥσπερ ἑνὸς ἀνδρὸς βίῳ [1] καὶ πόλεως ὅλης νομίζων εὐδαιμονίαν ἀπ' ἀρετῆς ἐγγίνεσθαι καὶ ὁμονοίας τῆς πρὸς αὐτὴν, πρὸς τῦτο συνέταξε καὶ συνήρμοσεν, ὅπως ἐλευθέριοι καὶ αὐτάρκεις γενόμενοι καὶ σωφρονῦντες ἐπὶ πλεῖςον χρόνον διατελῶσι. ταύτην καὶ Πλάτων ἔλαβε τῆς πολιτείας ὑπόθεσιν, καὶ Διογένης, καὶ Ζήνων, καὶ πάντες, ὅσοι τι περὶ τύτων ἐπιχειρήσαντες εἰπεῖν ἐπαινῦνται, γράμματα καὶ λόγυς ἀπολιπόντες μόνον. ὁ δ' ὐ γράμμασι καὶ λόγοις [2], ἀλλ' ἔργῳ πολιτείαν ἀμίμητον εἰς φῶς προενεγκάμενος [3], καὶ τοῖς ἀνύπαρκτον εἶναι τὴν λεγομένην περὶ τον σοφὸν διάθεσιν [4] ὑπολαμβάνυσιν, ἐπιδείξας ὅλην τὴν πόλιν φιλοσοφῦσαν, εἰκότως ὑπερῆρε τῇ δόξῃ τὺς πώποτε πολιτευσαμένυς ἐν τοῖς Ἕλλησι. δι' ὅπερ [5] Ἀριςοτέλης ἐλάττονας σχεῖν φησι τιμὰς, ἢ προσῆκον ἦν αὐτὸν ἔχειν ἐν Λακεδαίμονι, καίπερ ἔχοντα τὰς μεγίςας. ἱερόν τε γάρ ἐςιν αὐτῦ, καὶ θύυσι καθ' ἕκαςον ἐνιαυτὸν ὡς Θεῷ. λέγεται δὲ, καὶ τῶν λειψάνων αὐτῦ κομιθέντων οἴκαδε, κεραυνὸν εἰς τὸν τάφον κατασκῆψαι. τῦτο δ' ὐ ῥᾳδίως ἑτέρῳ τινὶ τῶν ἐπιφανῶν, πλὴν Εὐριπίδῃ συμπεσεῖν ὕςερον, τελευτήσαντι, καὶ ταφέντι τῆς Μακεδονίας περὶ Ἀρέθυσαν. ὥς' ἀπολόγημα καὶ μαρτύριον μέγα εἶναι τοῖς [6] ἀγαπῶσι τὸν Εὐριπίδην, τὸ μόνῳ συμπεσεῖν αὐτῷ μετὰ τελευτὴν, καὶ γενέσθαι, ἃ τῷ θεοφιλεςάτῳ [7] καὶ

1 Poſt βίῳ aut addendum ἔτω, aut certe ſubaudiendum cenſet R.

2 Ex emend. R. pro vulg. γράμματα καὶ λόγυς.

3 Ex emend. R. — Vulg. προσενεγκ. — V. εἰσενεγκάμενος.

4 V. σοφὸν διάλυσιν καὶ διάθεσιν.

5 V. ὁ δὲ Ἀρις.

6 Addidit Artic. R. e Junt. & Ald.

7 R. ſuſp. μετὰ τὴν τελευτὴν, ἃ καὶ Λυκύργῳ, τῷ πάντων θεοφιλεςάτῳ. V. ut videtur: ἃ αὐτῷ τῷ θεοφιλεςάτῳ καὶ θειοτάτῳ.

καὶ ὁσιωτάτῳ πρότερον συνέπεσε. τελευτῆσαι δὲ τὸν Λυκῦργον οἱ μὲν [1] ἐν Κίῤῥᾳ λέγεσιν· Ἀπολλόθεμις δ', εἰς Ἦλιν κομιθέντα· Τίμαιος δὲ καὶ Ἀριςόξενος, ἐν Κρήτῃ καταβιώσαντα· καὶ τάφον Ἀριςόξενος αὐτῦ δείκνυσθαί φησιν ὑπὸ Κρητῶν τῆς Περγαμίας περὶ τὴν ξενικὴν ὁδόν [2]. υἱὸν δὲ λέγεται μονογενῆ καταλιπεῖν Ἀντίωρον· ὖ τελευτήσαντος ἀτέκνυ, τὸ γένος ἐξέλιπεν. οἱ δ' ἑταῖροι καὶ οἰκεῖοι διαδοχήν τινα καὶ σύνοδον ἐπὶ πολλὺς χρόνυς διαμείνασαν κατέστησαν, καὶ τὰς ἡμέρας, ἐν αἷς συνήρχοντο, Λυκυργίδας προσηγόρευσαν. Ἀριςοκράτης δὲ ὁ Ἱππάρχυ φησὶ τὺς ξένυς τῦ Λυκύργυ τελευτήσαντος [3] ἐν Κρήτῃ καῦσαι τὸ σῶμα καὶ διασπεῖραι τὴν τέφραν εἰς τὴν θάλασσαν, αὐτῦ δεηθέντος, καὶ φυλαξαμένυ, μή ποτε ἄρα τῶν λειψάνων εἰς Λακεδαίμονα κομιθέντων, ὡς ἐπανήκοντος αὐτῦ, καὶ τῶν ὅρκων λελυμένων, μεταβάλλωσι τὴν πολιτείαν. ταῦτα μὲν ὖν περὶ τῦ Λυκύργυ.

## ΝΟΥΜΑΣ.

ΕΣΤΙ δὲ καὶ περὶ τῶν Νυμᾶ τῦ βασιλέως χρόνων, καθ' ὓς γέγονε, νεανικὴ διαφορὰ, καίπερ ἐξ ἀρχῆς εἰς τῦτον κατάγεσθαι τῶν [4] ςεμμάτων ἀκριβῶς δοκύντων. ἀλλὰ Κλώδιός [5] τις ἐν ἐλέγχῳ χρόνων, ὕτω γάρ πως ἐπιγέγραπται τὸ βιβλίον, ἰσχυρίζεται, τὰς μὲν ἀρχαίας ἐκείνας ἀναγραφὰς ἐν τοῖς Κελτικοῖς πάθεσι τῆς

1 V. δὲ αὐτὸν οἱ μέν.

2 Dacer. notat ξένην legi in Ms. Florent. Eadem vox eſt in Junt. & Ald. Ita etiam legiſſe videtur Lapus.

3 V. e Junt. τῦ Ἱππάρχυ τελευτήσαντος, μᾶλλον δὲ τῦ Λυκύργυ. Lectio, ut alibi, mendoſa. Cf. cap. 30.

4 R. ſuſp. τινῶν ς. aut τῶν λαμπροτάτων.

5 Vulg. dant καὶ Κλ. quod ex ſententia Br. ſecundum Flor. & Ald. delendum.

τῆς πόλεως ἠφανίσθαι· τὰς δὲ νῦν φαινομένας, ἐκ ἀληθῶς συγκεῖσθαι, δι' ἀνδρῶν χαριζομένων τισὶν, εἰς τὰ πρῶτα γένη καὶ τὰς ἐπιφανεστάτας οἴκας ἐξ ἐ προσηκόντων εἰσβιαζομένοις. λεγομένε δ' ἐν ὡς Νεμᾶς γένοιτο Πυθαγόρε συνήθης, οἱ μὲν ὅλως ἀξιᾶσι μηδὲν Ἑλληνικῆς παιδεύσεως Νεμᾶ μετεῖναι, καθάπερ ἢ φύσει δυνατὸν [1] καὶ αὐτάρκη γενέσθαι πρὸς ἀρετὴν, ἢ βελτίονι Πυθαγόρε βαρβάρῳ τινὶ τὴν τε βασιλέως ἀποδᾶναι [2] παίδευσιν· οἱ δὲ Πυθαγόραν μὲν ὀψὲ γενέσθαι, καὶ [3] τῶν Νεμᾶ χρόνων ὁμε τι πέντε γενεαῖς ἀπολειπόμενον· Πυθαγόραν δὲ τὸν Σπαρτιάτην, Ὀλύμπια νενικηκότα ςάδιον ἐπὶ τῆς ἑκκαιδεκάτης Ὀλυμπιάδος, ἧς ἔτει τρίτῳ Νεμᾶς εἰς τὴν βασιλείαν κατέςη, πλανηθέντα περὶ τὴν Ἰταλίαν συγγενέσθαι τῷ Νεμᾷ, καὶ συνδιακοσμῆσαι τὴν βασιλείαν [4]. ὅθεν ἐκ ὀλίγα τοῖς Ῥωμαϊκοῖς ἐπιτηδεύμασι τῶν Λακωνικῶν [5] ἀναμεμίχθαι, Πυθαγόρε [6] διδάξαντος. ἄλλως δὲ Νεμᾶς, γένος μὲν ἦν ἐκ Σαβίνων· Σαβῖνοι δὲ βέλονται Λακεδαιμονίων ἑαυτὰς ἀποίκας γεγονέναι. τὰς μὲν ἐν χρόνες ἐξακριβῶσαι χαλεπόν ἐςι, καὶ μάλιςα τὰς ἐκ τῶν Ὀλυμπιονίκων [7] ἀναγομένας [8]. ὧν τὴν ἀναγραφὴν ὀψὲ φασὶν Ἱππίαν ἐκδᾶναι τὸν Ἠλεῖον [9], ἀπ' ἐδενὸς ὁρμώμενον ἀναγκαίε πρὸς πίςιν. ἃ δὲ παρειλήφαμεν ἄξια

1 Post h. v. videtur R. deesse οἰόμενοι, aut simile quid.

2 Post h. v. R. videtur deesse προσῆκον.

3 deest Juntinae; nec non mox sequens πέντε. Eadem dat γενεάς.

4 V. τὴν πολιτείαν.

5 Junt. & Ald. Λακώνων.

6 R. addendum censet τἄτε aut τεδί.

7 H. Steph. scribi mavult ὀλυμπιονικῶν; derivandum ab ὀλυμπιονίκης, victor Olympicus, aut ab ὀλυμπιονίκη, victoria Olympica.

8 R. mavult ἀναγραφομένας.

9 Meziriacus corrigit Δήλιον. Lectionem tamen vulg. R. argumentis defendit satis idoneis.

ἄξια λόγου ἡμεῖς περὶ Νουμᾶ διέξιμεν, ἀρχὴν οἰκείαν λαβόντες.

II. Ἕβδομον ἐνιαυτὸν ἡ Ῥώμη καὶ τριακοστὸν ἤδη, Ῥωμύλου βασιλεύοντος, ᾠκεῖτο· πέμπτῃ [1] δὲ ἱσταμένου μηνὸς, ἣν νῦν ἡμέραν Νόννας Καπρατίνας καλοῦσι, θυσίαν τινὰ δημοτελῆ πρὸ τῆς πόλεως ὁ Ῥωμύλος ἔθυε περὶ τὸ καλούμενον Αἰγὸς ἕλος, καὶ παρῆν ἥ τε βουλὴ καὶ τοῦ δήμου τὸ πλεῖστον. ἐξαίφνης δὲ μεγάλης περὶ τὸν [2] ἀέρα τροπῆς [3] γενομένης, καὶ νέφους ἐπὶ τὴν γῆν ἐρείσαντος ἅμα πνεύματι καὶ ζάλῃ, τὸν μὲν ἄλλον ὅμιλον ἐκπλαγέντα συνέβη φυγεῖν καὶ σκεδασθῆναι, τὸν δὲ Ῥωμύλον ἀφανῆ γενέσθαι, καὶ μήτ' αὐτὸν ἔτι, μήτε σῶμα τεθνηκότος εὑρεθῆναι· χαλεπὴν δέ τιν' ὑπόνοιαν [4] ἅψασθαι τῶν πατρικίων, καὶ ῥυῆναι λόγον ἐν τῷ δήμῳ κατ' αὐτῶν, ὡς πάλαι βαρυνόμενοι τῷ βασιλεύεσθαι, καὶ μεταστῆσαι τὸ κράτος εἰς ἑαυτοὺς θέλοντες, ἀνέλοιεν τὸν βασιλέα. καὶ γὰρ ἐδόκει τραχύτερον ἤδη προσφέρεσθαι καὶ μοναρχικώτερον αὐτοῖς. ἀλλὰ ταύτην μὲν τὴν ὑποψίαν ἐθεράπευον, εἰς Θεῶν τιμὰς ἀνάγοντες ὡς οὐ τεθνηκότα τὸν Ῥωμύλον, ἀλλὰ κρείττονος ὄντα μοίρας. καὶ Πρόκλος, ἀνὴρ ἐπιφανὴς, διωμόσατο Ῥωμύλον ἰδεῖν εἰς οὐρανὸν σὺν τοῖς ὅπλοις ἀναφερόμενον, καὶ φωνῆς ἀκοῦσαι κελεύοντος αὐτὸν [5] ὀνομάζεσθαι Κυρῖνον· ἑτέρα δὲ ταραχὴ καὶ στάσις κατελάμ-

1 Corrigit Mezir. ἑβδόμῃ δὲ πέμπτου, quia Nonæ Capratinæ in Romulo dicuntur eædem esse cum Nonis Quintilibus, f. Juliis; hæ autem semper in septimum diem istius mensis inciderunt. Schirach & Kind sequuntur hanc conjecturam. R. post seq. μηνὸς videtur nomen mensis Quintilis deesse, quod meo judicio minus est necessarium, quam diei determinatio.

2 V. περὶ τὴν.

3 Secundum H. Steph. legitur in quibusdam ταραχῆς. Eadem vox supra in Rom. c. 27.

4 Ita dedit R. de suo. V. τὴν ὑπον.

5 Br. vult αὐτόν.

ελάμβανε τὴν πόλιν ὑπὲρ τοῦ μέλλοντος ἀποδειχθήσεσθαι βασιλέως, οὔπω τῶν ἐπηλύδων κομιδῇ τοῖς πρώτοις συγκεκραμένων πολίταις, ἀλλ' ἔτι τοῦ τε δήμου πολλὰ κυμαίνοντος ἐν ἑαυτῷ, καὶ τῶν πατρικίων ἐν ὑποψίαις ἐκ τοῦ διαφόρου πρὸς ἀλλήλους ὄντων. οὐ μὴν ἀλλὰ βασιλεύεσθαι μὲν ἐδόκει πᾶσιν· ἤρισαν δὲ [1] καὶ διέστησαν οὐχ ὑπὲρ ἀνδρὸς μόνον, ἀλλὰ καὶ γένους, ὁπότερον παρέξει τὸν ἡγεμόνα. καὶ γὰρ οἱ μετὰ Ῥωμύλου πρῶτοι συνοικίσαντες τὴν πόλιν, οὐκ ἀνασχετὸν ἐποιοῦντο πόλεως καὶ χώρας τοὺς Σαβίνους μεταλαβόντας, ἄρχειν βιάζεσθαι τῶν ἐπὶ ταῦτα δεξαμένων· καὶ τοῖς Σαβίνοις ἦν τις εὐγνώμων λόγος, ἐπεὶ Τατίου τοῦ βασιλέως αὐτῶν ἀποθανόντος οὐκ ἐστασίασαν πρὸς Ῥωμύλον, ἀλλ' εἴασαν ἄρχειν μόνον, αὖθις ἀξιούντων τὸν ἄρχοντα γενέσθαι παρ' αὐτῶν. οὔτε γὰρ ἐκ ταπεινοτέρων κρείττοσι προσγενέσθαι, καὶ προσγενόμενοι πλήθει τε ῥῶσαι καὶ προαγαγεῖν εἰς ἀξίωμα πόλεως ἐκείνους μεθ' ἑαυτῶν. ὑπὲρ μὲν οὖν τούτων ἐστασίαζον. ὅπως δὲ μὴ σύγχυσιν ἐκ τῆς ἀναρχίας ἡ στάσις ἀπεργάσηται, μετεώρου τοῦ πολιτεύματος ὄντος, ἔταξαν οἱ πατρίκιοι, πεντήκοντα καὶ ἑκατὸν ὄντων αὐτῶν, ἐν μέρει ἕκαστον τοῖς βασιλικοῖς παρασήμοις κοσμούμενον, θύειν τε τοῖς Θεοῖς τὰ νενομισμένα καὶ χρηματίζειν, ἓξ μὲν ὥρας τῆς νυκτὸς, ἓξ δὲ τῆς ἡμέρας Κυρίνῳ καὶ Τατίῳ [2].

 καὶ

1 Ita ex conjectura Br. pro vulg. τι; & in seq. μόνον pro vulg. μόνου ex V.

2 In hac lectione Reiske Bryanum est secutus. Vulgatæ dant Κυρίνῳ solum. Hanc vocem delent Salmasius in notis ad Vopiscum, & Vulcob. — J. Auratus, Anon. & Amiot. legunt κύριον ὄντα, s. κυριεύοντα, quibus consentiunt Dacer. & Mezir. — Bryano ex versione Lapi : — sex horas noctis, & sex diei Quirino, tantundem vero Tatio distribuentes — suspicio incidit, non delendum esse Κυρίνῳ, sed supplendum καὶ Τατίῳ, ut divisum imperium exerceretur sub utriusque & Tatii & Romuli

καὶ γὰρ ἡ διανομὴ τῶν καιρῶν ἑκατέρυ πρὸς ἰσότητα καλῶς ἔχειν ἐδόκει τοῖς ἄρχυσι, καὶ πρὸς τὸν δῆμον ἡ μεταβολὴ τῆς ἐξυσίας ἀφαιρεῖν τὸν φθόνον, ὁρῶντα τῆς αὐτῆς ἡμέρας καὶ νυκτὸς τὸν αὐτὸν ἰδιώτην ἐκ βασιλέως γενόμενον. τὸ δὲ σχῆμα τῦτο τῆς ἀρχῆς μεσοβασιλείαν [1] Ῥωμαῖοι καλῦσιν.

III. Ἀλλὰ καίπερ ὕτω πολιτικῶς καὶ ἀνεπαχθῶς ἀφηγεῖσθαι δοκῦντες, ὑπονοίαις [2] καὶ θορύβοις περιέπιπτον, ὡς μεθιστάντες εἰς ὀλιγαρχίαν τὰ πράγματα, καὶ διαπαιδαγωγῦντες ἐν σφίσιν αὐτοῖς τὴν πολιτείαν, βασιλεύεσθαι δ᾽ ὐκ ἐθέλοιεν [3]. ἐκ τύτυ συνέβησαν ἀμφότεραι πρὸς ἀλλήλας αἱ στάσεις, ὥστε τὴν ἑτέραν ἐκ τῆς ἑτέρας ἀποδεῖξαι βασιλέα. μάλιστα γὰρ ἂν ὕτως ἔν τε τῷ παρόντι παύσασθαι τὴν φιλονεικίαν, καὶ τὸν ἀποδειχθέντα πρὸς ἀμφοτέρυς [4] ἴσον γενέσθαι, τὺς μὲν ὡς ἑλομένυς ἀγαπῶντα, τοῖς δ᾽ εὔνυν ὄντα διὰ συγγένειαν. ἐπιτρεψάντων δὲ προτέροις τοῖς Ῥωμαίοις τῶν Σαβίνων τὴν αἵρεσιν, ἔδοξε μᾶλλον ἑλέσθαι Σαβῖνον αὐτὺς ἀποδείξαντας, ἢ παρασχεῖν [5] Ῥωμαῖον ἐκείνων ἑλομένων. καὶ βυλευσάμενοι καθ᾽ ἑαυτὺς ἀποδεικνύυσιν ἐκ Σαβίνων Νυμᾶν Πομπίλιον, ἄνδρα τῶν μὲν εἰς Ῥώμην ἀπῳκισμένων [6] ὐ γενόμενον, γνώριμον δ᾽ ὕτω δι᾽

muli auspiciis. In subsidium vocat Br. sequens ἑκατέρυ, quod referendum censet ad Quirinum & Tatium modo memoratos. Quid ego sentiam, conferas velim annot. ad h. l. in f. vol.

1 Alii sec. H. Steph. μεσοβασίλειον, cum σχῆμα jung. — Mavult tamen lectionem alteram.

2 Pro ἀπονοίαις, quod est in Junt. & Ald. ex vet. cod. H. Steph. reposuit.

3 R. mavult ἐθέλοντες.

4 Junt. & Ald. πρὸς ἀμφοτέροις. Quæ lectio si præferatur, R. præpos. πρὸς delendam censet.

5 R. quærit, num πάσχειν? — sequens Ῥωμαῖον ab Ald. profectum est. Junt. dat Ῥωμαίοις.

6 Hanc lect. dat Ald. — Junt. vitiose dat ἀποικισάμενον.

δι' ἀρετὴν ὄντα πᾶσιν, ὥστε τῶν ἑλομένων προθυμότερον, ὀνομασθέντος αὐτοῦ, δέξασθαι τοὺς Σαβίνους. Φράσαντες οὖν τῷ δήμῳ τὰ δεδογμένα, πρέσβεις ἐκπέμπουσι πρὸς τὸν ἄνδρα κοινῇ τοὺς πρωτεύοντας ἀπ' ἀμφοτέρων, ἥκειν δεησομένους, καὶ παραλαβεῖν τὴν βασιλείαν. ἦν δὲ πόλεως μὲν ὁ Νουμᾶς ἐπιφανοῦς ἐν Σαβίνοις τῆς Κυριτῶν, ἀφ' ἧς Κυρίτας Ῥωμαῖοι σφᾶς αὐτοὺς ἅμα τοῖς ἀνακηρυχθεῖσι [1] Σαβίνοις προσηγόρευσαν, υἱὸς δὲ Πομπωνίου, ἀνδρὸς εὐδοκίμου, τεσσάρων ἀδελφῶν νεώτατος· ἡμέρᾳ δὲ γεγονὼς, κατὰ δή τινα θείαν τύχην, ἐν ᾗ τὴν Ῥώμην ἔκτισαν οἱ περὶ Ῥωμύλον· αὕτη δέ ἐστι πρὸ δεκαμιᾶς [2] καλανδῶν Μαΐων. Φύσει δὲ πρὸς [3] πᾶσαν ἀρετὴν εὖ κεκραμένος τὸ ἦθος, ἔτι μᾶλλον αὐτὸν [4] ἐξημέρωσε διὰ παιδείας καὶ κακοπαθείας καὶ φιλοσοφίας· οὐ μόνον τὰ λοιδορούμενα πάθη τῆς ψυχῆς, ἀλλὰ καὶ τὴν εὐδοκιμοῦσαν ἐν τοῖς βαρβάροις βίαν καὶ πλεονεξίαν ἐκποδὼν ποιησάμενος, ἀνδρείαν δ' ἀληθῆ, τὴν ὑπὸ λόγου τῶν ἐπιθυμιῶν ἐν αὐτῷ κάθειρξιν [5] ἡγούμενος. ἐκ δὲ τούτου, πᾶσαν οἴκοθεν ἅμα τρυφὴν καὶ πολυτέλειαν ἐξελαύνων, παντὶ δὲ πολίτῃ καὶ ξένῳ χρῆσθαι παρέχων ἑαυτὸν ἄμεμπτον δικαστὴν καὶ σύμβουλον, αὐτὸς δ' ἑαυτῷ σχολάζοντι χρώμενος οὐδὲν [6] πρὸς ἡδυπαθείας καὶ πορισμοὺς, ἀλλὰ θεραπείαν Θεῶν καὶ θεωρίαν διὰ λόγου φύσεώς τ' αὐτῶν



1 R. quaerit, num ἀνακληρουχηθεῖσι? — Auratus ex conjectura ἀνακραθεῖσι. Ita etiam Anon. — qui & paulo ante pro τῆς Κυριτῶν habet τῆς Κύρεων, quod Br. placuit.

2 V. δεκατριῶν e Junt. — Lap. male vertit XIV. Cal. — Amiot. XX. April.

3 V. εἰς.

4 Ita ex conject. Br. pro vulg. αὐτὸν, qui &'in seq. pro vulg. ἐν αὐτῷ voluit ἐν αὑτῷ.

5 Ita Aldina. Flor. & V. καθίξειν. Hinc Br. susp. κάθιξιν.

6 Ex emend. R. pro vulg. οὐδέ.

καὶ δυνάμεως, ὄνομα μέγα καὶ δόξαν εἶχεν, ὥστε καὶ Τάτιον τὸν ἐν Ῥώμῃ συμβασιλεύσαντα Ῥωμύλῳ, μιᾶς αὐτῷ θυγατρὸς οὔσης Τατίας, ποιήσασθαι γαμβρὸν ἐκεῖνον. οὐ μὴν ἐπήρθη γε τῷ γάμῳ μετοικίσασθαι πρὸς τὸν πενθερὸν, ἀλλ᾽ αὐτοῦ περιέπων πατέρα γηραιὸν ἐν Σαβίνοις ἐπέμενεν [1], ἅμα καὶ τῆς Τατίας ἑλομένης τὴν τοῦ ἀνδρὸς ἰδιώτου ὄντος ἡσυχίαν πρὸ τῆς ἐν Ῥώμῃ διὰ τὸν πατέρα τιμῆς καὶ δόξης. αὕτη μὲν οὖν λέγεται τρίτῳ καὶ δεκάτῳ μετὰ τὸν γάμον ἔτει τελευτῆσαι.

IV. Ὁ δὲ Νουμᾶς ἐκλιπὼν τὰς ἐν ἄστει διατριβὰς, ἀγραυλεῖν τὰ πολλὰ καὶ πλανᾶσθαι μόνος ἤθελεν, ἐν ἄλσεσι Θεῶν, καὶ λειμῶσιν ἱεροῖς, καὶ τόποις ἐρήμοις ποιούμενος τὴν δίαιταν. ὅθεν οὐχ ἥκιστα τὴν ἀρχὴν ὁ περὶ τῆς Θεᾶς ἔλαβε λόγος, ὡς ἄρα Νουμᾶς ἐκεῖνος [2] οὐκ ἀδημονίᾳ τινὶ ψυχῆς καὶ πλάνῃ τὸν μετ᾽ ἀνθρώπων ἀπολέλοιπε [3] βίον, ἀλλὰ σεμνοτέρας γεγευμένος ὁμιλίας, καὶ γάμων θείων ἠξιωμένος, Ἠγερίᾳ [4] δαίμονι συνὼν ἐρώσῃ καὶ συνδιαιτώμενος, εὐδαίμων ἀνὴρ καὶ τὰ θεῖα πεπνυμένος γέγονεν. ὅτι μὲν οὖν ταῦτα πολλοῖς τῶν πάνυ παλαιῶν μύθων ἔοικεν, οὓς οἱ Φρύγες τε περὶ Ἄττεω, καὶ Βιθυνοὶ περὶ Ἡροδότου, καὶ περὶ Ἐνδυμίωνος Ἀρκάδες, ἄλλων τε πολλῶν [5] εὐδαιμόνων δή τινων καὶ θεοφιλῶν γενέσθαι δοκούντων, παραλαβόντες ἠγάπησαν, οὐκ ἄδηλόν ἐστι. καί που λόγος ἔχει, τὸν Θεὸν, οὐ φίλιππον, οὐδὲ φίλορνιν, ἀλλὰ φιλάνθρωπον ὄντα, τοῖς διαφερόντως ἀγαθοῖς ἐθέλειν συνεῖναι,

καὶ

1 V. ὑπέμενεν.

2 R. aut νουμᾶς aut ἐκεῖνος tollendum censet, cum alterutrum sit superfluum.

3 V. ἀπολελοίπει.

4 V. Ἠγερίδᾳ vel Ἠγερίδα.

5 R. susp. ἄλλων τε πολλοὶ πολλῶν.

καὶ μὴ δυσχεραίνειν, μηδ' ἀτιμάζειν ἀνδρὸς θείε [1] καὶ σώφρονος ὁμιλίαν. ὡς δὲ καὶ σώματος ἀνθρωπίνε καὶ ὥρας ἐςί τις Θεῷ καὶ δαίμονι κοινωνία καὶ χάρις, ἔργον ἤδη καὶ τῦτο πειθῆναι. καίτοι δοκῦσιν ὐκ ἀπιθάνως Αἰγύπτιοι διαιρεῖν, ὡς γυναικὶ μὲν ὐκ ἀδύνατον πνεῦμα πλησιάσαι Θεῦ, καί τινας ἐντεκεῖν ἀρχὰς γενέσεως, ἀνδρὶ δ' ὐκ ἔςι σύμμιξις πρὸς Θεὸν, ὐδ' ὁμιλία σώματος. ἀγνοῦσι δὲ, ὅτι τὸ μιγνύμενον, ᾧ μίγνυται, τὴν ἴσην ἀνταποδίδωσι κοινωνίαν. ὐ μὴν ἀλλὰ φιλίαν γε πρὸς ἄνθρωπον εἶναι Θεῶν [2], καὶ τὸν ἐπὶ ταύτῃ λεγόμενον ἔρωτα, καὶ φυόμενον εἰς ἐπιμέλειαν ἤθυς καὶ ἀρετῆς, πρέπον ἂν εἴη. καὶ ὐ πλημμελῦσιν οἱ τὸν Φόρβαντα καὶ τὸν Ὑάκινθον καὶ τὸν Ἄδμητον ἐρωμένυς Ἀπόλλωνος γεγονέναι μυθολογῦντες, ὥσπερ αὖ καὶ τὸν Σικυώνιον Ἱππόλυτον, ὃς δὴ [3] καί, φασιν, ὁσάκις τύχοι διαπλέων εἰς Κίῤῥαν ἐκ Σικυῶνος, αὐτῷ χρᾶν τὴν Πυθίαν, οἷον αἰσθανομένυ τῦ Θεῦ, καὶ χαίροντος [4] ἀποθεσπίζειν τόδε τὸ ἡρῷον·

Καὶ δ' [5] αὖθ' Ἱππολύτοιο φίλον κάρα εἰς ἅλα βαίνει.

Πινδάρυ δὲ καὶ [6] τῶν μελῶν ἐραςὴν γενέσθαι τὸν Πᾶνα μυθο-



1 Legi etiam ὁσίε, declarat H. Steph.

2 V. Θεῷ.

3 Ita dedit R. de suo pro vulg. ῦ δή. — H. Steph. scribendum censuit περὶ ῦ δή; V. legit ᾧ δή, & seq. linea delet αὐτῷ. Br. probat ᾧ δὴ & pro αὐτῷ legendum censet αὐτόθι, *confestim*.

4 Vulgatae hanc vocem cum praeced. conjungunt, & a seq. per comma distingunt. Id R. sustulit, sensumque planiorem fecit, cum cohaereat cum ἀποθεσπ. — quasi numine sentiente atque gaudente oraculum fundere. Br. secundum lect. vulg. pro ἀποθεσπίζειν maluit ἀποθεσπίζυσαν, ref. ad Πυθίαν.

5 Br. vult καδδ' αὖθ' pro κατὰ δὲ, jungend. cum βαίνει. R. explicat vulg. lect. per καὶ δὴ αὖθις; ecce iterum.

6 Aut delendum censet R. aut ante nomen Pindari ponendum. Post seq. μελῶν addit Anon. αὐτῦ.

μυθολογοῦσιν. ἀπέδωκε δέ τινα τιμὴν καὶ Ἀρχιλόχῳ καὶ Ἡσιόδῳ τελευτήσασι διὰ τὰς Μούσας τὸ δαιμόνιον. Σοφοκλεῖ δὲ καὶ ζῶντι τὸν Ἀσκληπιὸν ἐπιξενωθῆναι λόγος ἐστὶ, πολλὰ μέχρι δεῦρο διασώζων τεκμήρια· καὶ τελευτήσαντι τυχεῖν ταφῆς ἄλλος Θεὸς, ὡς λέγεται, παρέσχεν. ἆρα οὖν ἄξιόν ἐστι, ταῦτα συγχωροῦντας ἐπὶ τούτων, ἀπιστεῖν, εἰ Ζαλεύκῳ, καὶ Μίνῳ, καὶ Ζωροάστρῃ, καὶ Νουμᾷ, καὶ Λυκούργῳ, βασιλείας κυβερνῶσι, καὶ πολιτείας διακοσμοῦσιν, εἰς τὸ αὐτὸ ἐφοίτα τὸ δαιμόνιον; ἢ τούτοις μὲν εἰκός ἐστι [1] καὶ σπουδάζοντας Θεοὺς ὁμιλεῖν, ἐπὶ διδασκαλίᾳ καὶ παραινέσει τῶν βελτίστων· ποιηταῖς δὲ καὶ λυρικοῖς μινυρίζουσιν, εἴπερ ἄρα, χρῆσθαι παίζοντας; εἰ δὲ λέγει τις ἄλλως, κατὰ Βακχυλίδην, Πλατεῖα κέλευθος. οὐδὲ γὰρ ἅτερος λόγος ἔχει τι φαῦλον, ὃν περὶ Λυκούργου καὶ Νουμᾶ καὶ τοιούτων ἄλλων ἀνδρῶν λέγουσιν, ὡς δυσκάθεκτα καὶ δυσάρεστα πλήθη χειρούμενοι, καὶ μεγάλας ἐπιφέροντες ταῖς πολιτείαις καινοτομίας, προσεποιήσαντο τὴν ἀπὸ τοῦ Θεοῦ δόξαν, αὐτοῖς ἐκείνοις, πρὸς οὓς ἐσχηματίζοντο, σωτήριον οὖσαν.

V. Ἀλλὰ γὰρ ἔτος ἤδη διατελοῦντι τῷ Νουμᾷ τεσσαρακοστὸν, ἧκον ἀπὸ Ῥώμης οἱ πρέσβεις παρακαλοῦντες ἐπὶ τὴν βασιλείαν. τοὺς δὲ λόγους ἐποιήσατο Πρόκλος καὶ Οὐέλεσος, ὧν πρότερον ἐπίδοξος ἦν ὁ δῆμος αἱρήσεσθαι τὸν ἕτερον βασιλέα· Πρόκλῳ μὲν τῶν Ῥωμύλου λαῶν, Οὐελέσῳ δὲ τῶν Τατίου μάλιστα προσεχόντων. οὗτοι μὲν οὖν βραχέα διελέχθησαν, οἰόμενοι τῷ Νουμᾷ τὴν συντυχίαν ἀσπαζομένῳ γεγονέναι· ἦν δ' οὐ μικρὸν, ὡς ἔοικεν, ἔργον, ἀλλὰ καὶ λόγων πολλῶν καὶ δεή-

1 R. susp. εἰκὸς οὐκ ἔστι; an tu negabis, consentaneum esse? In seq. post χρῆσθαι subaudit idem εἰκός ἐστι, contra vero ajes consentaneum esse &c. Quare retinet interrogandi notam, quam deletam voluit Br. cum Flor. & Ald.

δεήσεως [1], τὸ πεῖσαι καὶ μεταστῆσαι γνώμην ἀνδρὸς ἡσυχίᾳ [2] καὶ εἰρήνῃ βεβιωκότος εἰς ἀρχὴν πόλεως τρόπον τινὰ γεγενημένης [3] πολέμῳ καὶ συνηυξημένης. ἔλεγεν οὖν τοῦ τε πατρὸς αὐτοῦ παρόντος, καὶ Μαρκίου, τῶν συγγενῶν ἑνὸς, ὡς Πᾶσα μὲν ἀνθρωπίνου βίου μεταβολὴ, σφαλερόν· ᾧ δὲ μήτ' ἄπεστί [4] τι τῶν ἱκανῶν, μήτε μεμπτόν [5] ἐστί τι τῶν παρόντων, τοῦτον οὐδὲν ἄλλο, πλὴν ἄνοια, μετακοσμεῖ καὶ μεθίστησιν ἐκ τῶν συνήθων· οἷς κἂν εἰ μηδὲν ἕτερον προσείη, τῷ βεβαιοτέρῳ [6] διαφέρει τῶν ἀδήλων. ἀλλ' οὐδ' ἄδηλα τὰ τῆς βασιλείας τοῖς Ῥωμύλου τεκμαιρομένῳ παθήμασιν, ὡς πονηρὰν μὲν αὐτὸς ἔλαβε δόξαν, ἐπιβουλεῦσαι [7] τῷ συνάρχοντι Τατίῳ, πονηρὰν δὲ τοῖς ὁμοτίμοις περιεποίησεν, ὡς ἀνῃρημένος ὑπ' αὐτῶν. καὶ [8] Ῥωμύλον μὲν οὗτοι παῖδα Θεῶν ὑμνοῦσι φήμαις, καὶ τροφήν τινα δαιμόνιον αὐτοῦ καὶ σωτηρίαν ἄπιστον ἔτι νηπίου λέγουσιν. ἐμοὶ δὲ καὶ γένος θνητόν ἐστι, καὶ τροφὴ καὶ παίδευσις ὑπ' ἀνθρώπων, ὧν οὐκ ἀγνοεῖτε, γεγενημένη. τὰ δ' ἐπαινούμενα τοῦ τρόπου, πόῤῥω [9] βασιλεύειν μέλλοντος ἀνδρὸς, ἡσυχία τε πολλὴ καὶ διατριβὴ περὶ λόγους ἀπράγμονας, καὶ ὁ [10] δεινὸς οὗτος καὶ σύντροφος εἰρή-



1 R. mavult δεήσεων.

2 H. Steph. legi vult ἐν ἡσυχίᾳ. Idem sentit R. aut legendum censet συμβεβιωκότος.

3 Br. mavult ἐγγεγενημένης.

4 Ex emend. R. pro vulg. μήδ' ἀπ.

5 Br. susp. μήτε τι μεμπτόν. Hoc τι adjecit R. post ἐστι.

6 R. susp. τῷ γε βεβαιοτέρῳ.

7 V. ἐπιβουλεῦσαι e Junt. & Ald. quod pro mendo typographico habendum. R. — Br. autem inde suspic. ἐπιβεβουλεῦσθαι. Anon. habet ἐπιβουλεύεσθαι.

8 In quodam cod. καί τοι sec. H. Steph.

9 Sic collocavit R. pro βασιλ. πορ. in vulg.

10 Ita emend. R. pro vulg. ὁ δὲ. Anon. dat ὅ, τι δεινός, quod placuit Br.

νης ἔρως καὶ πραγμάτων ἀπολέμων, καὶ ἀνθρώπων ἐπὶ τιμῇ Θεῶν καὶ φιλοφροσύναις εἰς τὸ αὐτὸ συνιόντων, τὰ δ' ἄλλα καθ' ἑαυτὲς γεωργέντων, ἢ νεμόντων. ὑμῖν δ', ὦ 'Ρωμαῖοι, πολλὲς μὲν ἴσως ἀβελήτες ἀπολέλοιπε πολέμες 'Ρωμύλος, οἷς ἀντερείδοντος ἡ πόλις ἐμπύρε δεῖται βασιλέως καὶ ἀκμάζοντος· πολλὴ δὲ καὶ συνήθεια καὶ προθυμία δι' εὐτυχίαν ἐγγέγονε [1] τῷ δήμῳ, καὶ ἐδένα λέληθεν αὔξεσθαι καὶ κρατεῖν ἑτέρων βελόμενος· ὥςε καὶ γέλως ἂν εἴη τἀμὰ [2], θεραπεύοντος Θεὲς [3] καὶ δίκην τιμᾷν, βίαν δὲ καὶ πόλεμον ἐχθραίνειν [4] διδάσκοντος πόλιν, ςρατηλάτε μᾶλλον, ἢ βασιλέως δεομένην.

VI. Τοιέτοις λόγοις [5] ἀφοσιεμένε τὴν βασιλείαν τε ἀνδρὸς, οἵ τε 'Ρωμαῖοι πᾶσαν ἐποιεῦντο σπεδὴν ἀντιβολεῦντες, καὶ δεόμενοι μὴ σφᾶς αὖθις εἰς ςάσιν ἐμβαλεῖν καὶ πόλεμον ἐμφύλιον, ἐκ ὄντος ἑτέρε, πρὸς ὃν ἀμφότεραι συννεύσεσιν αἱ ςάσεις· ὅ τε πατὴρ καὶ ὁ Μάρκιος, ἐκείνων μεταςάντων, ἰδίᾳ προσκείμενοι τὸν Νεμᾶν ἔπειθον δέχεσθαι μέγα καὶ θεῖον δῶρον. Εἰ δ' αὐτὸς ἔτε πλέτε δέῃ δι' αὐτάρκειαν, ἔτε δόξαν ἀπ' ἀρχῆς [6] καὶ δυναςείας [7] ἐζήλωκας, κρείσσονα τὴν ἀπ' ἀρετῆς ἔχων, ἀλλ' ὑπηρεσίαν γε Θεε τὸ βασιλεύειν ἡγέμενος, ὅς γ' ἀνίςησι καὶ ἐκ ἐᾷ κεῖσθαι καὶ ἀργεῖν τὴν ἐν σοὶ τοσαύτην δικαιοσύνην, μὴ φεῦγε, μηδ' ἀποδίδρασκε τὴν ἀρχὴν [8], ἀνδρὶ φρονίμῳ πράξεων καλῶν καὶ μεγάλων ἔσαν χώραν· ἐν ᾗ καὶ θεραπεῖαι Θεῶν μεγα-

1 Ita R. dedit pro γέγονε.
2 Ex emend. R. pro vulg. τἆλλα.
3 Anon. θεραπεύειν τὲς Θεὲς.
4 V. ἐχθαίρειν.
5 V. λογισμοῖς.
6 Præpoſ. addidit R. de ſuo.
7 V. δυναςείαν.
8 R. ſuſp. τὴν 'Ρώμης ἀρχὴν.

μεγαλοπρεπεῖς εἰσι, καὶ πρὸς εὐσέβειαν ἀνθρώπων ἡμερώσεις, ῥᾷστα καὶ τάχιστα μετακοσμουμένων ὑπὸ τοῦ κρατοῦντος. οὗτοι καὶ [1] Τάτιον ἔστερξαν ἔπηλυν ἡγεμόνα, καὶ τὴν Ῥωμύλου μνήμην ἀποθεοῦσι ταῖς τιμαῖς. τίς δ' οἶδεν εἰ καὶ νικῶντι δήμῳ πολέμου κόρος ἔσται [2], καὶ μεστοὶ θριάμβων καὶ λαφύρων γεγονότες, ἡγεμόνα πρᾷον καὶ δίκης ἑταῖρον ἐπ' εὐνομίᾳ καὶ εἰρήνῃ ποθοῦσιν; εἰ δὲ δὴ καὶ παντάπασιν ἀκρατῶς ἔχουσι καὶ μανικῶς πρὸς πόλεμον, ἆρ' οὐχὶ βέλτιον ἀλλαχόσε τὴν ὁρμὴν αὐτῶν τρέπειν, διὰ χειρὸς ἔχοντα [3] τὰς ἡνίας, τῇ δὲ πατρίδι καὶ παντὶ τῷ Σαβίνων ἔθνει σύνδεσμον εὐνοίας καὶ φιλίας πρὸς πόλιν ἀκμάζουσαν καὶ δυνατὴν γενέσθαι; Τούτοις προσῆν [4], ὡς λέγεται, σημεῖά τε χρηστὰ, καὶ σπουδὴ τῶν πολιτῶν, καὶ ζῆλος, ὡς ἐπύθοντο τὴν πρεσβείαν, δεομένων βαδίζειν καὶ παραλαμβάνειν τὴν βασιλείαν ἐπὶ κοινωνίᾳ καὶ συγκράσει τῶν πολιτῶν.

VII. Ὡς οὖν ἐδέδοκτο, θύσας τοῖς Θεοῖς, προῆγεν εἰς τὴν Ῥώμην. ἀπήντα δ' ἡ βουλὴ καὶ ὁ δῆμος, ἔρωτι θαυμαστῷ τοῦ ἀνδρὸς, εὐφημίαι τε πρέπουσαι γυναικῶν ἐγίνοντο καὶ θυσίαι πρὸς ἱεροῖς, καὶ χαρὰ πάντων, ὥσπερ οὐ βασιλέα τῆς πόλεως, ἀλλὰ βασιλείαν δεχομένης. ἐπεὶ δ' εἰς τὴν ἀγορὰν κατέστησαν, ὁ μὲν ταῖς ὥραις ἐκείναις συνειληχὼς μεσοβασιλεὺς Σπόριος Οὐέττιος ψῆφον ἐπέδωκε [5] τοῖς πολίταις, καὶ πάντες ἤνεγκαν· προσφερομένων [6] δ' αὐτῷ τῶν βασιλικῶν παρασή-

1 Aliam esse lectionem, αὖθις δὲ καὶ, dicit H. Steph.

2 R. mavult ἐστὶ, ob inseq. ποθοῦσι.

3 Hanc lectionem, quam jam Br. voluit pro vulg. ἔχοντας, revocavit R. ex Junt Ald. Crat.

4 Sec. H. Steph. scriptum est etiam: Τούτοις προσεπιλέγεται σημεῖα &c.

5 V. ὑπέδωκε.

6 Ita dedit R. pro vulg. προφερομ.

ῥασήμων [1], ἐπιχεῖν κελεύσας, ἔφη δεῖσθαι καὶ Θεȣ̃ τὴν βασιλείαν ἐμπεδȣ̃ντος αὐτῷ. παραλαβὼν δὲ μάντεις καὶ ἱερεῖς, ἀνέβαινεν εἰς τὸ Καπιτώλιον· Ταρπήϊον αὐτὸ λόφον οἱ τότε Ῥωμαῖοι προσηγόρευον. ἐνταῦθα τῶν μάντεων ὁ πρωτεύων, τὸν μὲν εἰς μεσημβρίαν τρέψας [2] ἐγκεκαλυμμένον [3], αὐτὸς δὲ παραςὰς ἐξόπισθεν, καὶ τῇ δεξιᾷ τῆς κεφαλῆς ἐφαπτόμενος αὐτȣ̃, κατηύξατο [4], καὶ περιεσκόπει τὰ παρὰ τῶν Θεῶν οἰωνοῖς, ἢ συμβόλοις προφαινόμενα, πανταχόσε τὰς ὄψεις προσφέρων [5]. σιγὴ δ' ἄπιςος ἐν πλήθει τοσȣ́τῳ τὴν ἀγορὰν κατεῖχε, παραδοκȣ́ντων καὶ συναιωρȣμένων τῷ μέλλοντι, μέχρις ȣ̃ πρȣ̃φάνησαν ὄρνιθες ἀγαθοὶ καὶ δεξιοὶ ἐπέτρεψαν [6]. ȣ̃τω δὲ τὴν βασιλικὴν ἀναλαβὼν ἐσθῆτα κατέβαινε Νȣμᾶς εἰς τὸ πλῆθος ἀπὸ τῆς ἄκρας. τότε δὲ καὶ φωναὶ [7] καὶ δεξιώσεις ἦσαν ὡς εὐσεβέςατον καὶ θεοφιλέςατον δεχομένων. παραλαβὼν δὲ τὴν ἀρχὴν, πρῶτον μὲν τὸ τῶν τριακοσίων [δορυφόρων] [8] σύςημα διέλυσεν, ȣ̃ς Ῥωμύλος ἔχων ἀεὶ περὶ τὸ σῶμα Κέλερας προσηγόρευσεν, ὅπερ ἐςὶ ταχεῖς· ȣ̃τε γὰρ ἀπιςεῖν πιςεύȣσιν, ȣ̃τε βασιλεύειν ἀπιςȣ́ντων ἠξίȣ. δεύτερον δὲ, τοῖς ȣ̃σιν ἱερεῦσι Διὸς καὶ Ἄρεος τρίτον Ῥωμύλȣ προσκατέςησεν, ὃν Φλαμίνα Κυρινάλιον ὠνόμασεν. ἐκάλȣν δὲ καὶ τȣ̀ς προγενεςέρȣς Φλαμίνας, ἀπὸ τῶν περικρανίων πίλων, ȣ̃ς περὶ

1 V. ἐπισήμων, ut in aliis teste H. Steph.

2 V. τρίψας.

3 Dacerius non Numam, sed augurem secundum Livium fuisse vult velato capite Robortellus testatur, in ant. cod. ita scriptum esse: ἐγκεκαλυμμένος αὐτὸς, καὶ παραςὰς ὄπισθεν.

4 V. κατηύχετο; & in seq. ἐν οἰωνοῖς.

5 Ita R. dedit pro vulg. προφέρων. Anon. παραφέρων.

6 V. καὶ ἐπέτρεψεν. R. susp. οἳ ἐπέτρ.

7 V. φωνάς.

8 Ex vet. additum fuit. Abest in Flor. & Ald. Et pro διέλυσεν, teste H. Steph. etiam legitur διέςησεν.

ρὶ [1] ταῖς κεφαλαῖς φοροῦσι, πιλαμένας τινὰς ὄντας, ὡς ἱστοροῦσι, τῶν Ἑλληνικῶν ὀνομάτων τότε μᾶλλον, ἢ νῦν, τοῖς Λατίνοις ἀνακεκραμένων. καὶ γὰρ ἃς ἐφόρουν οἱ βασιλεῖς [2] λαίνας, ὁ Ἰόβας χλαίνας φησὶν εἶναι, καὶ τὸν ὑπηρετοῦντα τῷ ἱερῷ [3] τοῦ Διὸς ἀμφιθαλῆ παῖδα, λέγεσθαι Κάμιλλον, ὡς καὶ τὸν Ἑρμῆν οὕτως ἔνιοι τῶν Ἑλλήνων Κάμιλλον ἀπὸ τῆς διακονίας προσηγόρευον.

VIII. Ταῦτα δ' ὁ Νουμᾶς ἐπ' εὐνοίᾳ καὶ χάριτι τοῦ δήμου πολιτευσάμενος, εὐθὺς ἐπεχείρει τὴν πόλιν, ὥσπερ σίδηρον, ἐκ σκληρᾶς καὶ πολεμικῆς, μαλακωτέραν ποιῆσαι καὶ δικαιοτέραν. ἀτεχνῶς γὰρ, ἣν Πλάτων ἀποκαλεῖ φλεγμαίνουσαν πόλιν, ἐκείνη τότ' ἦν [4], συστᾶσα [5] μὲν εὐθὺς ἐξ ἀρχῆς τόλμῃ τινὶ καὶ παραβόλῳ θρασύτητι τῶν θρασυτάτων καὶ μαχιμωτάτων ἐκεῖ πανταχόθεν ὠσαμένων, ταῖς δὲ πολλαῖς στρατείαις καὶ τοῖς συνεχέσι πολέμοις, τροφῇ χρησαμένη καὶ αὐξήσει τῆς δυνάμεως, καὶ, καθάπερ τὰ καταπηγνύμενα [6] τῷ σείεσθαι μᾶλλον ἑδράζεται, ῥώννυσθαι δοκοῦσα διὰ τῶν κινδύνων. οὕτω δὲ μετέωρον καὶ τετραχυμένον δῆμον οὐ μικρᾶς, οὐδὲ φαύλης οἰόμενος εἶναι πραγματείας μεταχειρίσασθαι καὶ μετακοσμῆσαι πρὸς εἰρήνην, ἐπηγάγετο

1 R. dedit pro vulg. ἐπί.

2 Teſte H. Steph. ſcriptum eſt etiam οἱ ἱερεῖς βασιλεῖς; & ſtatim poſt καὶ τὸν ὑπηρ. παῖδα τῷ ἱ. τοῦ Δ. λέγεσθαι Κάμιλλον. Junt. & Ald. dant λαίνας; item deeſt artic. ante Ἰόβας.

3 Anon. ἱερεῖ, quod Br. præfert. Idem delendum putat ſecundum Κάμιλλον, redundans ob præced. οὕτως; pro quo Anon. Καδμίλον.

4 Ita voluit Br. pro vulg. τοῦτ' ἦν; ut Lapus vertit *tunc*.

5 Ita dedit R. de ſuo, pro vulg. συστάντων; Item R. in ſeq. pro vulg. χρησαμένην dedit χρησαμένη ſec. Junt. — & δοκοῦσα pro δοκοῦσαν ſec. V.

6 V. καταρηγνύμενα; idem in ſeq. l. ἑδράζονται, pro ἑδράζεται.

το [1] τὴν ἀπὸ τῶν Θεῶν βοήθειαν, τὰ μὲν πολλὰ θυσίαις καὶ πομπαῖς καὶ χορείαις, ἃς αὐτὸς ὠργίασε καὶ κατέστησεν, ἅμα σεμνότητι διαγωγὴν ἐπίχαριν καὶ φιλάνθρωπον ἡδονὴν ἐχούσαις, δημαγωγῶν καὶ τιθασσεύων τὸ θυμοειδὲς καὶ φιλοπόλεμον. ἔστι δ' ὅτε καὶ φόβους τινὰς ἀπαγγέλλων παρὰ τοῦ Θεοῦ [2], καὶ φάσματα δαιμόνων ἀλλόκοτα καὶ φωνὰς οὐκ εὐμενεῖς, ἐδούλου καὶ ταπεινὴν ἐποίει τὴν διάνοιαν αὐτῶν ὑπὸ δεισιδαιμονίας. ἐξ ὧν καὶ μάλιστα λόγον ἔσχεν ἡ σοφία καὶ ἡ παίδευσις τοῦ ἀνδρὸς, ὡς Πυθαγόρᾳ συγγεγονότος. μέγα γὰρ ἦν μέρος, ὡς ἐκείνῳ τῆς φιλοσοφίας, καὶ τούτῳ τῆς πολιτείας ἡ πρὸς [3] τὸ θεῖον ἀγχιστεία [4] καὶ διατριβή. λέγεται δὲ καὶ τὸν ἔξωθεν ὄγκον καὶ σχηματισμὸν ἀπὸ τῆς αὐτῆς Πυθαγόρᾳ διανοίας περιβαλέσθαι. καὶ γὰρ ἐκεῖνος ἀετόν τε δοκεῖ πραΰναι φωναῖς τισιν ἐπιστήσας καὶ καταγαγὼν ὑπεριπτάμενον, τόν τε μηρὸν ἀποφῆναι [5] χρυσοῦν Ὀλυμπιάσι διαπορευόμενος τὴν πανήγυριν. ἄλλας τε τερατώδεις [6] μηχανὰς αὐτοῦ καὶ πράξεις ἀναγγέλλουσιν· ἐφ' αἷς καὶ Τίμων ὁ Φλιάσιος ἔγραψε·

Πυθαγόρην δὲ γόητας [7] ἀποκλίνοντ' ἐπὶ δόξας,
Θήρῃ [8] ἐπ' ἀνθρώπων, σεμνηγορίης ὀαριστήν.

τῷ δὲ Νουμᾷ δρᾶμα θεᾶς [9] τινος, ἢ νύμφης ὀρείας ἔρως

1 R. dedit de suo pro simpl. ἠγάγετο.
2 Br. mavult θείου, ut postea, τὸ θεῖον.
3 R. dedit pro vulg. περὶ.
4 Br. maluit ἁγιστεία. R. servandum censuit.
5 H. St. maluit ὑποφῆναι, ex auctor. Cod. — Ita quoque legit V. — SG. ὑποφῦναι.
6 R. susp. ἄλλας σιωπῶ καὶ πολλὰς τερατώδεις — καὶ πράξεις, ἃς ἀναγγέλλουσι.
7 Ita V. Anon. & SG. pro vulg. γόητα.
8 Lapus videtur τήρει legisse: sed Xyland. mavult lectionem receptam.
9 SG. distinguit θεᾶς a præced. δρᾶμα per punctum min.

ἔρως ἦν, καὶ συνουσία πρὸς αὐτὸν ἀπόῤῥητος, ὥσπερ εἴρηται, καὶ κοιναὶ μετὰ Μουσῶν διατριβαί. τὰ γὰρ πλεῖστα τῶν μαντευμάτων εἰς Μούσας ἀνῆγε, καὶ μίαν Μοῦσαν ἰδίως καὶ διαφερόντως ἐδίδαξε σέβεσθαι τοὺς Ῥωμαίους, Τακίταν προσαγορεύσας, οἷον σιωπηλὴν, ἢ ἐνεὰν [1]. ὅπερ εἶναι δοκεῖ τὴν Πυθαγόρειον ἀπομνημονεύοντος [2] ἐχεμυθίαν καὶ τιμῶντος. ἔστι δὲ καὶ τὰ περὶ τῶν ἀφιδρυμάτων νομοθετήματα παντάπασιν ἀδελφὰ τῶν Πυθαγόρου δογμάτων. οὔτε γὰρ ἐκεῖνος αἰσθητὸν, ἢ παθητὸν, ἀόρατον δὲ καὶ ἀκήρατον καὶ νοητὸν [3] ὑπελάμβανεν εἶναι τὸ πρῶτον, καὶ οὗτος [4] διεκώλυσεν ἀνθρωποειδῆ καὶ ζωόμορφον εἰκόνα Θεοῦ Ῥωμαίους [5] νομίζειν. οὐδ' ἦν παρ' αὐτοῖς οὔτε γραπτὸν, οὔτε πλαστὸν εἶδος Θεοῦ πρότερον, ἀλλ' ἐν [6] ἑκατὸν ἑβδομήκοντα τοῖς πρώτοις ἔτεσι ναοὺς μὲν οἰκοδομούμενοι [7], καὶ καλιάδας ἱερὰς

1 Ex conject. Br. Xylandri & Steph. pro ἢ νέαν. Ex Ms. confirmat Dacer. & ita etiam Anon.

2 Br. aptior videtur vox ἀπομιμοῦντος. At, ut R. verè observat, non usurpatur μιμεῖν, sed μιμεῖσθαι in med.

3 SG. & Junt. καὶ ἄκλιστον νοητόν. Sed quantum a sensu Plutarchi differunt versiones Schirachi & Kindii? Uterque vocem νοητὸν per *unbegreiflich* interpretatur, quasi legendum esset ἀνόητον. Non est sane, cur discedas a lectione vulgari, ejusque sensu, ex veter. interpp. satis conspicuo: *sola mente apprehensibile*. Luculentius hoc apparet ex vita Marcelli, c. 14. γεωμετρίας, ἀπὸ τῶν ἀσωμάτων καὶ νοητῶν ἀποδιδρασκούσης ἐπὶ τὰ αἰσθητὰ &c. quo loco Schirach per *abstrakt*, Kind autem per *einfach* transfert; nec non ex seq. Plutarchi explicatione: οὔτ' ἐφάπτεσθαι Θεοῦ δυνατὸν ἄλλως, ἢ νοήσει.

4 Vulg. dant οὗτος δέ. Flor. inserit καὶ ante οὗτ. R. δὲ expunxit; & ex Ald. καὶ addidit.

5 Ita legendum cum V. Anon. & SG. probante Stephano, pro vulg. Ῥωμαίοις.

6 additur ex Flor. Ald. & SG. — Vulgo omittitur.

7 Vulgatæ addunt διετέλουν, jure omittendum, cum paulo post loco conveniente recurrat. Omittunt etiam Flor. Ald. & SGerm.

ἱερὰς ἱςῶντες [1], ἄγαλμα δ' ὀδὲν ἔμμορφον ποιέμενοι διετέλεν· ὡς ὄτε ὅσιον ἀφομοιῶν τὰ βελτίονα τοῖς χείροσιν, ὄτ' ἐφάπτεσθαι [2] Θεῶ δυνατὸν ἄλλως, ἢ νοήσει. κομιδῆ δὲ καὶ τὰ τῶν θυσιῶν ἔχεται τῆς Πυθαγορικῆς ἁγιςείας· ἀναίμακτοι γὰρ ἦσαν, αἵ γε [3] πολλαὶ δι' ἀλφίτε καὶ σπονδῆς καὶ τῶν εὐτελεςάτων πεποιημέναι [4]. χωρὶς δὲ τέτων, ἑτέροις ἔξωθεν ἐπαγωνίζονται τεκμηρίοις οἱ [5] τὸν ἄνδρα τῷ ἀνδρὶ συνοικειῶντες. ὧν ἓν μέν ἐςιν, ὅτι Πυθαγόραν τῇ πολιτείᾳ Ῥωμαῖοι προσέγραψαν, ὡς ἱςόρηκεν Ἐπίχαρμος ὁ κωμικὸς ἔν τινι λόγῳ πρὸς Ἀντήνορα γεγραμμένῳ, παλαιὸς ἀνὴρ, καὶ τῆς Πυθαγορικῆς διατριβῆς μετεσχηκώς. ἕτερον δὲ [6], ὅτι τεσσάρων υἱῶν βασιλεῖ Νεμᾷ γενομένων, ἕνα Μάμερκον ἐπὶ τῷ Πυθαγόρε παιδὶ προσηγόρευσεν. ἀπ' ἐκείνε δὲ καὶ τὸν Αἰμυλίων οἶκον ἀναμιχθέντα τοῖς πατρικίοις ὀνομασθῆναί φασιν, ὅτως ὑποκοριζομένε τε βασιλέως τὴν ἐν τοῖς λόγοις τε ἀνδρὸς αἱμυλίαν καὶ χάριν. αὐτοὶ δ' ἀκηκόαμεν πολλῶν ἐν Ῥώμῃ διεξιόντων, ὅτι Ῥωμαίοις ποτὲ χρησμε [7] γενομένε τὸν φρονιμώτατον καὶ τὸν ἀνδρειότατον Ἑλλήνων ἱδρύσασθαι παρ' αὐτοῖς, ἔςησαν ἐπὶ τῆς ἀγορᾶς εἰκόνας χαλκᾶς δύο, τὴν μὲν Ἀλκιβιάδε, τὴν δὲ Πυθαγόρε. ταῦτα μὲν ὄν ἀμφισβητήσεις ἔχοντα πολλὰς, καὶ τὸ κινεῖν διὰ μακροτέρων, καὶ τὸ πιςεύεσθαι [8], μειρακιώδες ἐςὶ φιλονεικίας.

IX.

1 V. διετέλεν ᾠδὰς ἱερὰς ἱςάντες.

2 V. ἐφάψασθαι.

3 Ita dedit R. pro vulg. τε. Idem pro seq. ἀλφίτε mavult ἀλφίτων.

4 V. πεπορευομέναι.

5 Articul. in vulg. omiſſus, ex V. reſtitutus.

6 Ita ex conject. Br. — Vulg. ἕτεροι δὲ.

7 V. ὅτι π. Ῥωμαίες χρ. — SG. ὅτ. χρ. π. Ῥωμαίοις.

8 R. ſuſp. primum καὶ & poſterius τὸ delenda, & πιςεῦσαι legendum, cum lat. interpr. — Noſtrates κινεῖν per *widerlegen* vertere ſolent. Quonam fundamento, neſcio.

IX. Νυμᾶ δὲ καὶ τὴν τῶν ἀρχιερέων, ὓς Ποντίφικας καλῦσι, διάταξιν καὶ κατάστασιν ἀποδιδόασι [1], καί φασιν αὐτὸν ἕνα τύτων τὸν πρῶτον γεγονέναι. κεκλῆσθαι δὲ τὺς Ποντίφικας, οἱ μὲν ὅτι τὺς Θεὺς θεραπεύυσι, δυνατὺς καὶ κυρίυς ἁπάντων ὄντας. ὁ γὰρ δυνατὸς ὑπὸ Ῥωμαίων ὀνομάζεται ποτήνς· ἕτεροι δέ φασι πρὸς ὑπεξαίρεσιν γεγονέναι τὔνομα τῶν δυνατῶν [2], ὡς τῦ νομοθέτυ τὰς δυνατὰς ἐπιτελεῖν ἱερυργίας τὺς ἱερεῖς κελεύοντος· ἂν δ' ᾖ τι κώλυμα μεῖζον, ὐ συκοφαντῦντος. οἱ δὲ πλεῖστοι μάλιστα καὶ τὸ γελώμενον [3] τῶν ὀνομάτων δοκιμάζυσιν, ὡς ὐδὲν ἀλλ' ἢ γεφυροποιὺς τὺς ἄνδρας ἐπικληθέντας ἀπὸ τῶν ποιυμένων περὶ [4] τὴν γέφυραν ἱερῶν, ἁγιωτάτων καὶ παλαιοτάτων ὄντων· Ποντὲμ γὰρ οἱ Λατῖνοι τὴν γέφυραν ὀνομάζυσιν. εἶναι μέντοι καὶ τὴν τήρησιν αὐτὴν [5] καὶ τὴν ἐπισκευὴν, ὥσπερ ἄλλο τι τῶν ἀκινήτων καὶ πατρίων ἱερῶν, προσήκυσαν τοῖς ἱερεῦσιν. ὐ γὰρ θεμιτὸν, ἀλλ' ἐπάρατον ἡγεῖσθαι Ῥωμαίυς τὴν κατάλυσιν τῆς ξυλίνης γεφύρας. λέγεται δὲ καὶ τὸ πάμπαν ἄνευ σιδήρυ κατὰ δή τι λόγιον συγγεγομφῶσθαι διὰ τῶν ξύλων. ἡ δὲ λιθίνη πολλοῖς ὕστερον ἐξειργάσθη χρόνοις ὑπ' Αἰμυλίυ ταμιεύοντος. ὐ μὴν ἀλλὰ καὶ τὴν ξυλίνην τῶν Νυμᾶ χρόνων ἀπολείπεσθαι λέγυσιν ὑπὸ Μαρκίυ τῦ Νυμᾶ θυγατριδῦ βασιλεύοντος ἀποτελεσθεῖσαν. ὁ δὲ μέγιστος τῶν Ποντιφίκων, οἷον ἐξηγητῦ καὶ προφήτυ, μᾶλλον δὲ ἱεροφάν-

1 SG. cum ν. ἐφελκ. quod idem in mox seq. θεραπεύυσι omisit, vulg. autem habent. V. ἀποδιδῦσι.

2 Br. vult ἀδυνάτων, vel ὐ δυνατῶν. Lectio tamen vulg. cum R. est defendenda.

3 R. susp. οἱ δὲ πλ. τὸ μάλ. καταγελώμ.

4 Ita V. & SG. — Vulg. dant ἐπὶ.

5 Ita SG. Junt. Ald. — Vulg. legitur αὐτῶν. Anon. dat αὐτῆς, quod præferendum videtur.

ροφάντε τάξιν ἐπέχει [1], ὁ μόνον τῶν δημοσίᾳ δρωμένων ἐπιμελόμενος [2], ἀλλὰ καὶ τὰς ἰδίᾳ θύοντας ἐπισκοπῶν, καὶ κωλύων παρεκβαίνειν τὰ νενομισμένα, καὶ διδάσκων, ὅτε τις δέοιτο πρὸς Θεῶν τιμὴν, ἢ παραίτησιν. ἦν δὲ καὶ τῶν ἱερῶν παρθένων ἐπίσκοπος, ἃς Ἑστιάδας προσαγορεύουσιν. Νεμᾷ γὰρ δὴ καὶ τὴν τῶν ἑστιάδων παρθένων καθιέρωσιν, καὶ ὅλως τὴν περὶ τὸ πῦρ [3] τὸ ἀθάνατον, ὃ φυλάττουσιν αὗται, θεραπείαν τε καὶ τιμὴν ἀποδιδόασιν, εἴτε ὡς καθαρὰν καὶ ἄφθαρτον τὴν τοῦ πυρὸς οὐσίαν ἀκηράτοις καὶ ἀμιάντοις παρατιθεμένου [4] σώμασιν, εἴτε τὸ ἄκαρπον καὶ ἄγονον τῇ παρθενίᾳ συνοικειοῦντος. ἐπεί τοι τῆς Ἑλλάδος, ὅπου πῦρ ἄσβεστόν ἐστιν, ὡς Πυθοῖ καὶ Ἀθήνησιν, οὐ παρθένοι, γυναῖκες δὲ πεπαυμέναι γάμων ἔχουσι τὴν ἐπιμέλειαν. ἐὰν δ' ὑπὸ τύχης τινὸς ἐκλίπῃ, καθάπερ Ἀθήνησι μέν, ἐπὶ τῆς Ἀριστίωνος λέγεται τυραννίδος ἀποσβεσθῆναι τὸν ἱερὸν λύχνον, ἐν Δελφοῖς δὲ, τοῦ ναοῦ καταπρησθέντος ὑπὸ τῶν [5] Μήδων, περὶ δὲ τὰ Μιθριδατικὰ καὶ τὸν ἐμφύλιον Ῥωμαίων πόλεμον, ἅμα τῷ βωμῷ καὶ τὸ [6] πῦρ ἠφανίσθη· ὅ φασι μὴ δεῖν ἀπὸ ἑτέρου πυρὸς ἐναύεσθαι, καινὸν δὲ ποιεῖν καὶ νέον, ἀνάπτον-

1 In aliis ſecundum H. Steph. εἴληχεν; V. ἐπείληχεν; SG. ἔχει. Pro ſeq. μόνον id. μόνων.

2 V. ἐπιμελῶ μόνον, lectio omnino non intelligenda. Junt. ἐπιμελόμενος; Ald. ἐπιμελώμενος.

3 Hæc duo vocabula deſunt Juntinæ. Loco præcedentis ὅλως dat SG. ὅπως.

4 Junt. & Ald. παρατιθεμένου; & ita vulgatæ. Br. ſuſp. vel legendum eſſe παρατιθέμενοι, ad ἀποδιδόασιν referendum, vel παρατιθεμένου, ſubaud. Νουμᾶ. In ſeq. Junt. & Ald. dant τὸ ἄκαρπον, & συνοικειοῦντες. Anon. συνοικειοῦντος; V. παρατιθέμενος.

5 deeſt SG.

6 Articulum addidit R. — Idem in ſeq. aut ὃ delendum eſſe cum Br. cenſet, aut legendum — ἠφανίσθη, οὔ φασὶ δεῖν, negant fas eſſe.

πτοντας [1] ἀπὸ τῦ ἡλίῦ φλόγα καθαρὰν καὶ ἀμίαντον. ἐξάπτεσι δὲ μάλιστα τοῖς σκαφείοις, ἃ κατασκευάζεται μὲν ἀπὸ πλευρᾶς ἰσοσκελῦς ὀρθογωνίῦ τριγώνῦ κοιλαινόμενα, συννεύει δ' εἰς ἓν ἐκ τῆς περιφερείας κέντρον. ὅταν ὖν θέσιν ἐναντίαν λάβῃ πρὸς τὸν ἥλιον, ὥστε τὰς αὐγὰς [2] πανταχόθεν ἀνακοπτομένας ἀθροίζεσθαι καὶ συμπλέκεσθαι πρὸς [3] τὸ κέντρον, αὐτόν τε διακρίνει τὸν ἀέρα λεπτυνόμενον, καὶ τὰ κῦφότατα καὶ ξηρότατα τῶν προστιθεμένων ὀξέως ἀνάπτει [4] κατὰ τὴν ἀντέρεισιν, σῶμα καὶ πληγὴν πυρώδη τῆς αὐγῆς λαμβανύσης [5]. ἔνιοι μὲν ὖν ὐδὲν ὑπὸ τῶν ἱερῶν παρθένων ἀλλ' ἢ τὸ ἄσβεστον ἐκεῖνο φρυρεῖσθαι πῦρ νομίζυσιν· ἔνιοι [6] δ' εἶναί τινα φασὶν ἀθέατα τοῖς ἄλλοις ἱερὰ κρυπτόμενα, περὶ ὧν ὅσα καὶ πυθέσθαι καὶ φράσαι θεμιτὸν, ἐν τῷ Καμίλλυ βίῳ γέγραπται.

X. Πρῶτον μὲν ὖν ὑπὸ Νυμᾶ καθιερωθῆναι λέγυσι Γεγανίαν καὶ Βερηνίαν, δεύτερον δὲ Κανυληΐαν καὶ Ταρπηΐαν· ὕστερον δὲ Σερβίυ δύο προσθέντος ἄλλας τῷ ἀριθμῷ διατηρῆσαι [7] μέχρι τῶν χρόνων τύτων τὸ πλῆθος. ὡρίσθη δὲ ταῖς ἱεραῖς παρθένοις ὑπὸ τῦ βασιλέως ἁγνεία [8] τριακονταέτις, ἐν ᾗ τὴν μὲν πρώτην δεκαετίαν, ἃ χρὴ δρᾷν μανθάνυσι· τὴν δὲ μέσην, ἃ μεμαθήκασι δρῶσι· τὴν δὲ τρίτην, ἑτέρας αὐταὶ διδάσκυσιν. εἶτ' ἀνεῖται τῇ βυλομένῃ μετὰ τὸν χρόνον



1 Ita Anon. Vulg. ἀνάπτοντα. In seq. secundum H. Steph. legitur etiam ἡλίυ φῶς, καὶ φλόγα.
2 Ita repositum fuit pro lectione priori αὐτάς. Seq. ἀνακοπτομένας dedit R. de suo pro vulg. ἀνωπτομένας.
3 SG. περί. Pro seq. διακρίνει R. mavult διακαίει.
4 SG. Junt. ἀνάπτειν.
5 SG λαβύσης.
6 SG. ἔνια.
7 Br. vult διατετηρῆσθαι, ut a λέγυσι pendeat.
8 Ita rectissime habent Flor. & Ald. pro vulg. ἁγνεία.

τοῦτον ἤδη καὶ γάμου μεταλαμβάνειν, καὶ πρὸς ἕτερον τραπέσθαι [1] βίον, ἀπαλλαγείσῃ τῆς ἱερουργίας. λέγονται δ' οὐ πολλαὶ ταύτην ἀσπάσασθαι τὴν ἄδειαν, οὐδ' ἀσπασαμέναις χρηστὰ πράγματα [2] συντυχεῖν, ἀλλὰ μετανοίᾳ καὶ κατηφείᾳ συνοῦσαι τὸν λοιπὸν βίον, ἐμβαλεῖν τὰς ἄλλας εἰς δεισιδαιμονίαν, ὥστε μέχρι γήρως καὶ θανάτου διατελεῖν ἐγκαρτερούσας καὶ παρθενευομένας. τιμὰς δὲ μεγάλας ἀπέδωκεν αὐταῖς, ὧν ἐστι καὶ τὸ διαθέσθαι ζῶντος ἐξεῖναι πατρὸς, καὶ τἆλλα πράττειν ἄνευ προστάτου διαγούσας [3], ὥσπερ αἱ τρίπαιδες. ῥαβδουχοῦνται δὲ προϊοῦσαι· κἂν ἀγομένῳ τινὶ πρὸς θάνατον αὐτομάτως συντύχωσιν, οὐκ ἀναιρεῖται. δεῖ δ' ἀπομόσαι τὴν παρθένον, ἀκούσιον καὶ τυχαίαν γεγονέναι, καὶ οὐκ ἐξεπίτηδες [4] τὴν ἀπάντησιν. ὁ δ' ὑπελθὼν κομιζομένων ὑπὸ τὸ φορεῖον ἀποθνήσκει. κόλασις δὲ τῶν μὲν ἄλλων ἁμαρτημάτων, πληγαὶ ταῖς παρθένοις, τοῦ μεγίστου Ποντίφικος κολάζοντος ἔστιν ὅτε καὶ γυμνὴν τὴν πλημμελήσασαν, ὀθόνης ἐν παλισκίῳ [5] παρατεινομένης. ἡ δὲ τὴν παρθενίαν καταισχύνασα, ζῶσα κατορύττεται παρὰ τὴν Κολλίνην λεγομένην πύλην. ἐν ᾗ ἐστί τις ἐντὸς τῆς πόλεως ὀφρὺς γεώδης, παρατείνουσα πόῤῥω· καλεῖται δὲ χῶμα διαλέκτῳ τῇ Λατίνων· ἐνταῦθα κατασκευάζεται κατάγειος οἶκος οὐ μέγας, ἔχων ἄνωθεν κατάβασιν. κεῖται δ' ἐν αὐτῷ κλίνη τε ὑπεστρωμένη, καὶ λύχνος καιόμενος, ἀπαρχαί τε τῶν πρὸς τὸ ζῆν ἀναγκαίων βραχεῖαί τινες· οἷον ἄρτος, ὕδωρ, ἐν ἀγγείῳ γάλα, ἔλαιον· ὥσπερ ἀφοσιουμένων [6] τὸ μὴ

λιμῷ

1 V. ἀποτραπέσθαι.

2 V. τὰ πρ.

3 V. διαγούσαι. Id. paulo post προάγουσαι, pro προϊοῦσαι.

4 Flor. & Ald. hunc habent verborum ordinem: ἐξεπίτηδες γεγον. τὴν ἀπάντ. In SG. desunt γεγονέναι, καί.

5 V. παλινσκίῳ.

6 Multum de h. l. disputat H. Steph. pro diversitate sensus, quo ἀφοσ. accipi solet, & ob seq. partic. μή. Equidem in eo

vocis

λιμῷ διαφθείρειν σῶμα ταῖς μεγίσαις καθιερωμένον ἁγιςείαις. αὐτὴν δὲ τὴν κολαζομένην εἰς φορεῖον ἐνθέμενοι, καὶ κατασεγάσαντες ἔξωθεν, καὶ καταλαβόντες ἱμᾶσιν, ὡς μηδὲ φωνὴν ἐξάκȣσον γενέϑαι, κομίζȣσι δι' ἀγορᾶς. ἐξίςανται δὲ πάντες σιωπῇ, καὶ παραπέμπȣσιν ἄφθογγοι μετά τινος δεινῆς κατηφείας· ȣ̓δ' ἐςιν ἕτερον θέαμα φρικτότερον, ȣ̓δ' ἡμέραν ἡ πόλις ἄλλην ἄγει συγνοτέραν ἐκείνης. ὅταν δὲ πρὸς τὸν τόπον κομιϑῇ τὸ φορεῖον, οἱ μὲν ὑπηρέται τȣ̀ς δεσμȣ̀ς ἐξέλυσαν, ὁ δὲ τῶν ἱερέων [1] ἔξαρχος εὐχάς τινας ἀποῤῥήτȣς ποιησάμενος, καὶ χεῖρας ἀνατείνας Θεοῖς πρὸ τῆς ἀνάγκης [2], ἐξάγει συγκεκαλυμμένην, καὶ καθίςησιν ἐπὶ κλίμακος εἰς τὸ οἴκημα κάτω φερȣ́σης· εἶτ' αὐτὸς μὲν ἀποτρέπεται μετὰ τῶν ἄλλων ἱερέων, τῆς [3] δὲ καταβάσης, ἥ τε κλίμαξ ἀναιρεῖται, καὶ κατακρύπτεται τὸ οἴκημα, γῆς πολλῆς ἄνωθεν ἐπιφορȣμένης, ὥς' ἰσόπεδον τῷ λοιπῷ χώματι γενέϑαι τὸν τόπον. ȣ̔́τω μὲν αἱ προέμεναι τὴν ἱερὰν παρθενίαν [4] κολάζονται.

XI. Νȣμᾶς δὲ λέγεται καὶ τὸ τῆς Ἑςίας ἱερὸν ἐγκύκλιον περιβαλέϑαι τῷ ἀσβέςῳ πυρὶ φρȣρὰν· ἀπομιμȣ́-



vocis ſenſu acquieſco, quo denotat: officia non negare, cultum debitum ita exhibere, ut ne reprehendi negligentia poſſit. Ita nihil erit, quod mutes: — eben als wenn ſie alle, der ſterbenden Veſtalin zu leiſtende Pflicht erfüllt hätten, wenn ſie nicht ihren, dem wichtigſten Religionsdienſt geweihten Körper durch Hunger zu Grunde richteten. In quodam cod. ſec. H. Steph. ἐξοσιωμένων. — Καθιερωμένον ſec. Anon. pro vulg. καθιερωμένων — ἁγιςείαις, al. ἁγιςίαις.

1 Ita ſec. H. Steph. legitur. Vulg. ἱερῶν.

2 V. & SG. ἀνωγῆς. Schirachi verſio has voces prorſus omittit. Kind vertit: vor der Vollziehung der Strafe. Uterque ſuum ſequi videtur latin. Interp. Mihi quidem lectio recepta haud placet, vix aliqua ratione explicanda. Ex lect. V. & SG. fere ſuſpicarer ἀπαγωγῆς.

3 Anon. αὐτῆς.

4 R. ſuſp. αἱ προέμ. τῶν ἱερειῶν τὴν παρθ.

μιμέμενος ὲ τὸ σχῆμα τῆς γῆς ὡς Ἑςίας ὄσης, ἀλλὰ τῦ σύμπαντος κόσμυ, ὖ μέσον οἱ Πυθαγορικοὶ τὸ πῦρ ἱδρῦσθαι νομίζυσι, καὶ τῦτο Ἑςίαν καλῦσι καὶ μονάδα· τὴν δὲ γῆν, ὔτ' ἀκίνητον, ὔτ' ἐν μέσῳ τῆς περιφορᾶς ὖσαν, ἀλλὰ κύκλῳ περὶ τὸ πῦρ αἰωρυμένην, ὔτε [1] τῶν τιμιωτάτων ὐδὲν, ὔτε τῶν πρώτων τῦ κόσμυ μορίων ὑπάρχειν. ταυτὰ δὲ [2] καὶ Πλάτωνα φασὶ πρεσβύτην γενόμενον διανενοῆσθαι περὶ τῆς γῆς ὡς ἐν ἑτέρᾳ [3] χώρᾳ καθεςώσης, τὴν δὲ μέσην καὶ κυριωτάτην ἑτέρῳ τινὶ κρείττονι προσήκυσαν.

XII. Οἱ δὲ Ποντίφικες καὶ τὰ περὶ τὰς ταφὰς πάτρια τοῖς χρήζυσιν ἀφηγῦνται, Νυμᾶ διδάξαντος μηδὲν ἡγεῖσθαι μίασμα τῶν τοιύτων, ἀλλὰ καὶ τὺς ἐκεῖ Θεὺς σέβεσθαι τοῖς νενομισμένοις, ὡς τὰ κυριώτατα τῶν ἡμετέρων ὑποδεχομένυς· ἐξαιρέτως δὲ τὴν προσαγορευομένην Λιβίτιναν [4], ἐπίσκοπον τῶν περὶ τὺς θνήσκοντας ὁσίων Θεὸν ὖσαν, εἴτε Περσεφόνην, εἴτε μᾶλλον, ὡς οἱ λογιώτατοι Ῥωμαίων ὑπολαμβάνυσιν, Ἀφροδίτην· ὐ κακῶς εἰς μιᾶς [5] δύναμιν Θεῦ τὰ περὶ τὰς γενέσεις καὶ τὰς τελευτὰς ἀνάπτοντες. αὐτὸς δὲ καὶ τὰ πένθη καθ' ἡλικίας καὶ χρόνυς ἔταξεν· οἷον, παῖδα μὴ πενθεῖν νεώτερον τριετῦς, μηδὲ πρεσβύτερον πλείονας μῆνας ὧν ἐβίωσεν ἐνιαυτῶν, μέχρι τῶν δέκα [6], καὶ περαιτέρω μηδεμίαν ἡλικίαν. ἀλλὰ τῦ μακροτάτυ πέν-

1 SG. ὐ. Verba ὔτε τῶν τιμ. ὐδ. ὔτ. τ. πρ. μορίων desunt Juntinæ. ὐδὲν, ὔτε dedit R. Vulg. dant ὔτε τῶν τιμ., ὐδὲ τῶν πρ. &c.

2 Ita ex conject. Br. pro vulg. ταῦτα δέ.

3 Br. susp. ἐν νερτέρᾳ, in inferiore loco. R. autem δευτέρᾳ, in secundario gradu; aut ἐνδεεςέρᾳ.

4 In pluribus, teste H. Steph. Λιβίδαιναν, V. Διβίδαιναν, vel Ουβίδαιναν; Hoc etiam habet SG.

5 Ex emend. R. Vulg. μίαν.

6 Ita Anon. & teste Br. omnes. Vulg. δώδεκα.

πένθους χρόνον εἶναι δεκαμηνιαῖον, ἐφ' ὅσον καὶ χηρεύουσιν αἱ τῶν ἀποθανόντων γυναῖκες. ἡ δὲ πρότερον γαμηθεῖσα βοῦν ἐγκύμονα κατέθυσεν [1], ἐκείνου νομοθετήσαντος. πολλὰς δὲ καὶ ἄλλας Νουμᾶ διδάξαντος [2] ἱερωσύνας, ἔτι δυοῖν μνησθήσομαι, τῆς τε Σαλίων, καὶ τῆς τῶν Φιτιαλίων, οἳ [3] μάλιστα τὴν εὐσέβειαν τοῦ ἀνδρὸς ἐμφαίνουσιν. οἱ μὲν γὰρ Φιτιάλιοι, εἰρηνοφύλακές [4] τινες ὄντες, ὡς δ' ἐμοὶ δοκεῖ, καὶ τοὔνομα λαβόντες ἀπὸ τῆς πράξεως, λόγῳ τὰ νείκη κατέπαυον, οὐκ ἐῶντες στρατεύειν πρότερον, ἢ πᾶσαν ἐλπίδα δίκης ἀποκοπῆναι. καὶ γὰρ εἰρήνην Ἕλληνες καλοῦσιν, ὅταν λόγῳ, μὴ βίᾳ, πρὸς ἀλλήλους χρώμενοι, λύσωσι τὰς διαφοράς. οἱ δὲ Ῥωμαίων Φιτιαλεῖς πολλάκις μὲν ἐβάδιζον ὡς τοὺς ἀδικοῦντας, αὐτοὶ πείθοντες εὐγνωμονεῖν· ἀγνωμονούντων δὲ, μαρτυράμενοι [5] θεοὺς καὶ κατευξάμενοι πολλὰ καὶ δεινὰ καθ' αὑτῶν αὐτοὶ καὶ τῆς πατρίδος, εἰ μὴ δικαίως ἐπεξίασιν, οὕτω κατήγγελλον αὐτοῖς τὸν πόλεμον. κωλυόντων δὲ τούτων, ἢ μὴ συναινούντων, οὔτε στρατιώτῃ θεμιτὸν, οὔτε βασιλεῖ Ῥωμαίων ὅπλα κινεῖν· ἀλλὰ παρὰ τούτων ἔδει τὴν ἀρχὴν τοῦ πολέμου δεξάμενον, ὡς δικαίαν [6], τὸν ἄρχοντα, τότε σκοπεῖν περὶ τοῦ συμφέροντος. λέγεται δὲ καὶ τὸ Κελτικὸν ἐκεῖνο πάθος τῇ πόλει γενέσθαι τούτων τῶν ἱερῶν παρανομηθέντων. ἔτυχον μὲν γὰρ [7] οἱ βάρβαροι Κλουσίνους



1 Anon. & SG. κατέθυεν.

2 In aliis, teste H. Steph. — nominatim in SG. καταδείξαντος. V idem vel καταδιδάξαντος.

3 Ita dedit R. pro vulg. αἳ, ad feciales, non ad ἱερωσύνας sermonem referens.

4 SG. & Junt. εἰρήνης φύλακες.

5 Ita R. dedit pro vulg. μαρτυρόμενοι, ob inseq. κατευξάμενοι. Conj. copul. καὶ ante h. v. omittit SG.

6 Ita dedit R. pro vulg. δίκαιον, ref. ad ἀρχήν. Anon. hab. δικαίου, refer. ad πολέμου, quod Br. placuit.

7 V. οὖν. Idem paulo post πράξεων, pro πράξων.

σίνες πολιορκοῦντες· ἐπέμφθη δὲ πρεσβευτὴς Φάβιος Ἄμβουστος εἰς τὸ στρατόπεδον, διαλύσεις πράξων ὑπὲρ τῶν πολιορκουμένων. λαβὼν δὲ ἀποκρίσεις οὐκ ἐπιεικεῖς, καὶ πέρας ἔχειν αὐτῷ τὴν πρεσβείαν οἰόμενος, ἐνεανιεύσατο ὑπὲρ [1] τῶν Κλουσίνων ὅπλα λαβὼν, προκαλέσασθαι τὸν ἀριστεύοντα τῶν βαρβάρων. τὰ μὲν οὖν τῆς μάχης εὐτυχεῖτο, καὶ καταβαλὼν ἐσκύλευσε τὸν ἄνδρα· γνωρίσαντες δ' οἱ Κελτοὶ, πέμπουσιν εἰς Ῥώμην κήρυκα, τοῦ Φαβίου κατηγοροῦντες ὡς ἔκσπονδον καὶ ἄσπειστον [2] καὶ ἀκατάγγελτον ἐξενηνοχότος πρὸς αὐτοὺς πόλεμον. ἐνταῦθα τὴν μὲν σύγκλητον οἱ Φιτιαλεῖς ἔπειθον ἐκδιδόναι τὸν ἄνδρα τοῖς Κελτοῖς· καταφυγὼν δ' ἐκεῖνος εἰς τοὺς πολλοὺς, καὶ τῷ δήμῳ σπουδάζοντι χρησάμενος, διεκρούσατο τὴν δίκην. μετ' ὀλίγον δ' ἐπελθόντες οἱ Κελτοὶ τὴν Ῥώμην πλὴν τοῦ Καπιτωλίου διεπόρθησαν. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς περὶ Καμίλλου μᾶλλον ἀκριβοῦται.

XIII. Τοὺς δὲ Σαλίους ἱερεῖς ἐκ τῆς τοιαύτης λέγεται συστήσασθαι προφάσεως· ἔτος ὄγδοον αὐτοῦ βασιλεύοντος, λοιμώδης νόσος περιϊοῦσα τὴν Ἰταλίαν ἐστρόβησε καὶ τὴν Ῥώμην. ἀθυμούντων δὲ τῶν ἀνθρώπων, ἱστορεῖται [3] χαλκῆν πέλτην ἐξ οὐρανοῦ καταφερομένην εἰς τὰς Νουμᾶ πεσεῖν χεῖρας. ἐπὶ δ' αὐτῇ θαυμάσιόν τινα λόγον λέγεσθαι ὑπὸ τοῦ βασιλέως, ὃν [4] Ἠγερίας τε καὶ τῶν Μουσῶν πυθέσθαι. τὸ μὲν γὰρ ὅπλον ἥκειν ἐπὶ σωτηρίᾳ τῆς πόλεως, καὶ δεῖν αὐτὸ φρουρεῖσθαι, γενομένων ἄλλων ἕνδεκα καὶ σχῆμα καὶ μέγεθος καὶ μορφὴν ἐκείνῳ παραπλησίων, ὅπως ἄπορον εἴη τῷ κλέπτῃ

1 SG. πρό.
2 Ita dedit R. pro vulg. ἄπιστον.
3 SG. ἱστορεῖ.
4 deest SG. Idem hab. ἥκει pro ἥκειν; & voces, mox seq. ἄλλων ἕνδεκα deletæ sunt.

πῇ δι' ὁμοιότητα τοῦ διοπετοῦς ἐπιτυχεῖν· ἔτι δὲ χρῆναι Μούσαις καθιερῶσαι τὸ χωρίον ἐκεῖνο, καὶ τοὺς περὶ αὐτὸ λειμῶνας, ὅπου τὰ πολλὰ φοιτῶσαι συνδιατρίβουσιν αὐτῷ· τὴν δὲ πηγήν, ἣ καταρδεῖ τὸ χωρίον [1], ὕδωρ ἱερὸν ἀποδεῖξαι ταῖς ἑστιάσι παρθένοις, ὅπως λαμβάνουσαι καθ' ἡμέραν, ἁγνίζωσι καὶ ῥαίνωσι τὸ ἀνάκτορον. τούτοις μὲν οὖν μαρτυρῆσαι λέγουσι καὶ τὰ τῆς νόσου παραχρῆμα παυσάμενα. τὴν δὲ πέλτην προθέντος αὐτοῦ, καὶ κελεύσαντος ἁμιλλᾶσθαι τοὺς τεχνίτας ὑπὲρ τῆς ὁμοιότητος, τοὺς μὲν ἄλλους ἀπειπεῖν, Βετούριον δὲ Μαμούριον, ἕνα τῶν ἄκρων δημιουργῶν, οὕτως ἐφικέσθαι τῆς ἐμφερείας, καὶ κατασκευάσαι πάσας ὁμοίας, ὥστε μηδ' αὐτὸν ἔτι τὸν Νουμᾶν διαγινώσκειν. τούτων οὖν φύλακας καὶ ἀμφιπόλους ἀπέδειξε [2] τοὺς Σαλίους ἱερεῖς. Σάλιοι δ' ἐκλήθησαν, οὐχ ὡς ἔνιοι μυθολογοῦσι, Σαμόθρᾳκος ἀνδρός, ἢ Μαντινέως, ὄνομα Σαλίου [3], τὴν ἐνόπλιον ἐκδιδάξαντος ὄρχησιν, ἀλλὰ μᾶλλον ἀπὸ τῆς ὀρχήσεως αὐτῆς ἁλτικῆς [4] οὔσης, ἣν ὑπορχοῦνται διαπορευόμενοι τὴν πόλιν, ὅταν τὰς ἱερὰς πέλτας ἀναλάβωσιν ἐν τῷ Μαρτίῳ μηνί, φοινικοῦς μὲν ἐνδεδυμένοι χιτωνίσκους, μίτραις δὲ χαλκαῖς ὑπεζωσμένοι πλατείαις, καὶ κράνη χαλκᾶ φοροῦντες, ἐγχειριδίοις δὲ μικροῖς τὰ ὅπλα κρούοντες. ἡ δ' ἀκμὴ [5] τῆς ὀρχήσεως, ποδῶν ἔργον ἐστί. κινοῦνται γὰρ ἐπιτερπῶς, ἑλιγμούς τινας [6] καὶ μεταβολὰς ἐν ῥυθμῷ τάχος ἔχοντι καὶ πυκνότητα μετὰ ῥώμης καὶ κουφότητος ἀποδιδόντες. αὐτὰς δὲ τὰς πέλ-



1 V. τὴν γῆν. Id. paulo poſt παραυτίκα, pro παραχρ.

2 V. κατέστησε.

3 In V. & SG. add. πρώτου, ſubaudiendum ex mente H. Steph. ſi non addatur.

4 SG. ἀλγικῆς.

5 Ita dedit R. pro vulg. ἡ δὲ ἄλλη: — das rechte, eigentliche Weſen dieſes Tanzes &c.

6 deeſt SG. & Junt.

τας ἀγκύλια καλȣσι διὰ τὸ σχῆμα. κύκλος γὰρ ȣκ ἔςιν, ȣδ' ἀποδίδωσιν, ὡς πέλτη, τὴν περιφέρειαν, ἀλλ' ἐκτομὴν ἔχει γραμμῆς ἑλικοειδȣς, ἧς αἱ κεραῖαι καμπὰς ἔχȣσαι, καὶ συνεπιςρέφȣσαι τῇ πυκνότητι πρὸς ἀλλήλας, ἀγκύλον τὸ σχῆμα ποιȣσιν· ἢ διὰ τὸν ἀγκῶνα [1], περὶ ὃν περιφέρονται. ταῦτα γὰρ ὁ Ἰόβας εἴρηκε, γλιχόμενος ἐξελληνίσαι τȣνομα. δύναιτο δ' ἂν τῆς ἀνέκαθεν φορᾶς πρῶτον [2] ἐπώνυμον γεγονέναι, καὶ τῆς ἀκέσεως τῶν νοσȣντων, καὶ τῆς τῶν αὐχμῶν λύσεως, ἔτι δὲ τῆς τῶν δεινῶν ἀνασχέσεως. καθ' ὃ [3] καὶ τȣς Διοσκȣρȣς, Ἄνακας Ἀθηναῖοι προσηγόρευσαν. εἴ γε δεῖ πρὸς τὴν Ἑλληνικὴν διάλεκτον ἐξάγειν τȣνομα. τῷ δὲ Μαμȣρίῳ λέγȣσι μισθὸν γενέσθαι τῆς τέχνης ἐκείνης, μνήμην τινὰ δι' ᾠδῆς ὑπὸ τῶν Σαλίων ἅμα τῇ πυῤῥίχῃ διαπεραινομένης. οἱ δὲ Οὐετȣριον [4] Μαμȣριον εἶναί φασι τὸν ᾀδόμενον, ἄλλοι Οὐετέρεμ μεμορίαμ, ὅπερ ἐςὶ, παλαιὰν μνήμην.

XIV. Ἐπεὶ δὲ διεκόσμησε τὰς ἱερωσύνας, ἐδείματο πλησίον τȣ τῆς Ἑςίας ἱερȣ τὴν καλȣμένην Ῥηγίαν, οἷόν τι βασίλειον οἴκημα· καὶ τὸ πλεῖςον αὐτόθι τȣ χρόνȣ διέτριβεν, ἱερȣργῶν ἢ διδάσκων τȣς ἱερεῖς, ἢ πρὸς ἐννοίᾳ [5] τινὶ τῶν θείων πρὸς αὐτȣς σχολάζων. οἰκίαν δ' εἶχεν ἑτέραν περὶ τὸν Κυρίνȣ λόφον,

1 Ita Anon. SG. Junt. & Ald. — Vulg. ἀγῶνα. Pro comp. περιφέρονται R. mavult simplex φέρονται.

2 R. mavult τὸ πρῶτον, adverb. primitus, a principio.

3 SG. καθὸ.

4 V. habet ȣκ Οὐετȣριον. Quare susp. Br. Plutarchum scripsisse, οὐ Βετȣριον, & paulo post esse legendum, ἀλλὰ ȣετέριμ: Id quod hab. V. & Anon. — Vix hæc lectio reprobari posse videtur. R. tamen pro οἱ δὲ mavult ὃν δὲ; quam lectionem probare meo judicio est difficilius.

5 Ita V. & Anon. & Lapus. Vulg. εὐνοίᾳ, quod vitiose dedit prima Aldina: — *meditatione loci alicujus e doctrina divina repetiti apud eos vacans.* R.

φον, ἧς ἔτι νῦν τὸν τόπον ἐπιδεικνύουσιν. ἐν δὲ ταῖς προπομπαῖς, καὶ ὅλως τῶν ἱερέων [1] ταῖς πομπαῖς προηγοῦντο κήρυκες ἀνὰ τὴν πόλιν, ἐλινύειν κελεύοντες, καὶ τὰ ἔργα καταπαύοντες. ὡς γάρ φασι τοὺς Πυθαγορικοὺς οὐκ ἐᾶν ἐκ παρόδου [2] προσκυνεῖν καὶ προσεύχεσθαι τοῖς Θεοῖς, ἀλλ' οἴκοθεν εὐθὺς ἐπὶ τοῦτο γνώμῃ παρασκευασαμένους βαδίζειν· οὕτως ᾤετο ὁ [3] Νουμᾶς χρῆναι τοὺς πολίτας μήτ' ἀκούειν τι τῶν θείων, μήτε ὁρᾷν ἐν παρέργῳ καὶ ἀμελῶς, ἀλλὰ σχολὴν ἄγοντας ἀπὸ τῶν ἄλλων, καὶ προσέχοντας τὴν διάνοιαν ὡς πράξει μεγίστῃ τῇ [4] περὶ τὴν εὐσέβειαν, ψόφων τε καὶ πατάγων καὶ στεναγμῶν, καὶ ὅσα τοιαῦτα τοῖς ἀναγκαίοις καὶ βαναύσοις πόνοις ἕπεται, καθαρὰς τὰς ὁδοὺς ταῖς ἱερουργίαις παρέχοντας. ὧν ἴχνος τι μέχρι νῦν διασώζοντες, ὅταν ἄρχων πρὸς ὄρνισιν ἢ θυσίαις διατρίβῃ, βοῶσιν· Ὂκ ἄγε· σημαίνει δὲ ἡ φωνή· Τοῦτο πρᾶσσε, συνεπιστρέφουσα καὶ κατακοσμοῦσα τοὺς προστυγχάνοντας [5]. ἦν δὲ καὶ τῶν [ἄλλων] [6] παραγγελμάτων αὐτοῦ πολλὰ τοῖς Πυθαγορικοῖς ἐοικότα. ὡς γὰρ ἐκεῖνοι παρήνουν ἐπὶ χοίνικος μὴ καθῆσθαι, καὶ μαχαίρᾳ πῦρ μὴ σκαλεύειν [7], καὶ βαδίζοντας εἰς ἀποδημίας μὴ μεταστρέφεσθαι, καὶ τοῖς μὲν οὐρανίοις περισσὰ θύειν, ἄρτια δὲ τοῖς χθονίοις, ὧν ἑκάστου τὴν διάνοιαν ἀπεκρύπτοντο πρὸς τοὺς πολλούς [8]. οὕτως ἔνια τῶν Νουμᾶ πατρίων ἀπόρ-

1 Anon. ἱερῶν. R. mavult ἐν δὲ ταῖς Σαλίων, καὶ ὅλως τῶν ἱερέων πομπαῖς.

2 Legitur etiam, teste H. Steph. ἐκ παραλόγου.

3 R. mavult οὕτ. ᾤετο καὶ ὁ N. — Deest ὁ SG. — Paulo post pro τ. θείων hab. V. τῶν θεῶν.

4 R. susp. τοῖς, — rebus ad religionem pertinentibus.

5 Ita dedit Ald. — Junt. ἐντυγχ.

6 Ex vet. cod. additus fuit hic genitivus. H. Steph. — A SG. Junt. & Ald. abest.

7 Legitur etiam, teste H. Steph. σαλεύειν.

8 Articulum dedit Anon. — Eo carent Junt. & Ald.

ἀπόῤῥητον ἔχει τὸν λόγον· οἷον, τὸ μὴ σπένδειν Θεοῖς ἐξ ἀμπέλων ἀτμήτων, μηδὲ θύειν ἄτερ ἀλφίτων· καὶ τὸ προσκυνεῖν περιστρεφομένους, καὶ τὸ καθῆσθαι προσκυνήσαντας. τὰ μὲν οὖν πρῶτα δύο τὴν γῆς [1] ἐξημέρωσιν ἔοικε διδάσκειν, ὡς μόριον εὐσεβείας οὖσαν· ἡ δὲ περιστροφὴ τῶν προσκυνούντων, λέγεται μὲν ἀπομίμησις εἶναι τῆς τοῦ κόσμου περιφορᾶς· δόξῃ [2] δ' ἂν μᾶλλον ὁ προσκυνῶν, ἐπεὶ πρὸς ἕω τῶν ἱερῶν βλεπόντων ἀπέστραπται τὰς ἀνατολὰς [3], μεταβάλλειν ἑαυτὸν ἐνταῦθα καὶ περιστρέφειν ἐπὶ τὸν Θεὸν, κύκλον ποιῶν καὶ συνάπτων τὴν ἐπιτελείωσιν τῆς εὐχῆς [4] δι' ἀμφοῖν. εἰ μὴ νὴ Δία τοῖς Αἰγυπτίοις τροχοῖς αἰνίττεταί τι καὶ διδάσκει παραπλήσιον ἡ μεταβολὴ τοῦ σχήματος, ὡς οὐδενὸς ἑστῶτος τῶν ἀνθρωπίνων, ἀλλ' ὅπως ἂν στρέφῃ καὶ ἀνελίττῃ τὸν βίον ἡμῶν ὁ Θεὸς, ἀγαπᾷν καὶ δέχεσθαι προσῆκον. τὸ δὲ καθέζεσθαι προσκυνήσαντας, οἰωνισμὸν εἶναι λέγουσι τοῦ βεβαιότητα ταῖς εὐχαῖς καὶ διαμονὴν τοῖς ἀγαθοῖς ἐπιγίνεσθαι. λέγουσι δὲ καὶ πράξεων διορισμὸν εἶναι τὴν ἀνάπαυσιν· ὡς οὖν τῇ προτέρᾳ πράξει πέρας ἐπιτιθέντας καθέζεσθαι παρὰ τοῖς Θεοῖς, ἵνα ἑτέρας πάλιν ἀρχὴν [5] παρ' ἐκείνων λάβωσι. δύναται δὲ καὶ τοῦτο τοῖς εἰρημένοις ὁμολογεῖν [6], ἐθίζοντος ἡμᾶς τοῦ νομοθέτου μὴ ποιεῖσθαι τὰς πρὸς τὸ θεῖον ἐντεύξεις ἐν ἀσχολίᾳ καὶ παρέργως, οἷον σπεύδοντας, ἀλλ' ὅταν χρόνον ἔχωμεν καὶ σχολὴν ἄγωμεν.

XV. Ἐκ δὲ τῆς τοιαύτης παιδαγωγίας πρὸς τὸ θεῖον, οὕτως ἡ πόλις ἐγεγόνει [7] χειροήθης καὶ κατατεθαμ-

1 Deest hic genit. SG. Junt. & Ald.

2 Anon. δόξεις. Junt. & Ald. δόξα, unde R. susp. δόξειε. V. lin. seq. ἐπειδὴ, pro ἐπεί.

3 Anon. πρὸς τὰς ἀν. Br. mavult πρὸς sine τάς.

4 V. ἀρχῆς.

5 V. ἀρχῆς.

6 R. susp. ὁμολογοῦν εἶναι ταῦτα λέγειν ἐθίζοντος.

7 V. ἐγίνετο.

τεθαμβημένη τὴν τῦ Νυμᾶ δύναμιν, ὥςε μύθοις ἐοικότας τὴν ἀτοπίαν λόγυς παραδέχεσθαι, καὶ νομίζειν μηδὲν ἄπιςον [1] εἶναι, μηδ' ἀμήχανον, ἐκείνυ βυληθέντος. λέγεται γῦν ποτε καλέσας ἐπὶ τὴν τράπεζαν ἐκ ὀλίγυς τῶν πολιτῶν, σκεύη τε φαῦλα καὶ δεῖπνον εὐτελὲς πάνυ προθέσθαι καὶ δημοτικόν· ἀρξαμένων δὲ δειπνεῖν, ἐμβαλὼν λόγον, ὡς ἡ Θεὸς, ᾗ σύνεςιν, ἥκοι [2] πρὸς αὐτὸν, αἰφνίδιον ἐπιδεῖξαι τόν τ' οἶκον ἐκπωμάτων πλήρη πολυτελῶν, καὶ τὰς τραπέζας ὄψων τε παντοδαπῶν καὶ παρασκευῆς δαψιλῦς γεμέσας. πᾶσαν ὑπερβέβληκεν ἀτοπίαν τὸ ὑπὲρ τῆς τῦ Διὸς ὁμιλίας ἱςορύμενον. μυθολογῦσι γὰρ, εἰς τὸν Ἀβεντῖνον λόφον, ὕπω μέρος ὄντα τῆς πόλεως, ὐδὲ συνοικύμενον, ἀλλ' ἔχοντα πηγάς τε δαψιλεῖς ἐν αὐτῷ καὶ νάπας σκιερὰς, φοιτᾷν δύο δαίμονας, Πῖκον καὶ Φαῦνον· ὓς τὰ μὲν ἄλλα Σατύρων ἄν τις ἢ Τιτάνων [3] γένει προσεικάσειε, δυνάμει δὲ φαρμάκων καὶ δεινότητι τῆς περὶ τὰ θεῖα [4] γοητείας, λέγονται ταὐτὰ τοῖς ὑφ' Ἑλλήνων προσαγορευθεῖσιν Ἰδαίοις Δακτύλοις σοφιζόμενοι, περιϊέναι τὴν Ἰταλίαν. τύτυς φασὶ χειρώσασθαι τὸν Νυμᾶν, οἴνῳ καὶ μέλιτι κεράσαντα τὴν κρήνην, ἀφ' ἧς ἔπινον συνήθως· ληφθέντας δὲ πολλὰς μὲν ἰδέας τρέπεσθαι, καὶ μετεκδύεσθαι τὴν αὐτῶν φύσιν, ἀλλόκοτα φάσματα καὶ φοβερὰ τῆς ὄψεως προβαλλομένυς. ἐπεὶ δ' ἔγνωσαν ἑαλωκότες ἰσχυρὰν καὶ ἄφυκτον ἅλωσιν, ἄλλα τε προθεσπίσαι πολλὰ τῶν μελλόντων, καὶ τὸν ἐπὶ τοῖς κεραυνοῖς ἐκδιδάξαι καθαρμὸν, ὃς ποιεῖται μέχρι νῦν διὰ κρομμύων [5], καὶ τριχῶν, καὶ μαινίδων. ἔνιοι δ' ὐ τὺς

1 Junt. & Ald. ἄτοπον, quod Stephano minus placuit.
2 SG. ἵκοι. Junt. οἴκοι.
3 Anon. Πάνων γένει, quod Daeer. ex Ms. confirmat. Mox sequens προσεικάσ. hab. SG. — Vulg. dant cum ν. ἐφελκ.
4 Teste Steph. etiam legitur τὸ θεῖον. Ita V.
5 SG. κρομύων. Sic & inferius.

τὺς δαίμονας φασὶν ὑποθέσθαι τὸν καθαρμὸν, ἀλλ᾽ ἐκείνυς μὲν καταγαγεῖν τὸν Δία μαγεύσαντας· τὸν δὲ Θεὸν ὀργιζόμενον τῷ Νυμᾷ, προστάσσειν, ὡς χρὴ γενέσθαι τὸν καθαρμὸν κεφαλαῖς. ὑπολαβόντος δὲ τῦ Νυμᾶ, κρομμύων; εἰπεῖν, ἀνθρώπων· τὸν δὲ αὖθις ἐκτρέποντα τὸ τῦ προστάγματος δεινὸν, ἐπέρεσθαι, θριξίν; ἀποκριναμένυ δὲ τῦ Διὸς ἐμψύχοις, ἐπαγαγεῖν τὸν Νυμᾶν μαινίσι· ταῦτα λέγειν ὑπὸ τῆς Ἡγερίας [1] δεδιδαγμένον. καὶ τὸν μὲν Θεὸν ἀπελθεῖν ἵλεω γενόμενον, τὸν δὲ τόπον, ἰλίκιον [2] ἀπ᾽ ἐκείνυ προσαγορευθῆναι, καὶ τὸν καθαρμὸν ὕτω συντελεῖσθαι. ταῦτα μὲν ὖν μυθώδη καὶ γελοῖα τὴν τῶν τότε ἀνθρώπων ἐπιδείκνυται διάθεσιν πρὸς τὸ θεῖον, ἣν ὁ ἐθισμὸς αὐτοῖς ἐνεποίησεν. αὐτὸν δὲ τὸν Νυμᾶν ὕτω φασὶν εἰς τὸ θεῖον ἀνηρτῆσθαι ταῖς ἐλπίσιν, ὥστε καὶ προσαγγελίας αὐτῷ ποτε γενομένης, ὡς ἐπέρχονται πολέμιοι, μειδιάσαι, καὶ εἰπεῖν· Ἐγὼ δὲ θύω.

XVI. Πρῶτον δέ φασι καὶ Πίστεως καὶ Τέρμονος ἱερὸν ἱδρύσασθαι, καὶ τὴν μὲν Πίστιν ὅρκον ἀποδεῖξαι Ῥωμαίοις μέγιστον· ᾧ χρώμενοι μέχρι νῦν διατελῦσιν. ὁ δὲ Τέρμων, ὅρος ἄν τις εἴη, καὶ θύυσιν αὐτῷ δημοσίᾳ καὶ ἰδίᾳ κατὰ τὺς τῶν ἀγρῶν περιορισμὺς, νῦν μὲν ἔμψυχα, τὸ παλαιὸν δ᾽ ἀναίμακτος ἦν ἡ θυσία, Νυμᾶ φιλοσοφήσαντος, ὡς χρὴ τὸν ὅριον Θεὸν, εἰρήνης φύλακα καὶ δικαιοσύνης μάρτυν ὄντα, φόνυ καθαρὸν εἶναι. δοκεῖ δὲ καὶ ὅλως αὐτὸς ὁρίσαι τὴν χώραν ὁ βασιλεὺς, Ῥωμύλυ μὴ βυληθέντος ἐξομολογήσασθαι τῷ μέτρῳ τῦ οἰκείυ τὴν ἀφαίρεσιν τῦ ἀλλοτρίυ· δεσμὸν γὰρ εἶναι τῆς δυνάμεως τὸν ὅρον, ἂν φυλάττηται, μὴ φυλαττόμενον δὲ, τῆς ἀδικίας ἔλεγχον. ὐ μὴν ὐδ᾽ ἦν δαψιλὴς χώρα τῇ πόλει κατ᾽ ἀρχὰς [3], ἀλλὰ τὴν πολ-

1 V. ἡγεμονίας.
2 Anon. ἠλίκιον. R. mavult ἱλήκιον, a. v. ἱλήκω, placo.
3 SG. καταρχάς. Id. paulo poſt voci ἀδικίας addit art. τῆς.

πολλὴν αἰχμῇ προσεκτήσατο Ῥωμύλος· καὶ ταύτην πᾶσαν ὁ Νουμᾶς διένειμε τοῖς ἀπόροις τῶν πολιτῶν, ὡς ἀνάγκην ἀδικίας ἀφαιρῶν τὴν ἀπορίαν, καὶ τρέπων ἐπὶ γεωργίαν τὸν δῆμον ἅμα τῇ χώρᾳ συνεξημερούμενον. οὐδὲν [1] γὰρ ἄλλο τῶν ἐπιτηδευμάτων οὕτως ἔρωτα δριμὺν εἰρήνης ἐνεργάζεται καὶ ταχὺν, ὡς ὁ ἀπὸ γῆς βίος, ἐν ᾧ καὶ τῆς πολεμικῆς εὐτολμίας τὸ μὲν ὑπερμαχητικὸν [2] τοῦ οἰκείου διαμένει καὶ πάρεστι, τὸ δ' εἰς ἀδικίαν καὶ πλεονεξίαν ἀνειμένον ἐκκέκοπται. διὸ καὶ τὴν γεωργίαν ὁ Νουμᾶς οἷον εἰρήνης φίλτρον ἐμμίξας [3] τοῖς πολίταις, καὶ μᾶλλον ὡς ἠθοποιὸν, ἢ πλουτοποιὸν, ἀγαπήσας τέχνην, εἰς μέρη τὴν χώραν διεῖλεν, ἃ Πάγους προσηγόρευσε, καὶ καθ' ἕκαστον ἐπισκόπους ἔταξε καὶ περιπόλους. ἔστι δ' ὅτε καὶ αὐτὸς ἐφορῶν καὶ τεκμαιρόμενος ἀπὸ τῶν ἔργων τοὺς τρόπους τῶν πολιτῶν, τοὺς μὲν εἰς τιμὰς καὶ πίστεις ἀνῆγε, τοὺς δὲ ῥαθύμους καὶ ἀμελεῖς ψέγων καὶ κακίζων, ἐσωφρόνιζε.

XVII. Τῶν δ' ἄλλων αὐτοῦ πολιτευμάτων ἡ κατὰ τέχνας διανομὴ τοῦ πλήθους μάλιστα θαυμάζεται. τῆς γὰρ πόλεως ἐκ δυοῖν γενῶν, ὥσπερ εἴρηται, συνεστάναι δοκούσης, διεστώσης δὲ μᾶλλον, καὶ μηδενὶ τρόπῳ μιᾶς γενέσθαι βουλομένης, μηδ' οἷον [4] ἐξαλεῖψαι τὴν ἑτερότητα καὶ διαφορὰν, ἀλλὰ συγκρούσεις ἀπαύστους καὶ φιλονεικίας τῶν μερῶν ἐχούσης, διανοηθεὶς, ὅτι καὶ τῶν σωμάτων τὰ φύσει δύσμικτα καὶ σκληρὰ καταθραύοντες, καὶ

1 Junt. & Ald. οὐδὲ γάρ. Quod non reprobat R. si legeretur: οὐδὲ γὰρ ἄλλο τι. Ibid. in seq. ἐργάζ. pro ἐνεργ.

2 Junt. & Ald. ὑπερμαχικὸν, cui voci, si non usus, tamen analogia favet.

3 Hanc lectionem præfert Dacer. ob seq. ἀγαπήσας, atque ita testatur esse in Ms. Flor. & Seguieriano. Sic etiam exstat in Flor. & Ald.

4 R. susp. μηδ' ἐᾶν οἷον ἐξαλ.

καὶ διαιρῦντες ἀναμιγνύυσιν, ὑπὸ σμικρότητος [1] ἀλλήλοις συμβαίνοντα μᾶλλον, ἔγνω κατατεμεῖν εἰς [2] τομὰς πλείονας τὸ σύμπαν πλῆθος. ἐκ δὲ τύτων, εἰς ἑτέρας ἐμβαλὼν διαφορὰς, τὴν πρώτην ἐκείνην καὶ μεγάλην ἀφανίσαι, ταῖς [3] ἐλάττοσιν ἐνδιασπαρεῖσαν. ἦν δ' ἡ διανομὴ κατὰ τὰς τέχνας, αὐλητῶν, χρυσοχόων, τεκτόνων, βαφέων, σκυτοτόμων, σκυτοδεψῶν, χαλκέων, κεραμέων. τὰς δὲ λοιπὰς τέχνας εἰς ταυτὸ συναγαγὼν [4], ἓν αὐτὸ ἐκ πασῶν ἀπέδειξε σύστημα. κοινωνίας δὲ καὶ συνόδυς καὶ Θεῶν τιμὰς ἀποδὺς ἑκάστῳ γένει πρεπύσας, τότε πρῶτον ἐκ τῆς πόλεως ἀνεῖλε τὸ λέγεσθαι καὶ νομίζεσθαι τὺς μὲν Σαβίνυς, τὺς δὲ Ῥωμαίυς· καὶ τὺς μὲν Τατίυ, τὺς δὲ Ῥωμύλυ πολίτας· ὥστε τὴν διαίρεσιν εὐαρμοστίαν καὶ ἀνάμιξιν πάντων γενέσθαι πρὸς πάντας. ἐπαινεῖται δὲ τῶν πολιτικῶν αὐτῦ καὶ τὸ περὶ τὸν νόμον διόρθωμα, τὸν διδόντα τοῖς πατράσι τὺς παῖδας πιπράσκειν, ὑπεξελομένυ [5] τὺς γεγαμηκότας, εἰ τῦ πατρὸς ἐπαινῦντος καὶ κελεύοντος ὁ γάμος γένοιτο. δεινὸν γὰρ ἡγεῖτο τὴν ὡς ἐλευθέρῳ γεγαμημένην γυναῖκα, δύλῳ συνοικεῖν.

XVIII. Ἥψατο δὲ καὶ τῆς περὶ τὸν ὀρανὸν [6] πραγματείας, ὔτ' ἀκριβῶς, ὔτε παντάπασιν ἀθεωρήτως. Ῥωμύλυ γὰρ βασιλεύοντος, ἀλόγως ἐχρῶντο τοῖς μησὶ καὶ ἀτάκτως, τὺς μὲν ὐδ' εἴκοσιν ἡμερῶν, τὺς δὲ πέντε καὶ τριάκοντα, τὺς δὲ πλειόνων λογιζόμενοι· τῆς δὲ

1 SG. μικρότ. — V. σκληρότητος.

2 R. add. h. præpos. de suo.

3 V. τοῖς.

4 V. συνενεγκών. R. pro seq. ἓν αὐτὸ, aut legendum censet ἓν αὐτῶν, aut ἐν καὶ ταυτό.

5 Ita V. — Vulg. ὑπεξελομένας. Br. mavult ὑπεξελόμενον, refer. ad διόρθωμα.

6 Scriptum, teste H. Steph. invenitur ἐνιαυτὸν. Ita V. & Anon.

δὲ γινομένης ἀνωμαλίας περὶ τὴν σελήνην καὶ τὸν ἥλιον ἔννοιαν οὐκ ἔχοντες, ἀλλ' ἓν [1] φυλάττοντες μόνον, ὅπως ἑξήκοντα καὶ τριακοσίων ἡμερῶν ὁ ἐνιαυτὸς ἔσται. Νουμᾶς δὲ τὸ παράλλαγμα τῆς ἀνωμαλίας ἡμερῶν ἕνδεκα γίνεσθαι λογιζόμενος, ὡς τοῦ μὲν σεληνιακοῦ τριακοσίας πεντήκοντα τέσσαρας ἡμέρας ἔχοντος, τοῦ δὲ ἡλιακοῦ τριακοσίας ἑξήκοντα πέντε, τὰς ἕνδεκα ταύτας ἡμέρας διπλασιάζων, ἐπήγαγε παρ' ἐνιαυτὸν ἐπὶ τῷ Φεβρουαρίῳ μηνὶ τὸν ἐμβόλιμον, ὑπὸ Ῥωμαίων Μερκιδῖνον καλούμενον, εἴκοσι καὶ δυοῖν ἡμερῶν ὄντα. καὶ τοῦτο μὲν αὐτῷ [2] τὸ ἴαμα τῆς ἀνωμαλίας μειζόνων ἔμελλεν ἰαμάτων δεήσεσθαι. μετεκίνησε δὲ καὶ τὴν τάξιν τῶν μηνῶν· τὸν γὰρ Μάρτιον πρῶτον ὄντα, τρίτον ἔταξε, πρῶτον δὲ τὸν Ἰανουάριον, ὃς ἦν ἑνδέκατος ἐπὶ [3] Ῥωμύλου, δωδέκατος δὲ καὶ τελευταῖος, ὁ Φεβρουάριος, ᾧ νῦν δευτέρῳ χρῶνται. πολλοὶ δέ εἰσιν, οἳ καὶ προστεθῆναι τούτους ὑπὸ Νουμᾶ τοὺς μῆνας λέγουσι, τόν τε Ἰανουάριον καὶ τὸν Φεβρουάριον, ἐξ ἀρχῆς δὲ χρῆσθαι δέκα μόνον [4] εἰς τὸν ἐνιαυτόν· ὡς ἔνιοι τῶν βαρβάρων τρισὶ, καὶ τῶν Ἑλλήνων Ἀρκάδες μὲν τέσσαρσιν [5], ἓξ δ' Ἀκαρνᾶνες· Αἰγυπτίοις δὲ μηνιαῖος [6] ἦν ὁ ἐνιαυτὸς, εἶτα τετράμηνος, ὥς φασι. διὸ καὶ νεωτάτην χώραν [7] οἰκοῦντες, ἀρχαιότατοι δοκοῦσιν εἶναι, καὶ πλῆθος

1 Vulg. dant ἓν μὲν, quam particulam tanquam vitiose redundantem omisit R.

2 Hanc lect. revocavit R. e Junt. & Ald. pro vulg. αὐτοῦ.

3 ὑπὸ dant Junt. & Ald. e quibus R. etiam δὲ addidit. καὶ in Junt. non cernitur, quod Ald. dedit.

4 Ita ex emend. R. — SG. V. e Junt. δεκάμηνον. Lect. Ald. est δέκα μησίν.

5 Mezir. corrigendum censet τρισὶν, nisi Pl. falsa proferat.

6 SG. μηναῖος.

7 Anon. νεώτατοι; (falso in edit. R. νεότατοι) τὴν χώραν. In seq. teste H. Steph. etiam legitur ἀρχαιοτάτην.

θος ἀμήχανον ἐτῶν ἐπὶ ταῖς γενεαλογίαις καταφέρουσιν [1], ἅτε δὴ τοὺς μῆνας εἰς ἐτῶν ἀριθμὸν τιθέμενοι.

XIX. Ῥωμαῖοι δὲ ὅτι μὲν δέκα μῆνας εἰς τὸν ἐνιαυτὸν ἔταττον, οὐ δώδεκα, τεκμήριον ἡ τοῦ τελευταίου προσηγορία. δέκατον γὰρ αὐτὸν ἄχρι νῦν καλοῦσιν. ὅτι δὲ τὸν Μάρτιον πρῶτον, ἡ τάξις [2] ἐκδηλοῖ· τὸν γὰρ ἀπ' ἐκείνου πέμπτον, ἐκάλουν πέμπτον· ἕκτον δὲ τὸν ἕκτον, καὶ τῶν ἄλλων ἐφεξῆς [3] ὁμοίως ἕκαστον. ἐπεὶ τὸν Ἰανουάριον [καὶ τὸν Φεβρουάριον [4]] πρὸ τοῦ Μαρτίου τιθεμένοις συνέβαινεν αὐτοῖς τὸν εἰρημένον μῆνα, πέμπτον μὲν ὀνομάζειν, ἕβδομον δ' ἀριθμεῖν. ἄλλως δὲ καὶ λόγον εἶχε, τὸν Μάρτιον Ἄρει καθιερωμένον ὑπὸ τοῦ Ῥωμύλου πρῶτον ὀνομάζεσθαι· δεύτερον δὲ τὸν Ἀπρίλλιον, ἐπώνυμον ὄντα τῆς Ἀφροδίτης, ἐν ᾧ θύουσί τε τῇ Θεῷ, καὶ ταῖς καλάνδαις ἐστεφανωμέναι αἱ γυναῖκες μυρσίνῃ λοῦνται. τινὲς δ' οὐ δι' Ἀφροδίτην τὸν Ἀπρίλλιον φασὶν [5], ἀλλ' ὥσπερ ἔχει τοὔνομα ψιλὸν, Ἀπρίλλιον κεκλῆσθαι τὸν μῆνα, τῆς ἐαρινῆς ὥρας ἀκμαζούσης, ἀνοίγοντα καὶ ἀνακαλύπτοντα [6] τοὺς βλαστοὺς τῶν φυτῶν· τοῦτο γὰρ ἡ γλῶσσα σημαίνει. τῶν δ' ἐφεξῆς τὸν

1 V. e Junt. Anon. SG. διαφέρουσιν.

2 Ita R. h. l. e Junt. & Ald. consent. SG. restituit pro vulg. τὸν δὲ Μάρτιον πρῶτον ἡ τάξις sine ὅτι, & sine commate, & trajectis vocabulis. ἐκδηλοῖ dedit R. de suo, ambigens, utrum ei ἐκλαλεῖ præferret? Vulg. ἐκάλει.

3 SG. Junt. & Ald. dant simpl. ἑξῆς.

4 Hæc tria vocabula κ. τ. Φ. ut delenda, uncis inclusit R. satis defensus a seq. constructione Plut. Pro τιθεμένοις V. hab. τιθέμενοι.

5 V. διὰ τὴν Ἀφροδίτην. SG. οὐ διὰ τὸν Ἀπρίλλιον φασὶν Ἀφροδίτην, ἀλλ'.

6 Ita emend. H. Steph. — In Junt. & Ald. est ἀνοίγουσα. Duo vocab. καὶ ἀνακ. desunt iisdem, uti & SG. — Reisk. locus ita legendus esse videtur τῆς ἐαρινῆς ὥρας ἀνοιγούσης τοὺς βλ. τ. φ.

τὸν μὲν Μάϊον καλȣ̃σιν ἀπὸ Μαίας· Ἑρμῆ γὰρ ἀφιέρωται [1]. τὸν δὲ Ἰȣ́νιον ἀπὸ τῆς Ἥρας [2]. εἰσὶ δέ τινες οἱ τȣ́τȣς ἡλικίας ἐπωνύμȣς εἶναι λέγοντες, πρεσβυτέρας καὶ νεωτέρας. Μαϊώρης γὰρ οἱ πρεσβύτεροι παρ' αὐτοῖς, Ἰȣνιώρης δὲ οἱ νεώτεροι καλȣ̃νται. τῶν δὲ λοιπῶν ἕκαστον ἀπὸ τῆς τάξεως, ὥσπερ ἀριθμȣ̃ντες, ὠνόμαζον, πέμπτον, ἕκτον, ἕβδομον, ὄγδοον, ἔννατον, δέκατον· εἶτα ὁ πέμπτος ἀπὸ Καίσαρος τȣ̃ καταγωνισαμένȣ Πομπήϊον, Ἰȣ́λιος· ὁ ἕκτος [3] δ' Αὔγȣστος, ἀπὸ τȣ̃ δευτέρȣ μὲν ἄρξαντος, Σεβαστȣ̃ δ' ἐπικληθέντος, ὠνομάσθη. τȣ̀ς δ' ἐφεξῆς δύο [4] Δομετιανὸς εἰσεποίησε ταῖς αὐτȣ̃ ἐπωνυμίαις ȣ̓ πολὺν χρόνον. ἀλλὰ τὰς αὐτῶν ἀναλαβόντες πάλιν, ἐκείνȣ σφαγέντος, ὁ μὲν ἕβδομος, ὁ δ' ὄγδοος, καλȣ̃νται. μόνοι δ' οἱ τελευταῖοι δύο τὴν ἀπὸ τῆς τάξεως κλῆσιν, ὥσπερ ἔχον ἐξ ἀρχῆς, διεφύλαξαν. τῶν δὲ ὑπὸ Νȣμᾶ προστεθέντων, ἢ μετατεθέντων, ὁ μὲν Φεβρȣάριος, οἷον καθάρσιος ἄν τις εἴη· καὶ γὰρ ἡ λέξις ἔγγιστα τȣ̃το σημαίνει, καὶ τοῖς φυτοῖς [5] ἐναγίζȣσι τότε, καὶ τὴν τῶν Λȣπερκαλίων ἑορτὴν εἰς τὰ πολλὰ καθαρμῷ προσεοικυῖαν τελȣ̃σιν. ὁ δὲ πρῶτος Ἰανȣάριος, ἀπὸ τȣ̃ Ἰαννȣ̃. δοκεῖ δέ μοι τὸν Μάρτιον ὁ Νȣμᾶς, ἐπώνυμον ὄντα τȣ̃ Ἄρεος, ἐκ τῆς προεδρίας μεταστῆσαι, βȣλόμενος ἐν παντὶ τῆς πολεμικῆς [6] δυνάμεως προτιμᾶσθαι τὴν πολιτικήν. ὁ γὰρ Ἰανὸς ἐν τοῖς παλαιοῖς πάνυ, εἴτε δαίμων, εἴτε βασιλεὺς



1 V. ἀνιέρωται. Præced. ἑρμῆ SG. ἑρμεῖ.

2 Ita legendum cenſent cum Anon. Xylander, Lap. H. Steph. Mezir. Br. — Vulg. ὥρας. — SG. ſeq. ἡλικίας omittit.

3 Artic. addidit R. de ſuo.

4 Br. hanc vocem inſerendam cenſuit, quæ in nulla ſuperiorum edd. legitur. Pro ἐπωνυμ. SG. προσωνυμίαις.

5 Xyl. vertit: *mortuis parentant*, legendum ducens: θνητοῖς. Br. mavult φθιτοῖς, quod probat Mezir. & Dacer. ex Ms. profert. Idem dant V. & Anon.

6 SG. πολιτικῆς.

λεὺς γενόμενος, πολιτικὸς καὶ κοινωνικος, ἐκ τῆς θηριώδους καὶ ἀγρίου λέγεται μεταβαλεῖν τὴν δίαιταν. καὶ διὰ τοῦτο πλάττουσιν αὐτὸν ἀμφιπρόσωπον, ὡς ἑτέραν ἐξ ἑτέρας τῷ βίῳ περιποιήσαντα τὴν μορφὴν καὶ διάθεσιν.

XX. Ἔστι δ' [1] αὐτοῦ καὶ νεὼς ἐν Ῥώμῃ δίθυρος, ὃν πολέμου πύλην καλοῦσι. νομίζεται γὰρ, ἀνεῷχθαι μὲν αὐτὸν, ὅταν ᾖ πόλεμος, κεκλεῖσθαι δ', εἰρήνης γενομένης. ὃ δὴ χαλεπὸν, ἢ [2] καὶ σπανίως γινόμενον, ἀεί τινι συνηρτημένης πολέμῳ τῆς ἡγεμονίας, διὰ μέγεθος τοῖς κύκλῳ περικεχυμένοις [3] γένεσι βαρβάροις ἀντερειδούσης. πλὴν ἐπί γε τοῦ Σεβαστοῦ Καίσαρος ἐκλείσθη, καθελόντος Ἀντώνιον· καὶ πρότερον, ὑπατευόντων Μάρκου Ἀτιλίου καὶ Τίτου Μαλλίου χρόνον οὐ πολύν· εἶτ' εὐθὺς ἀνεῴχθη πολέμου συῤῥαγέντος. ἀλλ' ἐπί γε τῆς Νουμᾶ βασιλείας οὐδεμίαν ἡμέραν ἀνεῳγμένος ὤφθη, τρία δὲ καὶ τεσσαράκοντα ἔτη συνεχῶς ἔμεινε κεκλεισμένος. οὕτως ἐξῄρητο παντελῶς τὰ τοῦ πολέμου, καὶ πανταχόθεν. οὐ γὰρ μόνον ὁ Ῥωμαίων ἡμέρωτο καὶ κατακεκήλητο [4] τῇ δικαιοσύνῃ καὶ πρᾳότητι τοῦ βασιλέως δῆμος, ἀλλὰ καὶ τὰς κύκλῳ πόλεις, ὥσπερ αὔρας τινὸς ἐκεῖθεν ἢ πνεύματος ὑγιεινοῦ φέροντος, ἀρχὴ μεταβολῆς ἔλαβε, καὶ πόθος εἰσεῤῥύη πάντας εὐνομίας καὶ εἰρήνης, καὶ γῆν φυτεύειν, καὶ τέκνα τρέφειν ἐν ἡσυχίᾳ, καὶ σέβεσθαι Θεούς. ἑορταὶ δὲ καὶ θαλίαι, καὶ παρ' ἀλλήλους ἀδεῶς ἰόντων καὶ ἀναμιγνυμένων ὑποδοχαὶ καὶ φιλοφροσύναι τὴν Ἰταλίαν κατεῖχον, οἷον ἐκ πηγῆς τῆς Νουμᾶ σοφίας τῶν καλῶν καὶ δικαίων ἐπεισ-

1 SG. ἔστιν δὲ; & paulo post καλοῦσιν.

2 R. aut plane delendum, aut cum ἦν mutandum censet.

3 SG. περικεχυμένης.

4 SG. κατεκεκ. — In seq. παραλλήλους pro παρ' ἀλλ.

ἐπεισρεόντων εἰς ἅπαντας, καὶ διαδεχομένης [1] τῆς περὶ ἐκεῖνον γαλήνης. ὥςε καὶ τὰς ποιητικὰς ὑπερβολὰς ἐνδεῖν πρὸς τὴν τότε κατάςασιν λέγουσιν· Ἐν δὲ σιδαροδέτοις πόρπαξιν [2] αἴθαν δ' ἀραχνᾶν ἔργα, καὶ εὐρὼς δάμναται, ἔγχεά τε λογχωτὰ, ξίφεά τ' ἀμφήκεα, χαλκέων [3] δ' οὐκέτι σαλπίγγων κτύπος, οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων. οὔτε γὰρ πόλεμος, οὔτε ςάσις [4], οὔτε νεωτερισμὸς περὶ πολιτείαν ἱςόρηται, Νουμᾶ βασιλεύοντος. οὐ μὴν οὐδ' ἐπ' αὐτὸν ἐκεῖνον ἔχθρα τις, ἢ φθόνος, ἢ δι' ἔρωτα βασιλείας ἐπιβουλὴ καὶ σύςασις ἀνδρῶν. ἀλλ' εἴτε φόβος Θεῶν προκήδεσθαι δοκούντων τοῦ ἀνδρὸς, εἴτε τῆς ἀρετῆς αἰδὼς, εἴτε δαιμόνιος [5] τύχη πάσης κακίας ἄθικτον ἐπ' ἐκείνου καὶ καθαρὸν διαφυλάττουσα τὸν βίον, ἐναργὲς ἐξήνεγκε παράδειγμα καὶ τεκμήριον τῆς Πλατωνικῆς φωνῆς, ἣν ὕςερος [6] ἐκεῖνος οὐκ ὀλίγοις χρόνοις γενόμενος ἐτόλμησεν ἀφεῖναι περὶ [7] πολιτείας, ὡς μία κακῶν παῦλα καὶ λύσις ἀνθρώποις ἐςὶν, ἔκ τινος τύχης θείας εἰς ταυτὸ διανοίᾳ φιλοσόφῳ βασιλικὴν συμπεσοῦσαν δύναμιν, ἐγκρατῆ καὶ ὑπερδέξιον τῆς κακίας τὴν ἀρετὴν καταςῆσαι. μακάριος μὲν γὰρ αὐτὸς ὁ σώφρων ὡς ἀλη-

de rep. L. V. 6.



1 Br. mavult διαχεομένης, ad præcedens ἐπεισρεόντων, & Lapo vertente: illius animi serenitas in omnes diffunderetur. R. lect. vulg. servari posse videtur; aut si quid mutandum sit, mavult διαδιδομένης, aut διαδεδομένης. — Pro seq. ἐκεῖνον hab. SG. ἐκείνων.

2 SG. πορπάξειν cum adj. colo. Junt. πορπάζειν. Pro αἴθαν in veter. edd. fuit ἔνθα; ita etiam SG. — Vulc. ἐνθάδ'. Br. mavult αἴθαν sine δέ.

3 Br. vult χαλκεῖαν, ut antea αἴθ. ἀρ. V. χαλκαίαν. — οὐκέτι dat Flor. & Ald. pro vulg. οὐκ ἔςι.

4 Hæc duo vocc. R. addidit e Junt & Ald.

5 Ita ex conject. Br. Vulg. δαίμονος.

6 V. SG. ὕςερον.

7 R. susp. ἀφεῖναι ἐν τοῖς περὶ πολ.

ἀληθῶς, μακάριοι δ' οἱ συνήκοοι τῶν ἐκ τῦ σωφρονῦντος ςόματος ἰόντων λόγων. τάχα γὰρ ἐδ' ἀνάγκης τινὸς δεῖ πρὸς τὲς πολλὲς, ἐδ' ἀπειλῆς· αὐτοὶ δὲ τὴν ἀρετὴν ἐν εὐδήλῳ παραδείγματι καὶ λαμπρῷ τῷ βίῳ τῦ ἄρχοντος ὁρῶντες, ἑκεσίως σωφρονῦσι, καὶ συσχηματίζονται [1] πρὸς τὸν ἐν φιλίᾳ καὶ ὁμονοίᾳ τῇ πρὸς αὐτὲς, μετὰ δικαιοσύνης καὶ μετριότητος, ἀμύμονα [2] καὶ μακάριον βίον, ἐν ᾧ τὸ κάλλιςον ἁπάσης βοηθείας [3] τέλος ἐςί· καὶ βασιλικώτατος ἁπάντων ὁ τῦτον τὸν βίον καὶ ταύτην τὴν διάθεσιν τοῖς ὑπηκόοις ἐνεργάσασθαι δυνάμενος. ταῦτα μὲν ἔν Νεμᾶς παντὸς μᾶλλον φαίνεται συνεωρακώς.

XXI. Περὶ δὲ παίδων αὐτῦ καὶ γάμων ἀντιλογίαι γεγόνασι τοῖς ἱςορικοῖς. οἱ μὲν γὰρ ἔτε γάμον ἄλλον, ἢ τὸν Τατίας λαβεῖν αὐτὸν, ἔτε παιδὸς ἑτέρε γενέσθαι πατέρα, πλὴν μιᾶς θυγατρὸς Πομπιλίας, λέγεσιν· οἱ δὲ πρὸς ταύτῃ [4] τέσσαρας υἱὲς ἀναγράφεσιν αὐτῦ, Πόμπωνα, Πῖνον, Κάλπον, Μάμερκον. ὧν ἕκαςον οἴκε διαδοχὴν καὶ γένες ἐντίμε καταλιπεῖν· εἶναι γὰρ ἀπὸ μὲν τῦ Πόμπωνος τὲς Πομπωνίες, ἀπὸ δὲ Πίνε τὲς Πιναρίες, ἀπὸ δὲ Κάλπε τὲς Καλπερνίες, ἀπὸ δὲ Μαμέρκε τὲς Μαμερκίες· οἷς διὰ τῦτο [5] καὶ Ῥῆγας γε-

1 Ex mendoſa lect. V. συμματασχηματίζονται Br. conjecturam probat, legendum eſſe συμμετασχημ.

2 Deeſt SG.

3 Cum hæc vox per ſe poſita vix ſenſum ſatis plenum exprimit, ſupplet Br. πολιτικῆς β. — Salvinius corrigit βασιλείας, quam conjecturam ſequitur Dacer. — Anon. hab. πολιτείας aut εὐπειθείας Prius amplectitur Schirach. R. ſuſp. βίον, ᾧ (ſiue ἐν) τὸ κάλλιςον ἅπασι βοηθεῖν τέλος ἐςί, cui propoſitus eſt finis præclariſſimus, omnibus auxiliari. SG. hab. ἐςὶν, pro ἐςί; uti ſæpius v. ἐφελκ. exhibet; bis ex. gr. in Comp. Lyc. cum Num. c. 1. ἀπέδωκεν & ἐποίησεν.

4 V. ταὐτόν.

5 Br. mavult διὰ τῦτον, ſc. Μάμερκον.

γενέϑαι παρωνύμιον, ὅπερ ἐςὶ βασιλέας. τρίτοι δέ εἰσιν οἱ τέτων μὲν κατηγορȣ̃ντες, ὡς χαριζομένων τοῖς γένεσι, καὶ προστιϑέντων [1] ἐκ ἀληϑῆ ςέμματα τῆς ἀπὸ Νȣμᾶ διαδοχῆς· τὴν δὲ Πομπιλίαν ἐκ ἐκ Τατίας γεγονέναι λέγοντες, ἀλλ' ἐξ ἑτέρας γυναικὸς, ἣν ἤδη βασιλεύων ἔγημε, Λȣκρητίας· πάντες δ' ȣ̃ν ὁμολογȣ̃σι, τὴν Πομπιλίαν Μαρκίῳ γαμηϑῆναι. παῖς δ' ἦν ὁ Μάρκιος ἐκείνȣ Μαρκίȣ τȣ̃ Νȣμᾶν παρορμήσαντος ἐπὶ τὴν βασιλείαν. καὶ γὰρ συμμετῴκησεν εἰς Ῥώμην αὐτῷ, καὶ τῆς συγκλήτȣ μετέχε τιμώμενος, καὶ μετὰ τὴν Νȣμᾶ τελευτὴν Ὀςιλλίῳ περὶ τῆς βασιλείας εἰς ἀγῶνα καταςὰς καὶ ἡττηϑεὶς ἀπεκαρτέρησεν. ὁ δ' υἱὸς αὐτȣ̃ Μάρκιος, ἔχων τὴν Πομπιλίαν, κατέμεινεν ἐν Ῥώμῃ, καὶ Μάρκιον Ἄγκον ἐγέννησεν, ὃς μετὰ Τύλλον Ὀςίλλιον ἐβασίλευσε. τȣ̃τον, ὡς λέγεται, πενταετῆ καταλιπὼν ὁ Νȣμᾶς ἐτελεύτησεν, ȣ̓ ταχείας, ȣ̓δ' αἰφνιδίȣ γενομένης αὐτῷ τῆς τελευτῆς, ἀλλὰ κατὰ μικρὸν ὑπὸ γήρως καὶ νόσȣ μαλακῆς ἀπομαραινόμενος, ὡς ἱςόρηκε Πείσων. ἐτελεύτησε δὲ χρόνον ȣ̓ πολὺν τοῖς ὀγδοήκοντα προσϐιώσας.

XXII. Ζηλωτὸν δ' αὐτȣ̃ καὶ τῷ τάφῳ τὸν βίον ἐποίησαν οἵ τε σύμμαχοι καὶ φίλοι δῆμοι, συνελϑόντες ἐπὶ τὰς ταφὰς, ἅμα δημοσίαις ἐπιφοραῖς καὶ ςεφάνοις, οἵ τε πατρίκιοι τὸ λέχος ἀράμενοι, καὶ συμπαρόντες οἱ τῶν Θεῶν ἱερεῖς καὶ παραπέμποντες· ὁ δ' ἄλλος ὅμιλος, ἀναμεμιγμένων γυναικῶν καὶ παιδίων [2], ȣ̓χ ὡς βασιλέως ταφαῖς γηραιȣ̃ παρόντες, ἀλλ' ὡς τινα τῶν φιλτάτων ἕκαςος ἐν ἀκμῇ βίȣ ποϑȣ́μενον ϑάπτων, μετ' οἰμωγῆς καὶ κλαυϑμῶν ἑπόμενοι. οἱ πυρὶ [3] μὲν ȣ̓κ ἔδο-



1 V. τοῖς γένεσι προστιϑέντων δὲ. SG. τοῖς γένεσιν.

2 SG. παίδων. V. καὶ γυναικῶν καὶ παίδων.

3 Ante hanc v. H. Steph. particulam quandam desideravit, aut legendum censuit πυρὶ μὲν ȣ̓ν. R. de suo pronomen οἱ addidit.

ἔδοσαν τὸν νεκρὸν, αὐτοῦ κωλύσαντος, ὡς λέγεται· δύο δὲ ποιησάμενοι λιθίνας σορὸς, ὑπὸ τὸν [1] Ἰάνοκλον ἔθηκαν, τὴν μὲν ἑτέραν ἔχουσαν τὸ σῶμα, τὴν δ' ἑτέραν τὰς ἱερὰς βίβλους, ἃς ἐγράψατο μὲν αὐτὸς, ὥσπερ οἱ τῶν Ἑλλήνων νομοθέται τοὺς κύρβεις, ἐκδιδάξας δὲ τοὺς ἱερεῖς ἔτι ζῶν τὰ γεγραμμένα, καὶ πάντων ἕξιν τε καὶ γνώμην ἐνεργασάμενος αὐτοῖς, ἐκέλευσε τὰς ἱερὰς βίβλους [2] συνταφῆναι μετὰ τοῦ σώματος, ὡς οὐ καλῶς ἐν ἀψύχοις γράμμασι φρουρουμένων [3] τῶν ἀποῤῥήτων. ᾯ λογισμῷ φασὶ μηδὲ τοὺς Πυθαγορικοὺς εἰς γραφὴν κατατίθεσθαι τὰ συντάγματα, μνήμην δὲ καὶ παίδευσιν αὐτῶν ἄγραφον ἐμποιεῖν τοῖς ἀξίοις. καὶ τάς γε περιττὰς καὶ ἀπόρους καὶ ἀῤῥήτους λεγομένας ἐν γεωμετρίᾳ μεθόδους καὶ πραγματείας πρός τινα τῶν ἀναξίων ἐκδοθείσας ἔφασαν ἐπισημαίνειν τὸ δαιμόνιον [4], μεγάλῳ τινὶ καὶ κοινῷ κακῷ τὴν γεγενημένην παρανομίαν καὶ ἀσέβειαν ἐπερχόμενον. ὥστε συγγνώμην ἔχειν πολλὴν τοῖς [5] εἰς τὸ αὐτὸ Πυθαγόρου Νουμᾶν φιλοτιμουμένοις συναγαγεῖν ἐν τοσαύταις ὁμοιότησιν, οἱ δὲ περὶ Ἀντίαν ἱστοροῦσι

1 V. SG. Junt. τό.

2 Alii, ex. gr. SG. κύρβεις. Ex auctor. quorundam exemplar. reposuit H. Steph βίβλους.

3 Ita V. Anon. SG. — Vulg. φορουμένων.

4 In vulg. locus hic ita exstat: καὶ τάς τε περὶ τὰς ἀπόρους καὶ ἀῤῥήτους λεγομένας ἐν γεωμετρίᾳ μεθόδους καὶ πραγματείας πρὸς τινα τῶν ἀναξίων ἐκδοθείσας ἔφ. ἐπισ. τ. δ. — Br. ita legendum censet: τῆς γε περὶ τὰς ἀπόρους καὶ ἀῤῥήτους λεγομένας ἐν γεωμετρίᾳ μεθώδεις πραγματείας πρὸς τιν. τ. ἀναξ. ἐκδοθείσης, ἔφ. ἐπισ. τ. δ. — R. locum dedit, ut est in textu. V. SG. dant τῆς τε pro τάς τε lect. vulg. — pro περὶ τὰς ejusd. lect. Anon. exhibet περιττὰς; In Junt. legitur καὶ τοὺς ἀῤῥήτους; In ead. & SG. ἀξίων pro ἀναξίων. — Mox seq. κοινῷ dedit Junt. Flor. & SG. cum Lapo; Vulg. καινῷ; pro ἐπερχόμενον V. ἐπεξερχόμ. quod præfert Br.

5 SG. τῆς. Id. συνάγειν pro mox seq. συναγαγεῖν; Pro ἐν dat V. ἐπί.

ρῦσι δώδεκα μὲν εἶναι βίβλυς [1] ἱεροφαντικὰς, δώδεκα δ' ἄλλας Ἑλληνικὰς φιλοσόφυς εἰς τὴν σορὸν συντεθεισας. τετρακοσίων δέ πυ διαγενομένων [2] ἐτῶν, ὕπατοι μὲν ἦσαν Πόπλιος Κορνήλιος καὶ Μάρκος Βαίβιος, ὄμβρων δὲ μεγάλων ἐπιπεσόντων, καὶ χώματος περιῤῥαγέντος, ἐξέωσε τὰς σορὺς τὸ ῥεῦμα, καὶ τῶν ἐπιθημάτων ἀποπεσόντων, ἡ μὲν ἑτέρα κενὴ παντάπασιν ὤφθη, καὶ μέρος ὐδὲν, ὐδὲ λείψανον ἔχυσα τῦ σώματος· ἐν δὲ τῇ ἑτέρᾳ τῶν γραμμάτων εὑρεθέντων, ἀναγνῶναι μὲν αὐτὰ λέγεται Πετίλιος ϛρατηγῶν τότε, πρὸς δὲ τὴν σύγκλητον ὁρμῆσαι [3] μὴ δοκεῖν αὐτῷ θεμιτὸν εἶναι μηδ' ὅσιον ἔκπυϛα τοῖς [4] πολλοῖς τὰ γεγραμμένα γενέσθαι· διὸ καὶ κομιθείσας εἰς τὸ κομίτιον τὰς βίβλυς κατακαῆναι. Πᾶσι μὲν ὖν ἕπεται τοῖς δικαίοις καὶ ἀγαθοῖς ἀνδράσι μείζων ὢν κατόπιν ὁ μετὰ τελευτὴν ἔπαινος [5], τῦ φθόνυ πολὺν χρόνον ὐκ ἐπιζῶντος, ἐνίων δὲ καὶ προαποθνήσκοντος. ὐ μὴν ἀλλ' ἐκείνυ γε τὴν δόξαν αἱ τῶν ὕϛερον βασιλέων τύχαι λαμπροτέραν ἐποίησαν. πέντε γὰρ γενομένων μετ' αὐτὸν, ὁ μὲν ἔσχατος ἐκπεσὼν τῆς ἀρχῆς ἐν φυγῇ κατεγήρασε· τῶν δὲ τεσσάρων ὐδεὶς κατὰ φύσιν ἐτελεύτησεν, ἀλλ' οἱ μὲν τρεῖς ἐπιβυλευθέντες ἐσφάγησαν·



1 SG. βύβλυς. Id. cum V. in ſeq. dat τὰς εἰς τὴν σορ.

2 Junt. & Ald. vitioſe dant γενομένων. Pro præced. τετρακοσίων volunt Xyl. & Mezir., ex fide Livii, Plinii aliorumque πεντακοσίων.

3 R. ſuſp. ἔνορκον φῆσαι; Mezir. reponendum cenſuit ὁρκῆσαι; Br. cum Anon. vult ὀμνῦσαι.

4 deeſt SG.

5 R. ſuſp. μείζων ὢν ὁ κατόπιν ἔπαινος, ut vocabula ὁ μετὰ τ. τελ. omittantur, velut ſcholium, adſcriptum explicandi ergo ad vocem κατόπιν; aut ſic legendum cenſet: μείζων ὢν παρὰ τοῖς κατόπιν ὁ μετ. τ. τελ. ἐπ. — H. Steph. ὁ κατόπιν καὶ μετὰ &c. SG. hab. μ. τὴν τελ.

Ὁςίλλιος δὲ Τύλλος, ὃς μετὰ [1] Νυμᾶν ἐβασίλευσε, καὶ τὰ πλεῖςα τῶν ἐκείνυ καλῶν, ἐν δὲ πρώτοις καὶ μάλιςα [2], τὴν περὶ τὸ θεῖον εὐλάβειαν ἐπιχλευάσας, καὶ καθυβρίσας, ὡς ἀργοποιὸν καὶ γυναικώδη, πρὸς πόλεμον ἔτρεψε τὺς πολίτας, ὐδ' αὐτὸς μὲν ὖν ἐνέμεινε τοῖς νεανιεύμασι τύτοις, ἀλλ' ὑπὸ νόσυ χαλεπῆς καὶ πολυτρόπυ τὴν γνώμην ἀλλασσόμενος, εἰς δεισιδαιμονίαν ἐνέδωκεν, ὐδέν τι τῇ κατὰ Νυμᾶν εὐσεβείᾳ προσήκυσαν· ἔτι δὲ μᾶλλον ἐνεποίησε [3] τοῖς ἄλλοις τὸ τοιῦτον πάθος, ὡς λέγεται, καταφλεχθεὶς ὑπὸ κεραυνῶν.

# COMPARATIO LYCVRGI CVM NVMA.

ΑΛΛ' ἐπεὶ τὸν Νυμᾶ καὶ Λυκύργυ διεληλύθαμεν βίον, ἐκκειμένων ἀμφοῖν, εἰ καὶ χαλεπὸν ἔργον, ὐκ ἀποκνητέον συναγαγεῖν τὰς διαφοράς. αἱ μὲν γὰρ κοινότητες ἐπιφαίνονται ταῖς πράξεσιν, οἷον ἡ σωφροσύνη τῶν ἀνδρῶν, ἡ εὐσέβεια, τὸ πολιτικὸν, τὸ παιδευτικὸν, τὸ μίαν ἀρχὴν παρὰ τῶν Θεῶν ἀμφοτέρυς λαβεῖν τῆς νομοθεσίας· τῶν δ' ἰδίᾳ ἑκατέρυ καλῶν πρῶτόν ἐςι Νυμᾶ μὲν [4], ἡ παράληψις τῆς βασιλείας, Λυκύργῳ δ' ἡ παράδοσις. ὁ μὲν γὰρ ὐκ αἰτῶν ἔλαβεν, ὁ δ' ἔχων ἀπέδωκε. καὶ τὸν μὲν κύριον ἕτεροι αὐτῶν κατ-

1 Anon. ὃ μετ'.

2 Teste H. Steph. etiam legitur κάλλιςα. — R. si quid in hac voce mutari necesse sit, mavult καὶ καλλίςοις.

3 Ex emend. H. Steph. secundum auctor. Vet. Cod. pro simpl. ἐποίησε, quod habet Junt. Ald. aliæque vetustiores edd. — Xylandro locus suspectus videtur, & ad divinandum propositus, ob defectum alicujus vocabuli.

4 abest a Junt.

κατέστησαν, ἰδιώτην καὶ ξένον ὄντα [1]· ὁ δ' αὐτὸν [2] ἰδιώτην ἐκ βασιλέως ἐποίησε. καλὸν μὲν οὖν [3] τὸ κτήσασθαι δικαιοσύνῃ τὴν βασιλείαν, κάλλιον [4] δὲ τὸ προτιμῆσαι τὴν δικαιοσύνην τῆς βασιλείας. ἡ γὰρ ἀρετὴ τὸν μὲν οὕτως ἔνδοξον κατέστησεν, ὥστε βασιλείας ἀξιωθῆναι, τὸν δ' οὕτω μέγαν ἐποίησεν, ὥστε βασιλείας καταφρονῆσαι. δεύτερον τοίνυν, ἐπεὶ καθάπερ ἀρμονικοὶ [5] λύρας, ὁ μὲν ἐκλελυμένην καὶ τρυφῶσαν ἐπέτεινε τὴν περὶ Σπάρτην [6]· ὁ δὲ τῆς Ῥώμης τὸ σφοδρὸν ἀνῆκε καὶ σύντονον, ἡ μὲν [γὰρ [7]] χαλεπότης τοῦ ἔργου τῷ Λυκούργῳ πρόσεστιν. οὐ γὰρ θώρακας ἐνδῦναι καὶ ξίφη τοὺς πολίτας καταθέσθαι ἔπειθεν, ἀλλὰ χρυσὸν καὶ ἄργυρον ἀφεῖναι, καὶ στρωμνὰς ἐκβαλεῖν πολυτελεῖς καὶ τραπέζας· οὐδὲ παυσαμένους πολέμων ἑορτάζειν καὶ θύειν, ἀλλὰ δεῖπνα καὶ πότους ἐάσαντας, ἐν τοῖς ὅπλοις καὶ ταῖς παλαίστραις διαπονεῖσθαι καὶ ἀσκεῖν. ὅθεν ὁ μὲν, δι' εὐνοίας καὶ τιμῆς ἅπαντα πείθων ἔπραξεν, ὁ δὲ κινδυνεύων καὶ βαλλόμενος, μόλις [8] ἐπεκράτησεν· ἥμερος μέντοι καὶ φιλάνθρωπος ἡ τοῦ Νούμα Μοῦσα, πρὸς εἰρήνην καὶ δικαιοσύνην μεθαρμοσαμένου καὶ καταπραΰναν-

1 V. verba ita locat: ἰδιώτ. ὄντα κ. ξ. uti antea SG. ἕτεροι κύριον. Teſte Steph. legitur etiam ἕτερον.

2 V. αὐτοὺς ἑαυτόν. Anon. αὐτὰς ἑαυτόν. SG. αὐτὸς αὐτόν.

3 deeſt SG.

4 Ita ex conj. Br. Vulg. καλὸν; V. μᾶλλον.

5 Ita dant Anon. & SG. Junt. & Ald. — Ex vet. cod. dedit H. Steph. ἁρμονίαν.

6 Ita verba collocavit R. quæ vulgo ſic leguntur ἐπέτ. περὶ τὴν Σπ. — in τὴν ſubaud. λύραν. V. καὶ δὴ περὶ τὴν. In ſeq. ὁ δὲ τ. Ῥωμ. revocavit R. articulum e Junt. & Ald. ad quem iterum ſubaud. λύρας, ac ſi Pl. dixiſſet τῆς λύρας τῆς περὶ Ῥώμην, aut κατὰ Ῥ. Si articulus omittatur, conveniat magis τὴν σφοδρὰν legi, quam τὸ σφοδρόν.

7 Hanc partic. ut inutilem R. uncis incluſit.

8 SG. μόγις.

ναντος ἐξ ἀκράτων [1] καὶ διαπύρων ἠθῶν τοὺς πολίτας. εἰ δὲ καὶ τὸ περὶ τοὺς Εἵλωτας ἀναγκάσει τις ἡμᾶς εἰς τὴν Λυκούργου θέσθαι πολιτείαν, ὠμότατον ἔργον καὶ παρανομώτατον, μακρῷ τινι τὸν Νουμᾶν ἑλληνικώτερον γεγονέναι νομοθέτην φήσομεν [2], ὅς γε καὶ τοὺς ὡμολογημένους δούλους ἔγευσε τιμῆς, ἐλευθέρους [3] ἐν τοῖς Κρονίοις ἑστιᾶσθαι μετὰ τῶν δεσποτῶν ἀναμεμιγμένους ἐθίσας. καὶ γὰρ τοῦτο τῶν Νουμᾶ πατρίων ἓν εἶναι λέγουσιν, ἐπὶ τὰς τῶν ἐτησίων ἀπολαύσεις [4] καρπῶν τοὺς συνεργοὺς παραλαμβάνοντος. ἔνιοι δὲ τοῦτο ὑπόμνημα τοῖς Κρονικῆς ἐκείνης ἰσονομίας ἀποσώζεσθαι μυθολογοῦσιν, ὡς μηδενὸς δούλου, μηδὲ δεσπότου, πάντων δὲ συγγενῶν καὶ ἰσοτίμων νομιζομένων.

II. Ὅλως δὲ φαίνονται πρὸς τὴν αὐτάρκειαν ἀμφότεροι καὶ σωφροσύνην ὁμοίως ἄγοντες τὰ πλήθη· τῶν δ᾽ ἄλλων ἀρετῶν, ὁ μὲν τὴν ἀνδρείαν μᾶλλον, ὁ δὲ τὴν δικαιοσύνην ἠγαπηκώς. εἰ μὴ νὴ Δία πρὸς τὴν [5] ὑποκειμένην τῶν πολιτευμάτων ἑκατέρου φύσιν ἢ συνήθειαν, οὐχ ὁμοίαν οὖσαν, ὁμοίας [6] ἔδει παρασκευῆς. οὔτε γὰρ Νουμᾶς διὰ δειλίαν κατέλυσε τὸ πολεμεῖν, ἀλλ᾽ ἐπὶ τῷ [7] μὴ ἀδικεῖν· οὔτε Λυκοῦργος εἰς ἀδικίαν κατεσκεύασε πολεμικούς, ἀλλ᾽ ὑπὲρ τοῦ μὴ ἀδικεῖσθαι. τὰς [8] ὑπερβολὰς ἀφαιροῦντες ἀμφότεροι, καὶ τὰς ἐνδείας ἀναπληροῦντες τῶν ὑπαρχόντων περὶ τοὺς πολίτας, ἠναγκάζοντο μεγά-

λαις

1 Br. mavult ἀκρατῶν ab ἀκρατής.

2 Junt. & Ald. φήσωμεν, unde effici possit φήσαιμεν.

3 Ita ex emend. R. pro vulg. τιμῆς ἐλευθέρας, ἐν τοῖς Κρ.

4 Teste H. Steph. etiam legitur ἀπαρχάς.

5 Antea legebatur εἰ μὴ διὰ τὴν ὑποκ. — In quodam exempl. teste H. Steph. εἰ μὴ νὴ Δία τήν. V. & SG. εἰ μὴ νὴ Δία διὰ τὴν ὑποκ.

6 Ita dedit R. pro vulg. ἀνομοίας.

7 SG. τό.

8 R. aut ὥστε τὰς ὑπερβ. aut τὰς οὖν ὑπ. legendum videtur.

λαις χρῆσθαι μεταβολαῖς. καὶ μὴν, τῆς τε διατάξεως καὶ τῆς διαιρέσεως τῶν πολιτευμάτων, ὀχλικὴ μὲν ἀκράτως ἡ τȣ̃ Νȣμᾶ [1] καὶ θεραπευτικὴ τȣ̃ πλήθȣς, ἐκ χρυσοχόων [2] καὶ αὐλητῶν καὶ σκυτοτόμων συμμιγῆ τινα καὶ παμποίκιλον ἀποφαίνοντος [3] δῆμον. αὐστηρὰ δ' ἡ Λυκȣ́ργειος καὶ ἀριστοκρατικὴ, τὰς μὲν βαναύσȣς ἀποκαθαίρȣσα τέχνας εἰς οἰκετῶν καὶ μετοίκων χεῖρας· αὐτȣ̀ς δὲ τȣ̀ς πολίτας εἰς τὴν ἀσπίδα καὶ τὸ δόρυ συνάγȣσα, πολέμȣ χειροτέχνας καὶ θεράποντας Ἄρεος ὄντας, ἄλλο ȣ̓δὲν ȣ̓δὲν εἰδότας, ȣ̓δὲ μελετῶντας, ἢ πείθεσθαι τοῖς ἄρχȣσι, καὶ κρατεῖν τῶν πολεμίων. ȣ̓δὲ γὰρ χρηματίζεσθαι τοῖς ἐλευθέροις [4] ἐξῆν, ἵνα ἐλεύθεροι παντελῶς καὶ καθάπαξ ὦσιν, ἀλλ' ἦν ἡ περὶ τὰ χρήματα κατασκευὴ δεδομένη [5] δȣ́λοις καὶ Εἵλωσιν, ὥσπερ ἡ περὶ τὸ δεῖπνον καὶ ὄψον διακονία [6]. Νȣμᾶς δ' ȣ̓δὲν διέκρινε τοιȣ̃τον, ἀλλὰ τὰς μὲν στρατιωτικὰς ἔπαυσε πλεονεξίας, τὸν δ' ἄλλον ȣ̓κ [7] ἐκώλυσε χρηματισμόν· ȣ̓δὲ τὴν τοιαύτην κατεσόρεσεν [8] ἀνωμαλίαν, ἀλλὰ καὶ πλȣ́τῳ προϊέναι μέχρι παντὸς ἀφῆκε [9], καὶ πενίας πολλῆς ἀθροιζομένης καὶ ὑποῤῥεȣ́σης εἰς τὴν πόλιν ἠμέλησε [10]. δέον εὐθὺς ἐν ἀρχῇ, μηδέπω [11] πολλῆς, μηδὲ μεγάλης ἀνισο-

1 R. addendum videtur ἰδίᾳ. Alioqui dicendum fuiſſet τῶν διατάξεων καὶ τῶν διαιρέσεων — ἡ μὲν — ἡ δὲ —

2 V. ἐχρυσόων.

3 R. melius h. l. convenire videtur ἀποφαίνȣσα, ut in ſeq. ἀποκαθαίρȣσα & συνάγȣσα.

4 Junt. ſola dat ἐλευθερίοις.

5 R. dedit e Junt. & Ald. pro vulg. διδομένη.

6 Ex mente R. ſubaud. παραδίδοται παρ' ἡμῖν τοῖς δȣ́λοις. Aliter ſentiunt noſtrates latinique interpp.

7 deeſt Junt.

8 Teſte Steph. legitur etiam κατέστησεν.

9 Br. magis placet lectio V. & SG. ἐφῆκε.

10 R. dedit e Junt. pro vitioſo vulg. ἐμέλησε.

11 Junt. Ald. SG. μηδέ.

ἀνισότητος ἔσης [1] τοῖς βίοις, ἀλλ' ἔτι ὁμαλῶν καὶ παραπλησίων ὄντων, ἐνστῆναι πρὸς τὴν πλεονεξίαν, ὥσπερ ὁ Λυκῦργος, καὶ φυλάξασθαι τὰς ἀπ' αὐτῆς βλάβας, ὐ μικρὰς γενομένας, ἀλλὰ τῶν πλείστων καὶ μεγίστων κακῶν, ὅσα συνηνέχθη, σπέρμα καὶ ἀρχὴν παρασχῦσας. ὁ δὲ τῆς γῆς ἀναδασμὸς ὔτε τὸν Λυκῦργον ποιεῖ [2] ψεκτὸν γενόμενος, ὔτε τὸν Νυμᾶν μὴ γενόμενος. τῷ μὲν γὰρ ἕδραν καὶ κρηπῖδα τῆς πολιτείας ἡ ἰσότης αὕτη παρέχε, τὸν δὲ [3], προσφάτυ τῆς κληρυχίας ὔσης, ὐδὲν ἤπειγεν ἄλλον ἐμβαλεῖν ἀναδασμὸν, ὐδὲ κινεῖν τὴν πρώτην νέμησιν, ὡς εἰκός ἐστι, κατὰ χώραν μένυσαν.

III. Τῆς δὲ περὶ τὺς γάμυς καὶ τὰς τεκνοτροφίας [4] κοινωνίας τὸ ἀζηλότυπον ὀρθῶς καὶ πολιτικῶς ἐμποιῦντες ἀμφότεροι [5] τοῖς ἀνδράσιν, ὐ κατὰ πᾶν εἰς τῦτο [6] συνήχθησαν [7]. ἀλλ' ὁ Ῥωμαῖος μὲν ἀνὴρ, ἱκανῶς ἔχων παιδοτροφίας, ὑφ' ἑτέρυ δὲ πεισθεὶς δεομένυ τέκνων, ἐξίστατο τῆς γυναικὸς, ἐκδόσθαι καὶ μετεκδόσθαι κύριος ὑπάρχων. ὁ δὲ Λάκων, οἴκοι τῆς γυναικὸς ὔσης παρ' αὐτῷ, καὶ τῦ γάμυ μένοντος ἐπὶ τῶν ἐξ ἀρχῆς δικαίων, μετεδίδυ τῷ πείσαντι τῆς κοινωνίας εἰς τέκνωσιν. πολλοὶ δ', ὥσπερ εἴρηται, καὶ παρακαλῦν-

1 R. mavult προσύσης. SG. ita legit: ὔσης. ἀλλὰ τοῖς βίοις ὁμαλῶν; Id. omittit in seq. art. ὁ Λυκ.

2 V. ὐδὲ τ. Λ. ἐμοὶ δοκεῖν ποιεῖ; Eadem verba parenthetica hab. etiam SG.

3 Ita ex emend. Br. pro vulg. ἡ δὲ. Consent. SG. Quam lectionem luculentius probat R. assumens παρέχε præcedens pro vulg. παρέχετο, cujus verbi ultima syllaba τὸ vitiose adhæsit e vocabulo proximo τὸν.

4 Ita SG. Junt. Ald. — Vulg. τεκνώσεις, quod dedit H. Steph. ex consensu suorum codd.

5 Ex emend. R. pro vulg. ἐμποιῦσης ἀμφοτέροις.

6 Br. mavult εἰς ταὐτὸ, ut Lapus vertit, in eandem rem.

7 V. Anon. συνηνέχθησαν.

λῦντες εἰσῆγον ἐξ ὧν ἂν ἐδόκουν μάλιστα παῖδας εὐειδεῖς καὶ ἀγαθοὺς γενέσθαι. τίς οὖν ἡ διάκρισις τῶν ἐθισμῶν; ἡ ταῦτα μὲν ἰσχυρὰ καὶ ἄκρατος ἀπάθεια πρὸς γαμετὴν ἐκταράττοντα καὶ κατακαίοντα [ζῆν λύπαις καὶ] ζηλοτυπίαις τοὺς πολλούς [1]. ἐκεῖνα δ' ὥσπερ αἰσχυνομένη ἀτυφία τις, παρακάλυμμα τὴν ἐγγύην ἐφελκομένη, καὶ τὸ δυσκαρτέρητον ἐξομολογουμένη τῆς κοινωνίας. ἔτι δὲ μᾶλλον ἡ περὶ τὰς παρθένους φυλακὴ κατέσταλται τῷ Νουμᾷ πρὸς τὸ θῆλυ καὶ κόσμιον· ἡ δὲ τοῦ Λυκούργου, παντάπασιν ἀναπεπταμένη καὶ ἄθηλυς [2] οὖσα, τοῖς ποιηταῖς λόγον παρέσχηκε. Φαινομηρίδας

1 Hujus loci difficultatem & obſcuritatem quivis lector facile ſentiet. V. dat ἢ εἰς ταῦτα. Quæ præpoſitio ſi aſſumenda videtur, neceſſe eſt, ut ſequenti pronomini ἐκεῖνα pariter præfigatur. Hoc H. Steph. minus placet. Mavult pro ἐθισμῶν ἐθισμάτων, ut pronom. ταῦτα & ἐκεῖνα cum illo conveniant, & per interpunctionem poſt ταῦτα μὲν lectorem juvari potuiſſe cenſet. Br. rem expeditam cenſet ita legendo: ταῦτα μὲν ἰσχ. κ. ἄκρ. ἀπάθ. πρ. γαμ. καὶ τὰ ἐκταρ. καὶ καταναγκάζοντα ζῆν ἐν λύπαις καὶ ζηλ. τ. π. & addit: ſi cui lectio Anon. ξὺν λύπαις placeat, ſtare poſſe receptum illud κατακαίοντα. A SG. ζῆν deeſt. — R. ſuſp. πρὸς γαμετὰς καὶ πάντα τὰ ἐκταρ. vocabula autem ζ. λ. κ. uncis incluſa delenda cenſet, ut vitioſam ſcriptionem, verioris ζηλοτυπίαις imitatricem. — Liceat, meam qualemcunque conjecturam adjungere. ἢ ταῦτα μὲν, i. e. κατὰ ταῦτα, in altera parte ſc. Lacedæmoniorum, uti in ſeq. ἐκεῖνα — ex altera parte ſc. Romanorum ἰσχ. κ. ἄκρατος (Xyl. legiſſe videtur ἀκρατὴς, quod mihi magis placet, quaſi übertrieben) ἀπαθ. γαμετῶν, vehemens & nimia inſenſilitas maritorum maritarumve (uti nos in genere der Ehegatten) πρὸς ἐκταρ. erga ea, quæ pleroſque conturbant &c. At quid ſentias, L. B. de verſione Schirachi: dieſer, daſs zu Lacedaemon eine zu ſtarke Gleichgültigkeit gegen die Weiber war, die ſonſt durch Eiferſucht ſo viele beunruhigen und das Leben verbittern? —

2 Ita dat Anon. & vertit Xyl. in oppoſitione ad prius θῆλυ. Vulg. θῆλυς οὖσα.

ρίδας τε γὰρ αὐτὰς ἀποκαλȣ̃σιν, ὡς Ἴβυκος, καὶ ἀνδρομανεῖς ἱςορȣ̃σιν [1], ὡς Εὐριπίδης, λέγων·

Αἳ σὺν νέοισιν [2] ἐξερημȣ̃σιν δόμȣς,
Γυμνοῖσι μηροῖς καὶ πέπλοις ἀνειμένοις.

τῷ γὰρ ὄντι τȣ̃ παρθενικȣ̃ χιτῶνος αἱ πτέρυγες ἐκ ἦσαν συνεῤῥαμμέναι [3] κάτωθεν, ἀλλ' ἀνεπτύσσοντο καὶ συναναγύμνȣν [4] ὅλον ἐν τῷ βαδίζειν τὸν μηρόν. καὶ σαφέςατα τὸ γινόμενον εἴρηκε Σοφοκλῆς [5] ἐν τȣ́τοις· Καὶ τὰν νεοργὸν ἅσετ' ἄςολος χιτὼν θυραῖον ἀμφὶ μηρὸν, πτύσσεται Ἑρμιόναν. διὸ καὶ θρασύτεραι λέγονται γίνεσθαι, καὶ πρὸς αὐτȣ̀ς πρῶτον ἀνδρώδεις τȣ̀ς ἄνδρας, ἅτε δὴ τῶν μὲν οἴκων ἄρχȣσαι κατὰ κράτος, ἐν δὲ τοῖς δημοσίοις πράγμασι, καὶ γνώμης μεταλαμβάνȣσαι καὶ παῤῥησίας περὶ τῶν μεγίςων. ὁ δὲ Νȣμᾶς ταῖς γαμεταῖς τὸ μὲν ἀξίωμα καὶ τὴν τιμὴν ἐτήρησε πρὸς τȣ̀ς ἄνδρας, ἣν εἶχον ὑπὸ Ῥωμύλȣ θεραπευόμεναι διὰ τὴν ἁρπαγήν· αἰδῶ δὲ πολλὴν ἐπέςησεν αὐταῖς, καὶ πολυπραγμοσύνην ἀφεῖλε, καὶ νήφειν ἐδίδαξε, καὶ σιωπᾷν εἴθισεν, οἴνȣ μὲν ἀπεχομένας τὸ πάμπαν, λόγῳ δὲ μηδὲ ὑπὲρ τῶν ἀναγκαίων ἀνδρὸς ἄνευ χρωμένας. λέγεται γȣ̃ν ποτε γυναικὸς εἰπȣ́σης δίκην ἰδίαν ἐν ἀγορᾷ, πέμψαι τὴν σύγκλητον εἰς Θεȣ̃ [1], πυνθα-

1 Ita leg. SG. Junt. & Ald. — H. Steph. voluit λοιδορȣ̃σιν explicando per λοιδορȣ̃ντες ἱςορȣ̃σιν. R. hæc dictio minus græca videtur. Plutarcho autem familiare est ἱςορεῖν, pro φάσκειν, λέγειν, &c.

2 SG. νέȣσιν.

3 Ita in V. — Vulg. ἀνεῤῥαμμέναι.

4 V. περιεγύμνȣν. Pro seq. ἐν τῷ dat SG. ἑαυτῷ; id. εἴρηκε pro vulg. εἴρηκεν.

5 Anon. cum art. ὁ. — Locus ipse Sophocleus, in ejus adhuc exstantibus opp. non reperiendus, difficultatibus laborat. Auratus hoc modo digerit & emendat: καὶ τὰν νεοργὸν, ᾇ ἔτ' ἄςολος χιτὼν θυραῖον ἀμφὶ μηρὸν, πτύσσεται Ἑρμιόναν. Pro νεοργὸν susp. est Br. νεογνόν. SG. Junt. Ald. πτύσσεται.

6 Ita ex emend. H. Steph. secundum vet. codd. auctoritatem pro vulg. εἰς Θεȣ̀ς.

θανομένην, τίνος ἄρα τῇ πόλει σημεῖον εἴη τὸ γεγενημένον. καὶ τῆς ἄλλης [1] εὐπειθείας καὶ πρᾳότητος αὐτῶν μέγα τεκμήριον ἡ μνήμη τῶν χειρόνων. ὡς γὰρ παρ' ἡμῖν οἱ ἱστορικοὶ γράφουσι τοὺς πρώτους ἢ φόνον ἐμφύλιον ἐργασαμένους, ἢ πολεμήσαντας ἀδελφοῖς, ἢ πατρὸς αὐτόχειρας ἢ μητρὸς γενομένους, οὕτω Ῥωμαῖοι μνημονεύουσιν [2], ὅτι πρῶτος μὲν ἀπεπέμψατο γυναῖκα Σπόριος Καρβίλιος, μετὰ τὴν Ῥώμης κτίσιν ἔτεσι [3] τριάκοντα καὶ διακοσίοις οὐδενὸς τοιούτου γεγονότος· πρώτη δὲ γυνὴ Πιναρίου Θαλαία τοὔνομα διηνέχθη πρὸς ἑκυρὰν αὐτῆς Γεγανίαν, Ταρκυνίου Σουπέρβου βασιλεύοντος. οὕτω καλῶς καὶ κοσμίως τεταγμένα τὰ [4] τῶν γάμων ἦν ὑπὸ τοῦ νομοθέτου.

IV. Τῇ δ' ἄλλῃ τῶν παρθένων ἀγωγῇ καὶ τὰ περὶ τὰς ἐκδόσεις ὁμολογεῖ τοῦ μὲν Λυκούργου πεπείρους καὶ ὀργώσας νυμφεύοντος, ὅπως ἥ τε ὁμιλία δεομένης ἤδη τῆς φύσεως, χάριτος ᾖ [5] καὶ φιλίας ἀρχὴ μᾶλλον ἢ μίσους, καὶ φόβων παρὰ φύσιν βιαζομένων· καὶ τὰ σώματα ῥώμην ἔχῃ [6] πρὸς τὸ τὰς κυήσεις ἀναφέρειν καὶ τὰς ὠδῖνας, ὡς ἐπ' οὐδὲν ἄλλο γαμουμένων, ἢ τὸ τῆς τεκνώσεως ἔργον· τῶν δὲ Ῥωμαίων δωδεκαετεῖς καὶ νεωτέρας ἐκδιδόντων· οὕτω γὰρ ἂν μάλιστα καὶ τὸ σῶμα καὶ τὸ ἦθος καθαρὸν καὶ ἄθικτον ἐπὶ τῷ γαμοῦντι γενέσθαι. δῆλον οὖν, ὅτι τὰ μὲν [7] φυσικώτερον πρὸς τέκνω-

1 Vulg. dant τῆς τε ἄλλ. Flor. & Ald. delent τε. Br. mavult τῆς γε ἄλλης.

2 SG. μνημόνευσιν.

3 Br. susp. ἐν ἔτεσι.

4 deest SG.

5 Ita dat Flor. & Ald. pro volg. ἢ καὶ φ. — Steph. post μᾶλλον ponendum censuit. Anon. φιλίαν. φόβων dedit R. pro φόβου.

6 SG. ἔχῃ. Idem in seq. ἐπιφέρειν cum Junt. & Ald. pro ἀναφέρειν, quod H. Steph. placuit.

7 Subaud. γίγνεται, vel ἐπιτηδεύεται. Anon. τὸ μὲν, τὸ δὲ.

τέκνωσιν, τὰ δ' ἠθικώτερον πρὸς συμβίωσιν. ἀλλὰ μὴν ἐπιςασίαις τε παίδων καὶ [1] συναγελασμοῖς, καὶ παιδαγωγίαις καὶ κοινωνίαις, περί τε δεῖπνα καὶ γυμνάσια καὶ παιδιὰς αὐτῶν ἐμμελείαις καὶ διακοσμήσεσιν, ἐδέν τι τὲ προστυχόντος νομοθέτε βελτίονα τὸν Νεμᾶν ὁ Λυκεργος [2] ἀποδείκνυσιν, ἐπὶ ταῖς τῶν πατέρων ποιησάμενον ἐπιθυμίαις, ἢ χρείαις τὰς τῶν νέων ἀγωγὰς, εἴτε τις ἐργάτην γῆς βέλοιτο ποιεῖν τὸν υἱὸν, εἴτε ναυπηγὸν, ἢ χαλκέα διδάσκειν, ἢ αὐλητὴν, ὥσπερ ἐ πρὸς ἓν τέλος ὀφείλοντας ἐξ ἀρχῆς ἄγεσθαι, καὶ συνεπιςρέφεσθαι τοῖς ἤθεσιν, ἀλλ' οἷον εἰς ναῦν ἐπιβάτας ἕτερον ἐξ ἑτέρας ἥκοντα χρείας καὶ προαιρέσεως ἐν τοῖς κινδύνοις μόνον ἐκ φόβε τε [3] ἰδίε συνίςασθαι πρὸς τὸ κοινὸν, ἄλλως δὲ τὸ καθ' αὐτὸν σκοπεῖν ἕκαςον. καὶ τοῖς μὲν πολλοῖς ἐκ ἄξιον ἐγκαλεῖν νομοθέταις τοῖς ἐλλείπεσιν ἢ δι' ἄγνοιαν, ἢ δι' ἀσθένειαν· ἀνδρὶ δὲ σοφῷ βασιλείαν παραλαβόντι δήμε νεωςὶ συνιςαμένε καὶ πρὸς μηδὲν ἀντιτείνοντος [4], περὶ τί πρῶτον [5] ἦν σπεδάσαι προσῆκον, ἢ παίδων ἐκτροφὴν, καὶ νέων ἄσκησιν, ὅπως μὴ διάφοροι, μηδὲ ταραχώδεις γένοιντο τοῖς ἤθεσιν, ἀλλ' εἰς ἕν τι κοινὸν ἀρετῆς ἴχνος εὐθὺς ἐξ ἀρχῆς πλαττόμενοι καὶ τυπέμενοι συμβαίνοιεν ἀλλήλοις; ὃ δὴ πρός τε τἄλλα [6] καὶ σωτηρίαν νόμων ὠφέλησε τὸν

1 V. ἐπιςατίαις τε παίδων καὶ γυμνάσια καὶ συναγ. R. mavult legi cum præpos. ἐν ἐπιςατ. —

2 V. τὸν νόμον ὁ Νεμᾶς ἀποδ. — Id. in seq. l. ποιησάμενος.

3 Ita ex emend. R. τε enclitice pro τινος dantis, ἐκ de suo addentis, & φόβε e Junt. & Ald. restituentis. φόβῳ prætulit Steph. quod dant Anon. & SG. — Br. jam susp. ἐκ φόβε. Anon. pro præced. μόνον dedit μόνε.

4 V. καὶ μηδὲν ἀντιλέγοντος.

5 Ex mente R. ad πρῶτον addendum tacita cogitatione μᾶλλον, aut ejus loco leg. πρότερον. Equidem neutrum necessarium duco, cum πρῶτον ἢ sæpius in Græcis legatur.

6 SG. τὰ ἄλλα. R. in seq. mavult καὶ πρὸς σωτηρίαν.

τὸν Λυκȣ̃ργον· μικρὸς γὰρ ἂν ἦν [1] ὁ τῶν ὅρκων φόβος, εἰ μὴ διὰ τῆς παιδείας καὶ τῆς ἀγωγῆς οἷον ἀνέδευσε [2] τοῖς ἤθεσι τῶν παίδων τȣ̀ς νόμȣς, καὶ συνῳκείωσε τῇ τροφῇ τὸν ζῆλον τῆς πολιτείας· ὥϛε πεντακοσίων ἐτῶν πλείω χρόνον τὰ [3] κυριώτατα καὶ μέγιϛα διαμεῖναι τῆς νομοθεσίας, ὥσπερ βαφῆς ἀκράτȣ καὶ ἰσχυρᾶς καθαψαμένης. Νȣμᾶ δ᾽ ὅπερ ἦν τέλος τῆς πολιτείας, ἐν εἰρήνῃ καὶ φιλίᾳ τὴν Ῥώμην ὑπάρχειν, εὐθὺς συνεξέλιπε [4] καὶ μετὰ τὴν τελευτὴν ἐκείνȣ τὸν ἀμφίθυρον οἶκον, ὃν κεκλεισμένον αὐτὸς συνεῖχεν, ὥσπερ ὄντως [5] ἐν αὐτῷ τιθασσεύων καθειργμένον τὸν πόλεμον, ἐξ ἀμφοτέρων ἀναπετάσαντες, αἵματος καὶ νεκρῶν τὴν Ἰταλίαν ἐνέπλησαν· καὶ ȣ̓δ᾽ ὀλίγον χρόνον ἡ καλλίϛη καὶ δικαιοτάτη κατάϛασις ἔμεινεν, ἅτε δὴ καὶ τὸ συνδετικὸν ἐν αὐτῇ, τὴν παιδείαν, ȣ̓κ ἔχȣσα. τί ȣ̓̃ν, φήσει τις, ȣ̓κ ἐπὶ τὸ βέλτιον προῆλθεν ἡ Ῥώμη τοῖς πολεμικοῖς; ἐρωτῶν ἐρώτημα μακρᾶς ἀποκρίσεως δεόμενον, πρὸς ἀνθρώπȣς τὸ βέλτιον ἐν πλȣ́τῳ καὶ τρυφῇ καὶ ἡγεμονίᾳ μᾶλλον, ἢ σωτηρίᾳ καὶ πρᾳότητι καὶ τῇ μετὰ δικαιοσύνης αὐταρκείᾳ [6] τιθεμένȣς. ȣ̓ μὴν ἀλλὰ καὶ τȣ̃το Λυκȣ́ργῳ πȣ δόξει βοηθεῖν, τὸ Ῥωμαίȣς μὲν τὴν ἐπὶ Νȣμᾶ κατάϛασιν ἐξαλλάξαντας ἐπιδȣ̃ναι τοῖς πράγμασι τοσȣ̃τον· Λακεδαιμονίȣς δ᾽ ἅμα τῷ [7] πρῶτον ἐκβῆναι τὴν Λυκȣ́ργȣ διά-



1 Ita placuit Br. pro vulg. μικρὸς γὰρ ἦν.

2 R. mavult ἐνέδευσε: quia alias dicendum fuiſſet inverſe: ἀνέδευσε τὰ ἤθη τῶν παίδων τοῖς νόμοις.

3 V. ὄντα.

4 SG. συνεξέλειπε. Id. l. ſeq. κεκλειμένον.

5 V. ὄντος.

6 In quibusd. codd. teſte H. Steph. hæc ita leguntur: σωτηρίᾳ καὶ εἰρήνῃ τῇ μετὰ δικαιοσύνης καὶ αὐταρκείας. V. habet etiam: καὶ εἰρήνῃ τῇ μετὰ δικ.

7 SG. τὸ; uti & in ſeq. poſt μέντοι. E contrario paulo poſt pro τὸ ξένῳ dat τῷ ξέ.

διάταξιν, ἐκ μεγίστων ταπεινοτάτους γενέσθαι, καὶ τὴν τῶν Ἑλλήνων ἡγεμονίαν ἀποβαλόντας κινδυνεῦσαι περὶ ἀναστάσεως. ἐκεῖνο μέντοι τῷ Νουμᾷ μέγα καὶ θεῖον ὡς ἀληθῶς ὑπάρχει, τὸ ξένῳ μεταπέμπτῳ γενέσθαι [1], καὶ πάντα πειθοῖ μεταβαλεῖν, καὶ κρατῆσαι πόλεως οὔπω συμπεπνευκυίας [2], μήτε ὅπλων δεηθέντα, μήτε βίας τινὸς, ὡς Λυκοῦργος ἐπὶ τὸν δῆμον ἦγε [3] τοὺς ἀρίστους, ἀλλὰ σοφίᾳ καὶ δικαιοσύνῃ πάντας οὕτω καλῶς συναγαγόμενον [4] καὶ συναρμόσαντα.

## Σ Ο Λ Ω Ν.

ΔΙΔΥΜΟΣ ὁ γραμματικὸς, ἐν τῇ περὶ τῶν ἀξόνων τῶν Σόλωνος ἀντιγραφῇ πρὸς Ἀσκληπιάδην, Φιλοκλέους τινὸς τέθεικε λέξιν, ἐν ᾗ τὸν Σόλωνα πατρὸς Εὐφορίωνος ἀποφαίνει, παρὰ τὴν τῶν ἄλλων δόξαν, ὅσοι μέμνηνται Σόλωνος. Ἐξηκεστίδου γὰρ αὐτὸν ἅπαντες ὁμαλῶς γεγονέναι λέγουσιν, ἀνδρὸς οὐσίᾳ μὲν, ὥς φασι, καὶ δυνάμει μέσου τῶν πολιτῶν, οἰκίας δὲ πρώτης κατὰ γένος· ἦν γὰρ Κοδρίδης ἀνέκαθεν. τὴν δὲ μητέρα τοῦ Σόλωνος Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ τῆς Πεισιστράτου μητρὸς ἀνεψιὰν γενέσθαι. καὶ φιλία τὸ πρῶτον ἦν αὐτοῖς πολλὴ μὲν διὰ τὴν συγγένειαν, πολλὴ δὲ διὰ τὴν εὐφυΐαν καὶ ὥραν, ὡς ἔνιοί φασιν, ἐρωτικῶς τὸν Πεισίστρατον ἀσπαζομένου τοῦ Σόλωνος. ὅθεν ὕστερον, ὡς ἔοικεν, εἰς διαφορὰν αὐτῶν ἐν τῇ πολιτείᾳ

1 R. mavult ἐκγενέσθαι, licuisse.

2 Br. magis placeret συμπεπηγυίας, vox Plutarcho usitatior.

3 V. εἶτε.

4 Ex emend. R. pro vulg. lectione: πάντας, οὐκ ἄλλως, προσαγαγόμ. — In Junt. & Ald. legitur συναγόμενον, quod jam H. Steph. mutandum videbatur in συναγαγόμ. in relatione ad συναρμόσαντα.

λιτείᾳ καταςάντων, ὀδὲν ἤνεγκεν ἡ ἔχθρα σκληρὸν ὀδ' ἄγριον πάθος, ἀλλὰ παρέμεινεν ἐκεῖνα τὰ δίκαια ταῖς ψυχαῖς, καὶ παρεφύλαξε τυφομένην ἀδρᾶ πυρὸς ἔτι ζῶσαν φλόγα τὴν ἐρωτικὴν μνήμην καὶ χάριν. ὅτι δὲ πρὸς τὰς καλὰς ὀκ ἦν ἐχυρὸς ὁ Σόλων, ὀδ' ἔρωτι θαῤῥαλέος ἀντανασῆναι, πύκτης ὅπως [1] ἐς χεῖρας, ἔκ τε τῶν ποιημάτων αὐτᾶ λαβεῖν ἐςι, καὶ νόμα, ὃν ἔγραψε [2] διαγορεύοντα δᾶλον μὴ ξηραλοιφεῖν, μηδὲ παιδεραςεῖν, εἰς τὴν τῶν καλῶν μερίδα καὶ σεμνῶν ἐπιτηδευμάτων τιθέμενος τὸ πρᾶγμα, καὶ τρόπον τινὰ τὰς ἀξίας προκαλέμενος [3], ὧν τὰς ἀναξίας ἀπήλαυνε. λέγεται δὲ καὶ Πεισίςρατος ἐραςὴς Χάρμα γενέϑαι, καὶ τὸ ἄγαλμα τᾶ Ἔρωτος ἐν Ἀκαδημίᾳ καθιερῶσαι, ὅπα τὸ πῦρ ἀνάπτασιν οἱ τὴν ἱερὰν λαμπάδα διαθέοντες.

II. Ὁ δ' ὂν Σόλων, τὴν ὀσίαν τᾶ πατρὸς ἐλαττώσαντος εἰς φιλανθρωπίας τινάς, ὥς φησιν Ἕρμιππος, καὶ χάριτας, ὀκ ἂν ἀπορήσας τῶν βαλομένων ἐπαρκεῖν, αἰδάμενος δὲ λαμβάνειν παρ' ἑτέρων, ἐξ οἰκίας γεγονὼς εἰθισμένης ἑτέροις βοηθεῖν, ὥρμησε νέος ὢν ἔτι πρὸς ἐμπορίαν. καίτοι φασὶν ἔνιοι, πολυπειρίας ἕνεκα μᾶλλον καὶ ἱςορίας, ἢ χρηματισμᾶ, πλανηθῆναι τὸν Σόλωνα. σοφίας μὲν γὰρ ἦν ὁμολογαμένως ἐραςής, ὅς γε καὶ πρεσβύτερος ὢν ἔλεγε γηράσκειν ἀεὶ [4] πολλὰ διδασκόμενος. πλᾶτον δ' ὀκ ἐθαύμαζεν [5], ἀλλὰ καί φησιν ὁμοίως πλατεῖν,

ᾧ τε [6] πολὺς ἄργυρός ἐςι
Καὶ χρυσὸς, καὶ γῆς πυροφόρα πεδία,

 Ἵπ-

1 Deeſt V.

2 Ita dedit R. de ſuo, pro vulg. *καὶ νόμον ἔγραψε.*

3 Dura videtur hæc lectio R. — quare accipiendam eam cenſet pro *ἐπὶ ταῦτα προκαλ.* — vel prorſus ita legendum.

4 V. *αἰεὶ*, aptius ad verſum pentametrum.

5 Ita cum *ν.* *ἐφελκ.* B. omnes; Vulg. ſine *ν.*

6 Metri cauſa Br. vult *ᾧ κεν.*

Ἵπποι θ' ἡμίονοί τε, καὶ ἴυ μόνα ταῦτα πάρεςι,
Γαςρί τε καὶ πλευρῇ καὶ ποσὶν ἁβρὰ παθεῖν.
Παιδός τ' ἠδὲ γυναικὸς ἐπὴν καὶ ταῦτ' ἀφίκηται [1],
Ἥβη σὺν δ' ὥρῃ γίνεται ἁρμονία.

ἀλλ' ἑτέρωθι λέγει·

Χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
Οὐκ ἐθέλω· πάντως ὕςερον ἦλθε δίκη.

κωλύει δ' ὐδὲν τὸν ἀγαθὸν καὶ πολιτικὸν ἄνδρα μήτε τῶν περιττῶν τὴν κτῆσιν ἐν σπυδῇ τίθεσθαι, μήτε τῆς χρείας τῶν ἀναγκαίων καὶ ἱκανῶν καταφρονεῖν. ἐν δὲ τοῖς τότε χρόνοις, καθ' Ἡσίοδον, ἔργον ὐδὲν ἦν ὄνειδος, ὐδὲ τέχνη διαφορὰν ἔφερεν· ἐμπορία δὲ καὶ δόξαν εἶχεν οἰκειυμένη τὰ βαρβαρικὰ, καὶ προξενῦσα φιλίας βασιλέων, καὶ πραγμάτων ἐμπείρυς ποιῦσα πολλῶν. ἔνιοι δὲ καὶ πόλεων οἰκιςαὶ γεγόνασι μεγάλων, ὡς καὶ ὁ Μασσαλίας [2] Πρῶτος ὑπὸ Κελτῶν τῶν περὶ τὸν Ῥοδανὸν ἀγαπηθείς. καὶ Θαλῆν δέ φασιν ἐμπορίᾳ χρήσασθαι, καὶ Ἱπποκράτην τὸν μαθηματικὸν, καὶ Πλάτωνι τῆς ἀποδημίας ἐφόδιον, ἐλαίυ τινὸς ἐν Αἰγύπτῳ διάθεσιν γενέσθαι [3].

III. Τὸ δ' ὖν εὐδάπανον τῷ Σόλωνι καὶ ὑγρὸν πρὸς τὴν δίαιταν, καὶ τὸ φορτικώτερον, ἢ φιλοσοφώτερον, ἐν τοῖς ποιήμασι διαλέγεσθαι περὶ τῶν ἡδονῶν, τὸν ἐμπορικὸν οἴονται βίον προστετρίφθαι· πολλὰς γὰρ ἔχοντα κινδύνυς καὶ μεγάλυς, ἀνταπαιτεῖν πάλιν εὐπαθείας τινὰς καὶ ἀπολαύσεις. ὅτι δ' αὑτὸν ἐν τῇ τῶν πενή-

1 Anon. ἐφίκηται, quod Br. placet; item in seq. v. ἥβης, lectio V. & Anon. nisi legas ἁρμοδία, congrua.

2 Artic. R. de suo dedit. Ad Μασσαλ. subaud. οἰκιςὴς, e proximo. Pro ἀγαπηθεὶς Anon. ἀγαπένθης. Aliis nomen Μασσαλ. est nomen conditoris; aliis πρῶτος est appellat. Quin Xyl. suspicatur, ἀγαπηθεὶς, ut in Græco olim fuit, esse fortassis nomen proprium.

3 B. 3. φασὶ γενέσθαι.

πενήτων μερίδι μᾶλλον, ἢ τῇ τῶν πλεσίων ἔταττε, δῆλόν ἐςιν ἐκ τέτων·

Πολλοὶ γὰρ πλετεῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται.
'Αλλ' ἡμεῖς αὐτοῖς ἐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλῆτον· ἐπεὶ τὸ μὲν ἔμπεδόν ἐςι [1],
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

τῇ δὲ ποιήσει κατ' ἀρχὰς μὲν εἰς ἐδὲν ἄξιον σπεδῆς, ἀλλὰ παίζων πως ἔοικε προσχρήσαθαι [2], καὶ περιάγων [3] ἑαυτὸν ἐν τῷ σχολάζειν· ὕςερον δὲ, καὶ γνώμας ἐνέτεινε φιλοσόφες, καὶ τῶν πολιτικῶν πολλὰ συγκατέπλεκε τοῖς ποιήμασιν, ἐχ ἱςορίας ἕνεκεν καὶ μνήμης, ἀλλ' ἀπολογισμές τε τῶν πεπραγμένων ἔχοντα, καὶ προτροπὰς ἐνιαχῦ [4] καὶ νεθεσίας, καὶ ἐπιπλήξεις πρὸς τὲς 'Αθηναίες. ἔνιοι δέ φασιν, ὅτι καὶ τὲς νόμες ἐπεχείρησεν ἐντείνας εἰς ἔπος ἐξενεγκεῖν, καὶ διαμνημονεύεσι τὴν ἀρχὴν ἕτως ἔχεσαν·

Πρῶτα μὲν εὐχώμεθα Διΐ Κρονίδῃ βασιλῆϊ,
Θεσμοῖς τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.

φιλοσοφίας δὲ τῦ ἠθικῦ μάλιςα τὸ πολιτικὸν [5], ὥσπερ οἱ πλεῖςοι τῶν τότε [6] σοφῶν, ἠγάπησεν. ἐν δὲ τοῖς



1 Teste H. Steph. etiam legitur ἐμπεδ. ἀεί.

2 Ita ex emend. R. pro vulg. ἀλλὰ παίζων, ὡς ἔοικε προσχρ. — H. Steph. ὡς expungendum censuit, aut προσχρ. in προσεχρήσατο mutandum. Br. distinguendo legit, ἀλλὰ παίζων ὡς, ἔοικε προσχρ.

3 Br. mavult παράγων.

4 V. ἐνιαχῆν.

5 R. quærit, rectene habeat vulgata, & hoc significet, ἐκ τῦ ἠθικῦ τῆς φιλοσοφίας μέρες μάλιςα τὸ πολιτικὸν μέρος, an potius legendum φιλοσοφίας δὲ τὸ ἠθικὸν μάλιςα, καὶ τέτε δὲ μάλιςα τὸ πολιτικόν; an denique φιλοσοφίας δὲ τῆς ἠθικῆς μάλιςα τὴν πολιτικὴν aut τὸ πολιτικὸν sc. μόριον?

6 deest B. 1. 2. 3. Junt. Ald.

τοῖς Φυσικοῖς ἁπλῶς ἐςι λίαν καὶ ἀρχαῖος, ὡς [1] δῆλον ἐκ τούτων·

'Εκ νεφέλης πέλεται [2] χιόνος μένος ἠδὲ χαλάζης·
Βροντὴ δ' ἐκ λαμπρᾶς γίγνεται ἀςεροπῆς.
'Εξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν
Μὴ κινῇ, πάντων ἐςὶ δικαιοτάτη.

καὶ ὅλως ἔοικεν ἡ Θάλεω μόνον [3] σοφία τότε περαιτέρω τῆς χρείας ἐξικέσθαι τῇ θεωρίᾳ, τοῖς δ' ἄλλοις ἀπὸ τῆς πολιτικῆς ἀρετῆς τοὔνομα τῆς σοφίας ὑπῆρξε.

IV. Γενέσθαι δὲ [4] μετ' ἀλλήλων ἔν τε Δελφοῖς ὁμοῦ λέγονται, καὶ πάλιν ἐν Κορίνθῳ, Περιάνδρου σύλλογόν τινα κοινὸν αὐτῶν καὶ συμπόσιον κατασκευάσαντος. ἔτι δὲ μᾶλλον εἰς ἀξίωμα καὶ δόξαν αὐτοὺς κατέςησεν ἡ τοῦ τρίποδος περίοδος, καὶ διὰ πάντων ἀνακύκλησις καὶ ἀνθύπειξις μετ' εὐμενείας [5] Φιλοτίμου γινομένη. Κῴων γὰρ, ὥς φασι, καταγόντων σαγήνην, καὶ ξένων ἐκ Μιλήτου πριαμένων τὸν βόλον οὔπω φανερὸν ὄντα, χρυσοῦς ἐφάνη τρίπους ἑλκόμενος, ὃν λέγουσιν Ἑλένην πλέουσαν ἐκ Τροίας αὐτόθι καθεῖναι, χρησμοῦ τινος ἀναμνησθεῖσαν παλαιοῦ. γενομένης δὲ τοῖς ξένοις πρῶτον ἀντιλογίας πρὸς τοὺς ἁλιέας περὶ τοῦ τρίποδος, εἶτα τῶν πόλεων ἀναδεξαμένων τὴν διαφορὰν ἄχρι πολέμου προελθοῦσαν, ἀνεῖλεν ἀμφοτέροις ἡ Πυθία, τῷ σοφωτάτῳ τὸν τρίποδα ἀποδοῦναι. καὶ πρῶτον μὲν ἀπεςάλη πρὸς Θαλῆν εἰς Μίλητον, ἑκουσίων [6] Κῴων ἑνὶ δωρου-

1 B. 1. 2. καί; Hinc Br. susp. utrumque admittendum, & legendum ὡς καὶ δῆλον.

2 Diog. Laert. in Solone φέρεται habet; nec non pro μένος ibid. legitur βίη; λαμπρῆς pro λαμπρᾶς; & γίνεται cum V. pro γίγν.

3 B. & Anon. μόνου, quod Br. probat.

4 B. 1. 2. add. καί.

5 B. 3. εὐνοίας.

6 Ita dedit R. ex Junt. & Ald. pro vulg. ἑκουσίως.

δωρεμένων ἐκείνῳ, περὶ ὃ πρὸς ἅπαντας ὁμοῦ Μιλησίους ἐπολέμησαν. Θάλεω δὲ Βίαντα σοφώτερον ἀποφαίνοντος αὐτοῦ, πρὸς ἐκεῖνον ἧκεν. ἀπ' [1] ἐκείνου δ' αὖθις ἀπεςάλη πρὸς ἄλλον ὡς σοφώτερον. εἶτα περιιὼν καὶ ἀναπεμπόμενος οὕτως ἐπὶ Θαλῆν τὸ δεύτερον ἀφίκετο· καὶ τέλος εἰς Θήβας ἐκ Μιλήτου κομισθεὶς, τῷ Ἰσμηνίῳ Ἀπόλλωνι καθιερώθη. Θεόφραςος δέ φησι, πρῶτον μὲν εἰς Πριήνην Βίαντι τὸν τρίποδα πεμφθῆναι, δεύτερον δ' εἰς [2] Μίλητον Θαλῇ Βίαντος ἀποπέμψαντος· οὕτω δὲ διὰ πάντων πάλιν εἰς Βίαντα περιελθεῖν, τέλος δ' εἰς Δελφοὺς ἀποςαλῆναι. ταῦτα μὲν οὖν ὑπὸ πλειόνων τεθρύλληται, πλὴν ὅτι τὸ δῶρον ἀντὶ τοῦ τρίποδος οἱ μὲν φιάλην ὑπὸ Κροίσου πεμφθεῖσαν, οἱ δὲ ποτήριον Βαθυκλέους ἀπολιπόντος [εἶναι [3]] λέγουσιν.

V. Ἰδίᾳ δὲ Ἀναχάρσεώς τε πρὸς Σόλωνα, καὶ πάλιν Θάλεω συνουσίαν τινὰ [4] καὶ λόγους ἀναγράφουσι τοιούτους. Ἀνάχαρσιν μὲν εἰς Ἀθήνας φασὶν ἐπὶ τὴν Σόλωνος οἰκίαν ἐλθόντα, κόπτειν, καὶ λέγειν, ὡς ξένος ὢν ἀφῖκται φιλίαν ποιησόμενος καὶ ξενίαν πρὸς αὐτόν. ἀποκρινομένου δὲ τοῦ Σόλωνος, Οἴκοι βέλτιόν ἐςι ποιεῖσθαι φιλίας· Οὐκοῦν, φάναι τὸν Ἀνάχαρσιν, αὐτὸς ὢν οἴκοι σὺ ποίησαι φιλίαν καὶ ξενίαν πρὸς ἡμᾶς. οὕτω δὴ θαυμάσαντα τὴν ἀγχίνοιαν τοῦ ἀνδρὸς τὸν Σόλωνα δέξασθαι φιλοφρόνως, καὶ χρόνον τινὰ σχεῖν [5] παρ' αὐτῷ, ἤδη τὰ δημόσια πράττοντα καὶ συντάττόμενον [6] τοὺς νόμους. τὸν οὖν Ἀνάχαρσιν πυθόμενον καταγε-



1 Anon. ὑπ'.

2 Junt. & Ald. ἐπί.

3 Vocab. a R. uncis inclusum, quod Junt. & Ald. omittunt.

4 R. mavult συνουσίας τινάς.

5 Teste H. Steph. etiam legitur καταχεῖν.

6 B. 1. 2. πράττοντι καὶ συντάττομένῳ; quod probat Br. in relatione ad αὐτῷ.

ταγελᾷν τῆς πραγματείας τȣ̃ Σόλωνος, οἰομένȣ [1] γράμμασιν ἐφέξειν [2] τὰς ἀδικίας καὶ πλεονεξίας τῶν πολιτῶν, ἃ μηδὲν τῶν ἀραχνίων διαφέρειν, ἀλλ' ὡς ἐκεῖνα, τȣ̀ς μὲν ἀσθενεῖς καὶ λεπτȣ̀ς τῶν ἁλισκομένων καθέξειν, ὑπὸ δὲ τῶν δυνατῶν καὶ πλȣσίων διαῤῥαγήσεσθαι. τὸν δὲ Σόλωνα πρὸς ταῦτα φασὶν εἰπεῖν, ὅτι καὶ συνθήκας ἄνθρωποι φυλάττȣσιν, ἃς ȣ̓δετέρῳ λυσιτελές ἐστι [3] παραβαίνειν τῶν θεμένων· καὶ τȣ̀ς νόμȣς αὐτὸς ȣ̈τως ἁρμόζεται τοῖς πολίταις, ὥστε πᾶσι τȣ̃ παρανομεῖν βέλτιον ἐπιδεῖξαι τὸ δικαιοπραγεῖν. ἀλλὰ ταῦτα μὲν ὡς Ἀνάχαρσις εἴκαζεν ἀπέβη μᾶλλον, ἢ κατ' ἐλπίδα τȣ̃ Σόλωνος. ἔφη δὲ κἀκεῖνο θαυμάζειν ὁ Ἀνάχαρσις ἐκκλησίᾳ παραγενόμενος, ὅτι λέγȣσι μὲν οἱ σοφοὶ παρ' Ἕλλησι, κρίνȣσι δ' οἱ ἀμαθεῖς.

VI. Πρὸς Θαλῆν δ' εἰς Μίλητον ἐλθόντα τὸν Σόλωνα, θαυμάζειν, ὅτι γάμȣ καὶ παιδοποιΐας τὸ παράπαν ἠμέληκε. καὶ τὸν Θαλῆν [4] τότε μὲν σιωπῆσαι, διαλιπόντα δ' ὀλίγας ἡμέρας, ἄνδρα παρασκευάσαι ξένον, ἀρτίως ἥκειν φάσκοντα δεκαταῖον ἐξ Ἀθηνῶν. πυθομένȣ δὲ τȣ̃ Σόλωνος, εἰ ἴδη τι [5] καινὸν ἐν ταῖς Ἀθήναις, δεδιδαγμένον ἃ χρὴ λέγειν τὸν ἄνθρωπον, ȣ̓δὲν εἰπεῖν ἕτερον, εἰ μὴ νὴ Δία νεανίσκȣ τινὸς ἦν ἐκφορὰ, καὶ προὔπεμπεν ἡ πόλις. ἦν γὰρ υἱὸς, ὡς ἔφασαν, ἀνδρὸς ἐνδόξȣ καὶ πρωτεύοντος ἀρετῇ τῶν πολιτῶν· ȣ̓ παρῆν δὲ, ἀλλ' ἀποδημεῖν ἔφασαν αὐτὸν ἤδη [6] πολὺν χρόνον. Ὡς δυστυχὴς ἐκεῖνος, φᾶναι τὸν Σόλωνα. Τίνα δ' ὠνόμαζον αὐτόν; Ἤκȣσα, φᾶναι, τȣ̈νομα, τὸν ἄνθρω-

1 V. οἰόμενον.
2 Teste H. Steph. etiam legitur ἀφίλξειν.
3 B. 1. 2. 3. Junt. & Ald. λυσιτελὲς τι.
4 B. 1. 2. τὸν μὲν Θαλῆν.
5 Ita dedit R. pro vulg. εἰ δή τι.
6 deest B. 1. 2. — In seq. testatur H. Steph. inveniri etiam ὦ δυσ.

ἄνθρωπον [1]. ἀλλ' ὖ μνημονεύω· πλὴν ὅτι πολὺς λόγος ἦν αὐτοῦ σοφίας καὶ δικαιοσύνης. οὕτω δὴ καθ' ἑκάστην ἀπόκρισιν τῷ φόβῳ προσαγόμενον [2] τὸν Σόλωνα, καὶ τέλος ἤδη συντεταραγμένον, αὐτὸν ὑποβαλεῖν [3] τοὔνομα τῷ ξένῳ, πυνθανόμενον, μὴ Σόλωνος ὁ τεθνηκὼς υἱὸς ὠνομάζετο. Φήσαντος δὲ τἀνθρώπου [4], τὸν μὲν ὁρμῆσαι παίειν τὴν κεφαλὴν, καὶ τἄλλα ποιεῖν καὶ λέγειν, ἃ συμβαίνει τοῖς περιπαθοῦσι. τὸν δὲ Θαλῆν ἐπιλαβόμενον αὐτοῦ, καὶ γελάσαντα· Ταῦτά τοι, φάναι, ὦ Σόλων, ἐμὲ γάμου καὶ παιδοποιΐας ἀφίστησεν, ἃ καί σε κατερείπει τὸν ἐῤῥωμενέστατον. ἀλλὰ θάῤῥει τῶν λόγων ἕνεκα τούτων· οὐ γάρ εἰσιν ἀληθεῖς. Ταῦτα μὲν οὖν Ἕρμιππος ἱστορεῖν φησι Πάταικον, ὃς ἔφασκε τὴν Αἰσώπου ψυχὴν ἔχειν.

VII. Ἄτοπος δὲ καὶ ἀγεννὴς ὁ τῷ φόβῳ τῆς ἀποβολῆς τὴν κτῆσιν ὧν χρὴ προϊέμενος. οὕτω γὰρ ἄν τις οὐ πλοῦτον, οὐ δόξαν, οὐ σοφίαν ἀγαπήσειε παραγενομένην, δεδιὼς στέρεσθαι. καὶ γὰρ ἀρετὴν, ἧς κτῆμα μεῖζον οὐδὲν, οὐδ' ἥδιον, ἐξισαμένην ὑπὸ νόσων καὶ φαρμάκων ὁρῶμεν [5], αὐτῷ τε Θαλῇ μὴ γήμαντι πλέον οὐδὲν εἰς ἀφοβίαν, εἰ μὴ καὶ φίλων κτῆσιν ἔφυγε καὶ οἰκείων καὶ πατρίδος. ἀλλὰ καὶ παῖδα θετὸν ἔσχε ποιησάμενος αὐτὸς τὸν τῆς ἀδελφῆς, ὥς φασι, Κύβισθον. ἐχούσης γάρ τι

1 Hæc quatuor verba ita interpunxit H. Steph. ne implicita ſtructura eorum lectori imponeret.

2 i. e. πρόσω ἀγόμενον. Num deſit μᾶλλον καὶ μᾶλλον, aut ἐπὶ μᾶλλον, in dubio relinquit R.

3 Sic dedit R. pro vulg. ὑποβάλλειν.

4 Vocab. articulo auctum dedit R. — Vulg. ἀνθρώπου, B. 1. 2. φήσ. δὲ ναὶ τοῦ ἀνθρ. — Partic. ναι Br. neceſſaria videtur; R. minus, cum φάναι affirmare per ſe denotet, & additum ναὶ ne græcum quidem foret.

5 Junt. & Ald. hunc habent ordinem verborum ἐξισαμένην ὁρῶμεν ὑπ. ν. κ. φ.

τι τῆς ψυχῆς ἀγαπητικὸν ἐν ἑαυτῇ, καὶ πεφυκυίας, ὥσπερ αἰσθάνεσθαι καὶ διανοεῖσθαι καὶ μνημονεύειν, ὅτω καὶ φιλεῖν, ἐνδύεταί τι τέτῳ καὶ προσφύεται τῶν ἐκτὸς, οἷς οἰκεῖον ὀδέν ἐςι· καὶ καθάπερ οἶκον καὶ χώραν γνησίων ἔρημον διαδόχων, τὸν φιλόςοργον [1] ἀλλότριοι καὶ νόθοι, ἢ θεράποντες [2] εἰσοικισάμενοι καὶ καταλαβόντες, ἅμα τῷ φιλεῖν τὸ φροντίζειν καὶ δεδιέναι περὶ αὐτῶν ἐνεποίησαν. ὥστ' ἴδοις ἂν ἀνθρώπες σερῥοτέρᾳ τῇ φύσει [3] περὶ γάμε καὶ γενέσεως παίδων διαλεγομένες [4], εἶτα τὲς αὐτὲς ἐπὶ παισὶν οἰκοτρίβων, ἢ θρέμμασι παλλακῶν νοσᾶσι καὶ θνήσκεσι παρατεινομένες πόθῳ, καὶ φωνὰς ἀγεννεῖς ἀφιέντας. ἔνιοι δὲ καὶ κυνῶν θανάτῳ καὶ ἵππων αἰσχρῶς καὶ ἀβιώτως ὑπὸ λύπης [5] διετέθησαν. ἀλλ' ἕτεροί γε παῖδας ἀγαθὲς ἀπολαβόντες [6], ὀδὲν ἔπαθον δεινὸν, ὀδ' ἐποίησαν αἰσχρὸν, ἀλλὰ καὶ χρώμενοι τῷ λοιπῷ βίῳ κατὰ λόγον διετέλεσαν. ἀσθένεια γὰρ, ὀκ εὔνοια, λύπας ἀπεράντες ἐπάγεται [7] καὶ φόβες ἀνθρώποις ἀνασκήτοις ὑπὸ λόγε πρὸς τύχην, οἷς ὀδ' ἀπόλαυσις ἐγγίνεται τε ποθεμένε

1 B. omnes τὸ φιλόςοργον, quod Br. placet.

2 R. anteced. ἢ de ſuo dedit; θεράποντες autem e Junt. reſtauravit. Conſent. Flor. B. 1. 2. & V. — Vulg. θεραπεύοντες.

3 R. ſuſp. τῇ φράσει, durioribus verbis. Sequitur hanc conjecturam Schirach: Die in ihren Reden ſich als ſehr unempfindlich gegen das Heyrathen beweiſen.

4 Teſte H. Steph. eſt in quibusdam διαμαχομένες. Idem præfert lectionem receptam, quod ſermo ſit de philoſophis, qui de hujusmodi argumentis diſſerere ſolerent. Mihi quidem Plutarchus de hominibus eorumque affectibus in genere loqui videtur. Saltim ex hac ratione non reprobarem διαμαχ. cui σεῤῥ. τ. φύσ. magis congrueret. περὶ forſan obſiſtit, cum ſenſus, quo hoc loco ſumeretur, rarior eſt.

5 Teſte Steph. ſcriptum eſt etiam ὑπ' ὀδύνης.

6 Alia lect. teſte eodem ἀπολέσαντες.

7 Al. lect. teſte eod. παρέχεται.

νου παρόντος, τοῦ μέλλοντος ὠδῖνας ἀεὶ καὶ τρόμους καὶ ἀγῶνας, εἰ στερήσονται, παρέχοντος αὐτοῖς. δεῖ δὲ μήτε πενίᾳ πρὸς χρημάτων πεπαιδεῦσθαι [1] στέρησιν, μήτ' ἀφιλίᾳ πρὸς φίλων ἀποβολὴν, μήτ' ἀπαιδίᾳ πρὸς τέκνων θάνατον, ἀλλὰ τῷ λογισμῷ πρὸς πάντα. καὶ ταῦτα μὲν, ὡς ἐν τῷ παρόντι, πλείονα τῶν ἱκανῶν.

VIII. Ἐπεὶ δὲ μακρόν τινα καὶ δυσχερῆ πόλεμον οἱ ἐν ἄστει περὶ τῆς Σαλαμινίων νήσου Μεγαρεῦσι πολεμοῦντες ἐξέκαμον, καὶ νόμον ἔθεντο, μήτε γράψαι τινὰ, μήτ' εἰπεῖν αὖθις, ὡς χρὴ τὴν πόλιν ἀντιποιεῖσθαι τῆς Σαλαμῖνος, ἢ θανάτῳ ζημιοῦσθαι, βαρέως φέρων τὴν ἀδοξίαν ὁ Σόλων, καὶ τῶν νέων ὁρῶν πολλοὺς δεομένους ἀρχῆς ἐπὶ τὸν πόλεμον, αὐτοὺς δὲ μὴ θαῤῥοῦντας ἄρξασθαι διὰ τὸν νόμον, ἐσκήψατο μὲν ἔκστασιν τῶν λογισμῶν, καὶ λόγος εἰς τὴν πόλιν ἐκ τῆς οἰκίας [2] διεδόθη παρακινητικῶς ἔχειν αὐτόν. ἐλεγεῖα δὲ κρύφα συνθεὶς, καὶ μελετήσας, ὥστε λέγειν ἀπὸ στόματος, ἐξεπήδησεν εἰς τὴν ἀγορὰν ἄφνω πιλίον περιθέμενος [3]. ὄχλου δὲ πολλοῦ συνδραμόντος, ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον, ἐν ᾠδῇ διεξῆλθε τὴν ἐλεγείαν, ἧς ἐστιν ἀρχή·

Αὐτὸς

1 Hanc lectionem ex pluribus, quæ exstant & conjiciuntur, prætulit R. — Tres sunt lectiones teste H. Steph. *πεπαῦσθαι*, *πεπρᾶχθαι*, *τεταράχθαι*; I. Rutgersius *πεπεῖσθαι*; Baudius *πείθεσθαι*; Cruserius vertit, consilium mutuari; Br. susp. *πεπνῦσθαι*, aut *πεπαιδεῦσθαι*, aut *πεφράχθαι*; Dacer. ex Ms. *παρατετάχθαι* probat, & ita V. — R. addit conjecturas *γεγυμνάσθαι* & *πεπωρῶσθαι*.

2 Verba hæc *ἐ. τ. οἰ.* collocanda censet R. pone *ἐξεπήδησεν*. in seq.

3 Junt. dat *ἄφνω καὶ πιλίου περιθ.* ex qua R. *καὶ* servandum censet. Lapus vertit *cœno* fœdatus, ut si *πηλὸν* legisset. V. & B. omnes *πλινθίον*. Demosthenes, hanc historiam tangens, habet *πιλίδιον*.

Αὐτὸς κήρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος
Κόσμον ἐπέων [1] ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.

τῦτο τὸ ποίημα Σαλαμὶς ἐπιγέγραπται, καὶ ςίχων ἑκατόν ἐςι χαριέντως πάνυ πεποιημένον. τότε δὲ ᾀσθέντος αὐτῦ, καὶ τῶν φίλων τῦ Σόλωνος ἀρξαμένων ἐπαινεῖν, μάλιςα δὲ τῦ Πεισιςράτυ τοῖς πολίταις ἐγκελευομένυ καὶ παρορμῶντος πεισθῆναι τῷ λέγοντι, λύσαντες τὸν νόμον, αὖθις ἥπτοντο τῦ πολέμυ, προςησάμενοι τὸν Σόλωνα· τὰ μὲν ὖν δημώδη τῶν λεγομένων, τοιαῦτ' ἐςὶν, ὅτι πλεύσας ἐπὶ Κωλιάδα μετὰ τῦ Πεισιςράτυ, καὶ καταλαβὼν αὐτόθι πάσας τὰς γυναῖκας τῇ Δήμητρι τὴν πάτριον θυσίαν ἐπιτελύσας, ἔπεμψεν ἄνδρα πιςὸν εἰς τὴν Σαλαμῖνα, προσποιύμενον αὐτόμολον εἶναι, κελεύσοντα [2] τὺς Μεγαρεῖς, εἰ βύλονται τῶν Ἀθηναίων τὰς πρώτας λαβεῖν γυναῖκας, ἐπὶ Κωλιάδα μετ' αὐτῦ πλεῖν τὴν ταχίςην. ὡς δὲ πεισθέντες οἱ Μεγαρεῖς ἄνδρας ἐξέπεμψαν ἐν τῷ πλοίῳ, καὶ κατεῖδεν ὁ Σόλων τὸ πλοῖον ἐλαυνόμενον ἀπὸ τῆς νήσυ, τὰς μὲν γυναῖκας ἐκποδὼν ἀπελθεῖν ἐκέλευσε, τῶν δὲ νεωτέρων τὺς μηδέπω γενειῶντας ἐνδύμασι καὶ μίτραις καὶ ὑποδήμασι τοῖς ἐκείνων σκευασαμένυς, καὶ λαβόντας ἐγχειρίδια κρυπτὰ, παίζειν καὶ χορεύειν προσέταξε πρὸς τῇ θαλάσσῃ, μέχρις ἂν ἀποβῶσιν οἱ πολέμιοι, καὶ γένηται τὸ πλοῖον ὑποχείριον. ὕτω δὴ τύτων πραττομένων, ὑπαχθέντες οἱ Μεγαρεῖς τῇ ὄψει, καὶ προσμίξαντες ἐγγὺς, ἐξεπήδων ὡς ἐπὶ γυναῖκας ἁμιλλώμενοι πρὸς ἀλλήλυς· ὥςε μηδένα διαφυγεῖν, ἀλλὰ πάντας ἀπολέσθαι, καὶ τὴν νῆσον ἐπιπλεύσαντας εὐθὺς ἔχειν τὺς Ἀθηναίυς.

IX.

1 B. 1. 2. ἐπῶν; iid. cum 3. paulo post πεποιημένων pro πεποιημένον, & ἀγαθέντος pro ᾀσθέντος.

2 Ita dedit R. pro vulg. κελεύοντα.

IX. Ἄλλοι δέ φασιν, ὐ τοῦτον τὸν τρόπον γενέσθαι τὴν κατάληψιν, ἀλλὰ πρῶτον μὲν αὐτῷ τὸν ἐν Δελφοῖς Θεὸν χρῆσαι [1].

Ἀρχηγοὺς χώρας θυσίαις ἥρωας ἐνοίκους
Ἵλασο, τοὺς κόλπος [2] Ἀσωπιὸς ἀμφικαλύπτει,
Οἳ φθίμενοι δέρκονται ἐς ἠέλιον δύνοντα.

τὸν δὲ Σόλωνα διαπλεύσαντα νυκτὸς εἰς τὴν νῆσον, ἐντεμεῖν σφάγια Περιφήμῳ καὶ Κυχρεῖ τοῖς ἥρωσιν. εἶτα παρὰ τῶν Ἀθηναίων ἐθελοντὰς λαβεῖν πεντακοσίους, δόγματος γενομένου, τούτους, ἂν κατάσχωσι τὴν νῆσον, κυρίους εἶναι τοῦ πολιτεύματος. ἀναχθέντα δὲ συχναῖς ἁλιάσιν ἅμα τριακοντόρου συμπαραπλεούσης, ὑφορμίσασθαι τῇ Σαλαμῖνι κατὰ χηλήν τινα πρὸς τὴν Εὔβοιαν ἀποβλέπουσαν. πυθομένους δὲ τοὺς ἐν Σαλαμῖνι Μεγαρεῖς ἔκ τινος φήμης οὐδὲν βέβαιον, αὐτοὺς μὲν εἰς τὰ ὅπλα θορυβουμένους βαδίζειν, ναῦν δ᾽ ἀποστεῖλαι κατασκεψομένην τὰ τῶν πολεμίων [3]. ἧς ἐγγὺς ἐλθούσης, κρατῆσαι τὸν Σόλωνα καὶ καθεῖρξαι τοὺς Μεγαρεῖς. ἐμβιβάσαι [4] δὲ τῶν Ἀθηναίων τοὺς κρατίστους, κελεύσαντα πλεῖν ἐπὶ τὴν πόλιν, ὡς ἂν ἐνδέχηται μάλιστα κρύπτοντας ἑαυτούς. ἅμα δὲ τοὺς ἄλλους Ἀθηναίους ἀναλαβόντα πεζῇ συμφέρεσθαι τοῖς Μεγαρεῦσι· καὶ τῆς μάχης ἔτι συνεστώσης, φθάσαι τοὺς ἀπὸ τῆς νεὼς καταλαβόντας τὴν πόλιν. ἔοικε δὲ καὶ τῷ λόγῳ τούτῳ τὰ δρώμενα μαρτυρεῖν. ναῦς γάρ τις Ἀττικὴ προσέπλει σιωπῇ τὸ πρῶτον, εἶτα κραυγῇ καὶ ἀλαλαγμῷ προσφερομένων, εἷς ἀνὴρ ἔνοπλος ἐξαλλόμενος μετὰ

1 B. 1. 2. add. ταῦτα.

2 B. 1. 2. κόλποι γε; pro Ἀσωπιὸς V. Ἀσώπιος; Junt. B. 1. 2. 3. Ἀσωπιὰς; Ald. Ἀσοπιάς.

3 Ita ex conject. Br. pro vulg. κατασκ. τῶν πολεμ.

4 Teste H. Steph. legitur etiam hic locus ita: ἧς ἐγ. ἐλθ. καθεῖρξαι τοὺς Μεγαρεῖς τὸν Σόλωνα ταύτης κρατήσαντα, ἐμβιβάσαι δὲ &c.

μετὰ βοῆς ἔθει πρὸς ἄκρον τὸ Σκιράδιον ἐκ γῆς προσφερομένοις [1]. πλησίον δὲ τῶ Ἐνυαλίω τὸ ἱερόν ἐστιν ἱδρυσαμένω Σόλωνος. ἐνίκησε γὰρ τὰς Μεγαρέας, καὶ ὅσοι μὴ διεφθάρησαν ἐν τῇ μάχῃ, πάντας ὑποσπόνδας ἀφῆκεν.

X. Οὐ μὴν ἀλλὰ τῶν Μεγαρέων ἐπιμενόντων, πολλὰ κακὰ καὶ δρῶντες ἐν τῷ πολέμῳ καὶ πάσχοντες ἐποιήσαντο Λακεδαιμονίας διαλλακτὰς καὶ δικαστάς. οἱ μὲν ὖν πολλοὶ τῷ Σόλωνι συναγωνίσασθαι λέγωσι τὴν Ὁμήρω δόξαν· ἐμβαλόντα γὰρ αὐτὸν ἔπος εἰς νεῶν κατάλογον, ἐπὶ τῆς δίκης ἀναγνῶναι·

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
Στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσαντο φάλαγγες.

αὐτοὶ δ' Ἀθηναῖοι ταῦτα μὲν οἴονται φλυαρίαν εἶναι, τὸν δὲ Σόλωνά φασιν ἀποδεῖξαι τοῖς δικασαῖς, ὅτι Φιλαῖος καὶ Εὐρυσάκης, Αἴαντος υἱοί, τῆς Ἀθήνησι [2] πολιτείας μεταλαβόντες, παρέδοσαν τὴν νῆσον αὐτοῖς, καὶ κατῴκησαν, ὁ μὲν [3] ἐν Βραυρῶνι τῆς Ἀττικῆς, ὁ δ' ἐν Μελίτῃ· καὶ δῆμον ἐπώνυμον Φιλαίω τὸν τῶν [4] Φιλαϊδῶν ἔχωσιν, ὅθεν ἦν Πεισίστρατος. ἔτι δὲ μᾶλλον ἐξελέγξαι τὰς Μεγαρέας βωλόμενον, ἰσχυρίσασθαι περὶ τῶν νεκρῶν, ὡς ὧχ ὃν τρόπον ἐκεῖνοι θάπτωσι κεκηδευμένων, ἀλλ' ὃν αὐτοί. θάπτωσι δὲ Μεγαρεῖς πρὸς ἕω τὰς νεκρὰς στρέφοντες [4], Ἀθηναῖοι δὲ πρὸς ἑσπέραν. Ἡρέας δ' ὁ Μεγαρεὺς ἐνιστάμενος λέγει καὶ Μεγαρεῖς πρὸς ἑσπέραν τετραμμένα τὰ σώματα τῶν νεκρῶν τιθέναι· καὶ μεῖζον ἔτι τάτω, μίαν ἕκαστον Ἀθηναίων ἔχειν θήκην, Μεγαρέων δὲ καὶ τρεῖς καὶ τέσσαρας ἐν μιᾷ κεῖσθαι.

1 Legitur etiam, teste H. Steph. *προσαγομένοις*.
2 Articulum dedit R. de suo.
3 V. *οἱ μὲν*; & statim post *οἱ δὲ*.
4 Artic. *τὸν* dedit R. de suo.
5 Legi etiam *βλέποντας*, testatur H. Steph. idque explicat: oculis ad orientem versis.

κεῖσθαι· τῷ μέντοι Σόλωνι καὶ Πυθικὰς τινας βοηθῆσαι λέγουσι χρησμὸυς, ἐν οἷς ὁ Θεὸς Ἰωνίαν τὴν Σαλαμῖνα προσηγόρευσε. ταύτην τὴν δίκην ἐδίκασαν Σπαρτιατῶν πέντε ἄνδρες, Κριτολαΐδας, Ἀμομφάρετος, Ὑψηχίδας, Ἀναξίλας, Κλεομένης.

XI. Ἤδη μὲν οὖν καὶ ἀπὸ τούτων ἔνδοξος ἦν ὁ Σόλων καὶ μέγας. ἐθαυμάσθη δὲ καὶ διεβοήθη μᾶλλον ἐν τοῖς Ἕλλησιν, εἰπὼν ὑπὲρ [1] τοῦ ἱεροῦ τοῦ ἐν Δελφοῖς, ὡς χρὴ βοηθεῖν καὶ μὴ περιορᾶν Κιῤῥαίους ὑβρίζοντας εἰς τὸ μαντεῖον, ἀλλὰ προσαμύνειν ὑπὲρ τοῦ Θεοῦ Δελφοῖς. πεισθέντες γὰρ ὑπ᾽ ἐκείνου πρὸς τὸν πόλεμον ὥρμησαν οἱ Ἀμφικτύονες, ὡς ἄλλοι τε μαρτυροῦσι [2] καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Πυθιονίκων ἀναγραφῇ, Σόλωνι τὴν γνώμην ἀνατιθείς. οὐ μέντοι στρατηγὸς ἐπὶ τοῦτον ἀπεδείχθη τὸν πόλεμον, ὡς λέγειν φησὶν Ἕρμιππος Εὐάνθη τὸν Σάμιον. οὔτε γὰρ Αἰσχίνης ὁ ῥήτωρ τοῦτ᾽ εἴρηκεν, ἔν τε τοῖς τῶν Δελφῶν ὑπομνήμασιν Ἀλκμαίων, οὐ [3] Σόλων, Ἀθηναίων στρατηγὸς ἀναγέγραπται.

XII. Τὸ δὲ Κυλώνειον ἄγος ἤδη μὲν ἐκ πολλοῦ διετάραττε τὴν πόλιν, ἐξ οὗ τοὺς συνωμότας τοῦ Κύλωνος ἱκετεύοντας τὴν Θεὸν Μεγακλῆς ὁ ἄρχων ἐπὶ δίκῃ κατελθεῖν ἔπεισεν· ἐξάψαντας δὲ τοῦ ἕδους κρόκην κλωστὴν, καὶ ταύτης ἐχομένους, ὡς ἐγένοντο περὶ τὰς σεμνὰς Θεὰς καταβαίνοντες, αὐτομάτως τῆς κρόκης ῥαγείσης, ὥρμησε συλλαμβάνειν ὁ Μεγακλῆς καὶ οἱ συνάρχοντες, ὡς τῆς Θεοῦ τὴν ἱκεσίαν ἀπολεγομένης· καὶ τοὺς μὲν ἔξω κατέλευσαν, οἱ δὲ τοῖς βωμοῖς προσφυγόντες

1 B. 1. 2. περὶ, quod Br. placet, quia sequatur ὑπὲρ τοῦ Θεοῦ.

2 In quibusdam codd. teste H. Steph. legitur ὡς ἄλλοι τε πολλοὶ μαρτυροῦσι.

3 B. 1. 2. ἀλλ᾽ οὐ.

τες ἀπεσφάγησαν [1]. μόνοι δ' ἀφείθησαν οἱ τὰς γυναῖκας αὐτῶν ἱκετεύσαντες. ἐκ τούτου δὲ κληθέντες ἐναγεῖς ἐμισοῦντο· καὶ τῶν Κυλωνείων οἱ περιγενόμενοι πάλιν ἦσαν ἰσχυροὶ [2], καὶ στασιάζοντες ἀεὶ διετέλουν πρὸς τοὺς ἀπὸ [3] τοῦ Μεγακλέους. ἐν δὲ τῷ τότε χρόνῳ τῆς στάσεως ἀκμὴν λαβούσης μάλιστα, καὶ τοῦ δήμου διαστάντος, ἤδη δόξαν ἔχων ὁ Σόλων παρῆλθεν εἰς μέσον [4], ἅμα τοῖς ἀρίστοις τῶν Ἀθηναίων, καὶ δεόμενος καὶ διδάσκων ἔπεισε τοὺς ἐναγεῖς λεγομένους δίκην ὑποσχεῖν καὶ κριθῆναι, τριακοσίων ἀριστίνδην δικαζόντων. Μύρωνος δὲ τοῦ Φλυέως κατηγοροῦντος, ἑάλωσαν οἱ ἄνδρες, καὶ μετέστησαν οἱ ζῶντες· τῶν δ' ἀποθανόντων τοὺς νεκροὺς ἀνορύξαντες, ἐξέῤῥιψαν ὑπὲρ τοὺς ὅρους. ταύταις δὲ ταῖς ταραχαῖς καὶ Μεγαρέων συνεπιθεμένων, ἀπέβαλόν τε Νισαίαν οἱ Ἀθηναῖοι, καὶ Σαλαμῖνος ἐξέπεσον αὖθις. καὶ φόβοι τινὲς ἐκ δεισιδαιμονίας ἅμα καὶ φάσματα κατεῖχε τὴν πόλιν· οἵ τε μάντεις ἄγη καὶ μιασμοὺς δεομένους καθαρμῶν προφαίνεσθαι [5] διὰ τῶν ἱερῶν ἠγόρευον. οὕτω δὲ μετάπεμπτος αὐτοῖς ἧκεν ἐκ Κρήτης Ἐπιμενίδης ὁ Φαίστιος, ὃν ἕβδομον ἐν τοῖς σοφοῖς καταριθμοῦσιν ἔνιοι τῶν οὐ προσιεμένων τὸν Περίανδρον. ἐδόκει δέ τις εἶναι θεοφιλὴς καὶ σοφὸς [περὶ τὰ θεῖα [6]] τὴν ἐνθουσιαστικὴν καὶ τελεστικὴν σοφίαν. διὸ καὶ παῖδα νύμφης ὄνομα Βάλτης, καὶ Κούρητα νέον αὐτὸν οἱ τότε ἄνθρωποι προσηγόρευον. ἐλθὼν δὲ, καὶ τῷ Σόλωνι

1 R. mavult ἐπεσφάγησαν, & ſubaudiendum cenſet τοῖς βωμοῖς, aut τοῖς καταλυθεῖσι.

2 Verba ab ἰσχυροὶ usque ad ἐν δὲ deſunt B. 1. 2.

3 R. mavult μετά.

4 Ita ex ſententia Br. legendum cum Fl. Ald. & omn. B. pro vulg. εἰς τὸ μέσον.

5 Ita legi voluit H. Steph. pro vulg. προσφαίν.

6 Hæc vocabula, ut e ſcholio perperam ingeſta R. cenſet, eaque amputanda uncis incluſit. In B. 1. 2. deeſt περί.

νι χρησάμενος φίλῳ, πολλὰ προϋπειργάσατο [1] καὶ προωδοποίησεν αὐτῷ τῆς νομοθεσίας. καὶ γὰρ εὐςαλεῖς ἐποίησε τὰς ἱερουργίας [2], καὶ περὶ τὰ πένθη πρᾳοτέρους, θυσίας τινὰς εὐθὺς [3] ἀναμίξας πρὸς τὰ κήδη, καὶ τὸ σκληρὸν ἀφελὼν καὶ τὸ βαρβαρικὸν, ᾧ συνείχοντο πρότερον αἱ πλεῖςαι γυναῖκες. τὸ δὲ μέγιςον, ἱλασμοῖς τισι καὶ καθαρμοῖς καὶ ἱδρύσεσι κατοργιάσας καὶ καθοσιώσας τὴν πόλιν, ὑπήκοον τοῦ δικαίου καὶ μᾶλλον εὐπειθῆ πρὸς ὁμόνοιαν κατέςησε. λέγεται δὲ, τὴν Μουνυχίαν ἰδὼν καὶ καταμαθὼν πολὺν χρόνον, εἰπεῖν πρὸς τοὺς παρόντας, ὡς τυφλόν ἐςι τοῦ μέλλοντος ἄνθρωπος· ἐκφαγεῖν γὰρ Ἀθηναίους τοῖς αὐτῶν ὀδοῦσιν, εἰ προῄδεσαν, ὅσα τὴν πόλιν ἀνιάσει τὸ χωρίον. ὅμοιον δέ τι καὶ Θαλῆν εἰκάσαι λέγουσι· κελεῦσαι γὰρ αὐτὸν ἔν τινι τόπῳ τῆς Μιλησίας φαύλῳ καὶ παρορωμένῳ τελευτήσαντα θεῖναι, προειπὼν, ὡς ἀγορά ποτε τοῦτο Μιλησίων ἔςαι τὸ χωρίον. Ἐπιμενίδης μὲν οὖν μάλιςα θαυμασθεὶς, καὶ χρήματα διδόντων πολλὰ, καὶ τιμὰς μεγάλας τῶν Ἀθηναίων, οὐδὲν ἢ θαλλὸν ἀπὸ τῆς ἱερᾶς ἐλαίας αἰτησάμενος, καὶ λαβὼν, ἀπῆλθεν.

XIII. Αἱ δ' Ἀθῆναι [4] τῆς Κυλωνείου πεπαυμένης [5] ταραχῆς, καὶ μεθεςώτων, ὥσπερ εἴρηται, τῶν ἐναγῶν, τὴν παλαιὰν αὖθις ςάσιν ὑπὲρ [6] τῆς πολιτείας ἐςα-



1 Ita legi & dare voluit R. secundum annotationes (in textu ipso non dedit) pro vulg. προσυπειργάσατο, subaudiendo πρὸ τῆς αὐτοῦ νομοθεσίας. — Ferri tamen posse lectionem vulg. si subaudiatur πρὸς τὴν ἐκείνου νομοθεσίαν, idem ibid. declarat.

2 Ita B. 1. 2. 3. Junt. Ald. — Vulg. ταῖς ἱερουργ.

3 Suspectum videtur R. hoc vocabulum. Quaerit, num legendum εὐτελεῖς?

4 V. οἱ δὲ Ἀθηναῖοι.

5 Teste H. Steph. in quibusdam codd. διαπεπαυμένου. R. lectionem vulg. non reprehendens, mavult tamen πεπαυμένοι.

6 R. susp. ςάσιν τὴν ὑπὲρ τ. π.

ἐςασίαζον, ὅσας ἡ χώρα διαφορὰς εἶχεν, εἰς τοσαῦτα [1] μέρη τῆς πόλεως διαςάσης. ἦν γὰρ τὸ μὲν τῶν Διακρίων γένος δημοκρατικώτατον, ὀλιγαρχικώτατον δὲ τὸ τῶν Πεδιέων· τρίτοι δ' οἱ Πάραλοι μέσον τινὰ καὶ μεμιγμένον αἱρούμενοι πολιτείας τρόπον, ἐμποδὼν ἦσαν καὶ διεκώλυον τοὺς ἑτέρους κρατῆσαι. τότε δὲ τῆς [2] τῶν πενήτων πρὸς τοὺς πλουσίους ἀνωμαλίας ὥσπερ ἀκμὴν λαβούσης, παντάπασιν ἐπισφαλῶς ἡ πόλις διέκειτο, καὶ μόνως [3] ἂν ἐδόκει καταςῆναι καὶ παύσαθαι ταραττομένη τυραννίδος γενομένης [4]. ἅπας μὲν γὰρ ὁ δῆμος ἦν ὑπόχρεως τῶν πλουσίων. ἢ γὰρ ἐγεώργουν ἐκείνοις ἕκτα τῶν γινομένων τελοῦντες, ἑκτημόριοι προσαγορευόμενοι καὶ θῆτες· ἢ χρέα λαμβάνοντες [5] ἐπὶ τοῖς σώμασιν, ἀγώγιμοι τοῖς δανείζουσιν ἦσαν, οἱ μὲν αὐτοῦ δουλεύσοντες [6], οἱ δ' ἐπὶ τῇ ξένῃ, πιπρασκόμενοι. πολλοὶ δὲ καὶ παῖδας ἰδίους ἠναγκάζοντο πωλεῖν· οὐδεὶς γὰρ νόμος ἐκώλυε· καὶ τὴν πόλιν φεύγειν διὰ [7] χαλεπότητα τῶν δανειςῶν. οἱ δὲ πλεῖςοι καὶ ῥωμαλεώτατοι συνίςαντο καὶ παρεκάλουν ἀλλήλους μὴ περιορᾶν, ἀλλ' ἑλομένους ἕνα προςάτην, ἄνδρα πιςὸν, ἀφελέσθαι τοὺς ὑπερημέρους, καὶ

1 Præpos. εἰς ex codd. reposuit H. Steph. — In iisd. teste eodem est διεςώσης pro διαςάσης.

2 R. susp. τότε δὲ καὶ τῆς — ad illam vetustam de forma reip. gerendæ concertationem accedebat tum adhuc alia de debitorum ære alieno.

3 B. 2. μόλις.

4 In Junt. leg. τυραννίδος καὶ γενομένης. Hinc R. quærit, num inde efficere liceat τυραννίδος καινοτομουμένης?

5 R. mavult λαβόντες.

6 Ita dedit R. de suo pro vulg. δουλεύοντες. Pro seq. ἐπὶ τ. ξ. mavult H. Steph. ἐπὶ τὴν ξένην. R. retinet lectionem, subaudiendo δουλεύσοντες, servituri aut ibi, i. e. domi, in Attica, aut in solo peregrino. Idem vocem πιπρασκόμενοι mallet abesse, aut legendum censet πεπραμένοι.

7 In vulg. post h. præp. legitur τὴν, quod R. expunxit, secundum Junt. & Ald.

καὶ γῆν ἀναδάσασθαι, καὶ ὅλως μεταστῆσαι τὴν πολιτείαν.

XIV. Ἐνταῦθα δὴ τῶν Ἀθηναίων οἱ φρονιμώτατοι, συνορῶντες τὸν Σόλωνα μόνον μάλιστα τῶν ἁμαρτημάτων ἐκτὸς ὄντα, καὶ μήτε τοῖς πλουσίοις κοινωνοῦντα τῆς ἀδικίας, μήτε ταῖς τῶν πενήτων ἀνάγκαις ἐνεχόμενον, ἐδέοντο τοῖς κοινοῖς προσελθεῖν, καὶ καταπαῦσαι τὰς διαφοράς. καίτοι Φανίας ὁ Λέσβιος αὐτὸν ἱστορεῖ τὸν Σόλωνα χρησάμενον ἀπάτῃ πρὸς ἀμφοτέρους ἐπὶ σωτηρίᾳ τῆς πόλεως, ὑποσχέσθαι κρύφα τοῖς μὲν ἀπόροις τὴν νέμησιν, τοῖς δὲ χρηματικοῖς βεβαίωσιν τῶν συμβολαίων. ἀλλ᾽ αὐτὸς ὁ Σόλων, ὀκνῶν, φησὶ, τὸ πρῶτον [1] ἅψασθαι τῆς πολιτείας, καὶ δεδοικὼς τῶν μὲν τὴν φιλοχρηματίαν, τῶν δὲ τὴν ὑπερηφανίαν. ἡρέθη δ᾽ ἄρχων μετὰ Φιλόμβροτον ὁμοῦ καὶ διαλλακτὴς καὶ νομοθέτης· δεξαμένων προθύμως αὐτὸν, ὡς μὲν εὔπορον, τῶν πλουσίων, ὡς δὲ χρηστὸν, τῶν πενήτων. λέγεται δὲ [2] φωνή τις αὐτοῦ, περιφερομένη πρότερον, εἰπόντος, ὡς τὸ ἴσον πόλεμον οὐ ποιεῖ, καὶ τοῖς κτηματικοῖς ἀρέσκει [3] καὶ τοῖς ἀκτήμοσι, τῶν μὲν ἀξίᾳ καὶ ἀρετῇ, τῶν δὲ μέτρῳ καὶ ἀριθμῷ τὸ ἴσον ἕξειν προσδοκώντων· ὅθεν ἐπ᾽ ἐλπίδος ἑκατέρων μεγάλης γενομένων [4], οἱ προϊστάμενοι προσέκειντο τῷ Σόλωνι, τυραννίδα προξενοῦντες, καὶ ἀναπείθοντες εὐτολμότερον ἅψασθαι τῆς πόλεως ἐγκρατῆ γενόμενον. πολλοὶ δὲ καὶ τῶν διὰ μέσου πολιτῶν τὴν ὑπὸ λόγου καὶ νόμου μεταβολὴν ὁρῶντες ἐργώδη καὶ χαλεπὴν οὖσαν, οὐκ ἔφυγον ἕνα τὸν δικαιότατον καὶ φρονιμώτατον ἐπιστῆσαι τοῖς πρά-



1 Ita repositum secundum omnes B. & Junt. pro vulg. τὸ πρῶτος.

2 abest a Junt. & Ald.

3 Ita R. dedit ἀρέσκειν.

4 V. γενομένης μεγάλης ἑκατέρων γενομένων.

πράγμασιν. ἔνιοι δέ φασι καὶ μαντείαν γενέσθαι τῷ Σόλωνι Πυθοῖ τοιαύτην·

Ἧσο μέσην κατὰ νῆα κυβερνητήριον ἔργον
Εὐθύνων· πολλοί τοι Ἀθηναίων ἐπίκουροι.

μάλιςα δ' οἱ συνήθεις ἐκάκιζον, εἰ διὰ τοὔνομα δυσωπεῖται τὴν μοναρχίαν, ὥσπερ οὐκ ἀρετῇ τοῦ λαβόντος εὐθὺς ἂν βασιλείαν γενομένην [1]. καὶ γεγενημένην πρότερον μὲν Εὐβοεῦσι Τυννώνδαν, νῦν δὲ Μιτυληναίοις Πιττακὸν ᾑρημένοις τύραννον. τούτων δ' οὐδὲν [2] ἐξέκρουσε τὸν Σόλωνα τῆς αὐτοῦ προαιρέσεως, ἀλλὰ πρὸς μὲν τοὺς φίλους εἶπεν, ὡς λέγεται, καλὸν μὲν εἶναι τὴν τυραννίδα χωρίον, οὐκ ἔχειν δ' ἀπόβασιν. πρὸς δὲ Φῶκον ἐν τοῖς ποιήμασι γράφων [3].

εἰ δὲ γῆς (φησὶν) ἐφεισάμην
Πατρίδος, (τυραννίδος γὰρ καὶ βίης ἀμειλίχου
Οὐ καθηψάμην,) μιᾶναι καὶ καταισχῦναι κλέος [4],
Οὐδὲν αἰδοῦμαι. πλέον γὰρ ὧδε νικήσειν δοκέω
Πάντας ἀνθρώπους.

ὅθεν εὔδηλον, ὅτι καὶ πρὸ τῆς νομοθεσίας μεγάλην δόξαν εἶχεν. ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα πολλοὶ καταγελῶντες ἔλεγον, γέγραφεν οὕτως·

Οὐκ ἔφυ [5] Σόλων βαθύφρων, οὐδὲ βουλήεις ἀνήρ·
Ἐσθλὰ γὰρ θεοῦ διδόντος, αὐτὸς οὐκ ἐδέξατο.
Περιβαλὼν δ' ἄγραν, ἀγασθεὶς οὐκ ἔσπασε [6] μέγα δίκτυον,
Θυμοῦ

1 Br. voluit γενησομένην. At, ut R. obſervat, ἂν additum aoriſto ſec. induit vim futuri.

2 Particulam δὲ addidit R. de ſuo.

3 B. 1. 2. add. φησὶν, quod in ſeq. l. deeſt B. 1.

4 Horum verſuum lectionem, in textu receptam, debemus Reiskianæ emendationi, Juntinam maxime ſequenti. In vulg. ita extant: Εἰ δὲ γῆς (φησὶν) ἐφεισάμην πατρίδος, Τυραννίδος δὲ καὶ βίης ἀμειλίχου, Οὐ καθηψάμην, μιάνας καὶ καταισχύνας κλέος, Οὐδὲν αἰδοῦμαι &c.

5 Ita dedit Xyl. pro ἔφη.

6 R. mavult ἀτυθεὶς, mente perturbatus, conſternatus, ab ἀτύζειν, vel ἀταθεὶς ab ἀτᾶν, ictus, percitus mente. Pro ſeq. ἔσπα-

Θυμῦ δ' ἁμαρτὼν [1], καὶ φρενῶν ἀποσφαλείς.
Ἤθελε γάρ κεν κρατήσας πλῦτον ἄφθονον λαβὼν
Καὶ τυραννεύσας Ἀθηνῶν μῦνον ἡμέραν μίαν,
Αὐτὸς ὕστερον δεδάρθαι καὶ ἐπιτετρίφθαι γένος.

XV. Ταῦτα τὺς πολλὺς καὶ φαύλυς περὶ αὐτῦ πεποίηκε λέγοντας. ὐ μὴν ἀπωσάμενός γε τὴν τυραννίδα, τὸν πρᾳότατον ἐχρήσατο τρόπον τοῖς πράγμασιν, ὐδὲ μαλακῶς, ὐδ' ὑπείκων τοῖς δυναμένοις, ὐδὲ πρὸς ἡδονὴν τῶν ἑλομένων ἔθετο τὺς νόμυς· ἀλλ' ᾗ μὲν ἄριστον [2] ἦν, ὐκ ἐπήγαγεν ἰατρείαν, ὐδὲ καινοτομίαν,

O 4 φοβη-

ίσπασε V. ἔπαυσε, quod & Junt. dat & B. 3. — vel ὑπέσπασε; Anon. ἀνέσπασε; B. 1. 2. ἔχασε. R. fusp. ἐπῆρε, non rurfum extulit rete. Br. cum Xyl. legendum cenfuit ὐκ ἀνέσπασεν μέγα, & verfum feq. a δίκτυον ordiendum. R. autem μέγα prorfus omittendum putat, ut officiens metro.

1 Omn. B. ἁμαρτῇ, quod verum putat Br.— R. ita legit & explicat: θυμῦ δ' ὐχ ὅλως ἁμαρτὼν — Ἤθελεν ἂν ῥᾷστα κρατήσας: mente autem fi non prorfus cœcutiffet, neque a recta ratione aberraffet, nullus dubitaffet, victoria facillima potitus opibusque ampliffimis, atque tyrannide gavifus apud Athenienfes, vel breviffima & in unum modo diem, & ipfe excoriari, & prolem omnem fuam habere funditus eradicatam. — Addit tamen R. poffe quoque fic legi: Θυμῦ δ' ἄλλος ὐχ ἁμαρτὼν: alius aliquis, homo non plane demens, nil interceffiffet, quo minus vel excoriaretur &c. In καὶ φρενῶν tacite e præmiffo repetendum ὐ, aut legendum κὐ ex hac R. mente. In v. feq. pro ἤθελε voluit Xyl. ἤθελον, ad alium, de fe, non de Solone loquentem, hæc verba referens. Si de Solone accipias, metri caufa vult Br. ἤθελεν. Pro λαβὼν Auratus & Anon. λαβεῖν. In v. 3. Br. præfert cum B. omnibus τυραννίσας pro τυραννεύσας. Num hoc, an τυραννήσας fit legendum, R. in medio relinquit. In v. 4. αὐτὸς repofuit R. e Junt. B. 1. 2. 3. pro vulg. ἀσκὸς, quod vitiofe invexit Mufurus. Pro καὶ ἐπιτετρ. vult Xyl. Br. & dat Anon. κἀπιτετρίφθαι.

2 Br. placuit conjectura Anonymi ἀνεκτὸν, quicquid tolerari poterat. Aliter fentit R. ἄριστον bene fe habere dicens, & ita rem explicans: medicinam omnium maxime neceffariam, quia

φοβηθεὶς, μὴ συγχέας παντάπασι καὶ ταράξας τὴν πόλιν, ἀσθενέστερος γένηται τοῦ καταστῆσαι πάλιν καὶ συναρμόσασθαι πρὸς τὸ ἄριστον. ἃ δὲ καὶ λέγων ἤλπιζε πειθομένοις, καὶ προσάγων ἀνάγκην ὑπομένουσι χρήσασθαι, ταῦτ' ἔπραττεν, ὥς φησιν αὐτὸς, ὁμοῦ βίην τε καὶ δίκην συναρμόσας. ὅθεν ὕστερον ἐρωτηθεὶς, εἰ τοὺς ἀρίστους Ἀθηναίοις νόμους ἔγραψεν· Ὧν ἄν, ἔφη, προσεδέξαντο τοὺς ἀρίστους. ἃ δ' οὖν οἱ νεώτεροι τοὺς Ἀθηναίους λέγουσι τὰς τῶν πραγμάτων δυσχερείας ὀνόμασι χρηστοῖς καὶ φιλανθρώποις ἐπικαλύπτοντας ἀστείως ὑποκορίζεσθαι, τὰς μὲν πόρνας, ἑταίρας, τοὺς δὲ φόρους, συντάξεις, φυλακὰς δὲ τὰς φρουρὰς τῶν πόλεων, οἴκημα δὲ τὸ δεσμωτήριον καλοῦντας, πρώτου [1] Σόλωνος ἦν, ὡς ἔοικε, σόφισμα, τὴν τῶν χρεῶν ἀποκοπὴν σεισάχθειαν ὀνομάσαντος. τοῦτο γὰρ ἐποιήσατο πρῶτον πολίτευμα, γράψας τὰ μὲν ὑπάρχοντα τῶν χρεῶν ἀνεῖσθαι, πρὸς δὲ τὸ λοιπὸν ἐπὶ τοῖς σώμασι μηδένα δανείζειν. καίτοι τινὲς ἔγραψαν, ὧν ἐστιν Ἀνδροτίων, οὐκ ἀποκοπῇ χρεῶν, ἀλλὰ τόκων μετριότητι κουφισθέντας ἀγαπῆσαι τοὺς πένητας, καὶ σεισάχθειαν ὀνομάσαι τὸ φιλανθρώπευμα τοῦτο, καὶ τὴν ἅμα τούτῳ γενομένην τῶν τε μέτρων ἐπαύξησιν, καὶ τοῦ νομίσματος ἐς τιμήν. ἑκατὸν γὰρ

quia prævidebat Athenienſes aſpernaturos, ideo ne auſus quidem fuit tentare. Hinc in ſeq. l. poſt καινοτομίαν ipſi videtur deeſſe ἀπεκινδύνευσε, aut tale quid. Mihi quidem textus hujus periodi, non obſtante ingenioſa R. explicatione, corruptus, aut ſaltim vox ἄριστον maxime ſuſpecta videtur, præſertim cum eadem, alia prorſus relatione, in fine periodi repetatur, & ſequentia vix & non niſi duriſſime cum præcedentibus connecti poſſint. Pro ἐπήγ. V. ἐπανήγαγεν. Verſio autem Schirachi; Da verbeſſerte er nichts, und machte kein neues Geſez, damit nicht *die Stadt*, wenn er ihre Verfaſſung gänzlich umgöſſe, *zu ſchwach würde, ſich* zu einer vollkommnen Harmonie zu bilden, — multum ſane diſcrepat a textu.

1 Ita B. 1. 2. 3. Junt. Ald. — Vulgo πρῶτον legitur.

γὰρ ἐποίησε δραχμῶν τὴν μνᾶν, πρότερον ἑβδομήκοντα καὶ τριῶν οὖσαν· ὥςτ' ἀριθμῷ μὲν ἴσον, δυνάμει δ' ἔλαττον ἀποδιδόντων, ὠφελεῖσθαι μὲν τοὺς ἐκτίνοντας μεγάλα, μηδὲν δὲ βλάπτεσθαι τοὺς κομιζομένους. οἱ δὲ πλεῖστοι πάντων ὁμοῦ φασὶ τῶν συμβολαίων ἀναίρεσιν γενέσθαι τὴν σεισάχθειαν, καὶ τούτοις συνᾴδει [1] μᾶλλον τὰ ποιήματα. σεμνύνεται γὰρ Σόλων ἐν τούτοις, ὅτι τῆς τε προϋποκειμένης γῆς Ὅρους ἀνεῖλε πανταχῇ [2] πεπηγότας, Πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα· καὶ τῶν ἀγωγίμων πρὸς ἀργύριον γεγονότων πολιτῶν, τοὺς μὲν ἀπήγαγεν [3] ἀπὸ ξένης, γλῶσσαν οὐκ Ἀττικὴν ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους, τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλοσύνην ἀεικέα ἔχοντας, ἐλευθέρους φησὶ ποιῆσαι. πρᾶγμα δ' αὐτῷ συμπεσεῖν [4] λέγεται πάντων ἀνιαρώτατον ἀπὸ τῆς πράξεως ἐκείνης. ὡς γὰρ ὥρμησεν ἀνιέναι τὰ χρέα, καὶ λόγους ἁρμόττοντας ἐζήτει καὶ πρέπουσαν ἀρχὴν, ἐκοινώσατο τῶν φίλων, οἷς μάλιστα πιστεύων καὶ χρώμενος ἐτύγχανε, τοῖς περὶ Κόνωνα καὶ Κλεινίαν καὶ Ἱππόνικον· ὅτι γῆν μὲν οὐ μέλλει κινεῖν, χρεῶν δὲ ποιεῖν ἀποκοπὰς ἔγνωκεν. οἱ δὲ, προλαβόντες εὐθὺς καὶ φθάσαντες, ἐδανείσαντο συχνὸν ἀργύριον παρὰ τῶν πλουσίων, καὶ μεγάλας συνεωνήσαντο χώρας. εἶτα τοῦ δόγματος ἐξενεχθέντος, τὰ μὲν κτήματα καρπούμενοι, τὰ δὲ χρήματα τοῖς δανείσασιν οὐκ ἀποδιδόντες, εἰς αἰτίαν τὸν Σόλωνα μεγάλην καὶ διαβολὴν, ὥσπερ οὐ συναδικούμενον, ἀλλὰ συναδικοῦντα, κατέστησαν. ἀλλὰ τοῦτο μὲν εὐθὺς ἐλύθη τὸ ἔγκλημα τοῖς πέντε ταλάντοις· τοσαῦτα γὰρ εὑρέθη δανείζων, καὶ ταῦτα πρῶτος ἀφῆκε κατὰ τὸν νόμον. ἔνιοι δὲ πεντεκαίδεκα



1 Ita correxit Br. pro vulg. συνᾴδειν.

2 Ita B. 1. 2. 3. Junt. Ald. — Antea legebatur παλλαχῇ; uti in iisdem δουλεύουσα, ἐλευθέρα, in al. δουλεύουσαν, ἐλευθέραν.

3 Teste H. Steph. quidam ἐπανήγαγεν.

4 B. 1. 2. 3. Junt. Ald. ἐμπεσεῖν.

λέγουσιν, ὧν καὶ Πολύζηλος ὁ Ῥόδιός ἐστι. τοὺς μέντοι φίλους αὐτοῦ χρεωκοπίδας καλοῦντες διετέλεσαν.

XVI. Ἤρεσε δ' οὐδετέροις, ἀλλ' ἐλύπησε καὶ τοὺς πλουσίους ἀνελὼν τὰ συμβόλαια, καὶ μᾶλλον ἔτι τοὺς πένητας, ὅτι γῆς ἀναδασμὸν οὐκ ἐποίησεν ἐλπίσασιν αὐτοῖς, οὐδὲ παντάπασιν, ὥσπερ ὁ Λυκοῦργος, ὁμαλοὺς τοῖς βίοις καὶ ἴσους κατέστησεν. ἀλλ' ἐκεῖνος μὲν ἑνδέκατος ὢν ἀφ' Ἡρακλέους, καὶ βεβασιλευκὼς ἔτη πολλὰ τῆς Λακεδαίμονος, ἀξίωμα μέγα καὶ φίλους καὶ δύναμιν οἷς ἔγνω καλῶς περὶ τῆς πολιτείας, ὑπηρετοῦσαν εἶχε [1], καὶ βίᾳ μᾶλλον, ἢ πειθοῖ, χρησάμενος, ὥστε καὶ τὸν ὀφθαλμὸν ἐκκοπῆναι, κατειργάσατο τὸ μέγιστον εἰς σωτηρίαν πόλεως καὶ ὁμόνοιαν, μηδένα πένητα μηδὲ πλούσιον εἶναι τῶν πολιτῶν· Σόλων δὲ τούτου μὲν οὐκ ἐφίκετο [2] τῇ πολιτείᾳ, δημοτικὸς ὢν καὶ μέσος, ἐνδεέστερον δὲ τῆς ὑπαρχούσης δυνάμεως οὐδὲν ἔπραξεν, ὁρμώμενος ἐκ μόνου τοῦ βουλεύεσθαι [3], καὶ πιστεύειν αὐτῷ τοὺς πολίτας. ὅτι δ' οὖν προσέκρουσε τοῖς πλείστοις ἕτερα [4] προσδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, ὡς

Χαῦνα [5] μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
Λοξὸν ὀφθαλμοῖς ὁρῶσι πάντες ὥστε δήϊοι [6].

καὶ

1 Br. susp. συνυπηρετοῦσαν, & R. mavult ἔχων.

2 V. ἐφίετο.

3 Legitur & βούλεσθαι, teste H. Steph. — & ita V. & Lapus.

4 Ex adjecto δὲ in ed. Flor. susp. Br. δή.

5 Ita reposuit H. Steph. secundum Junt. pro lectione Aldinæ χάρμα.

6 Ita dedit R. pro vulg. δήϊον — tuentur torvum, velut hostes. λοξὸν æquipollet adverbio λοξῶς. Subaudiendum πρός με, quasi dixisset: ὁρῶσι πρὸς ἐμὲ λοξόν τι, καθάπερ οἱ πολέμιοι λοξὰ ὁρῶσι πρὸς τοὺς πολεμίους.

καίτοι φησὶν· ὡς εἴ τις ἄλλος ἔχε τὴν αὐτὴν δύναμιν,

Οὔτ' ἂν κατέχε δῆμον [1], ἔτ' ἐπαύσατο,

Πρὶν ἂν ταράξας, πῖον ἐξέλῃ γάλα.

ταχὺ μέντοι τῦ συμφέροντος αἰσθόμενοι, καὶ τὰς ἰδίας αὐτῶν μέμψεις ἀφέντες, ἔθυσάν τε κοινῇ, Σεισάχθειαν τὴν θυσίαν [2] ὀνομάσαντες, καὶ τὸν Σόλωνα τῆς πολιτείας διορθωτὴν καὶ νομοθέτην ἀπέδειξαν. ἐ τὰ μὲν, τὰ δ' ἐχὶ, πάντα δ' ὁμαλῶς ἐπιτρέψαντες, ἀρχὰς, ἐκκλησίας, δικαστήρια, βελάς· καὶ τίμημα τέτων ἑκάστε, καὶ ἀριθμὸν καὶ καιρὸν ὁρίσαντα, λύοντα καὶ φυλάττοντα τῶν ὑπαρχόντων καὶ καθεστώτων ὅ τι δοκοίη.

XVII. Πρῶτον μὲν ἒν τὲς Δράκοντος νόμες ἀνεῖλε πλὴν τῶν φονικῶν ἅπαντας, διὰ τὴν χαλεπότητα καὶ τὸ μέγεθος τῶν ἐπιτιμίων. μία γὰρ ὀλίγε δεῖν ἅπασιν ὥριστο τοῖς ἁμαρτάνεσι ζημία, θάνατος· ὥστε καὶ τὲς ἀργίας [3] ἁλόντας ἀποθνήσκειν, καὶ τὲς λάχανα κλέψαντας ἢ ὀπώραν, ὁμοίως κολάζεσθαι τοῖς ἱεροσύλοις καὶ ἀνδροφόνοις. διὸ Δημάδης ὕστερον εὐδοκίμησεν, εἰπὼν, ὅτι δι' αἵματος, ἐ διὰ μέλανος, τὲς νόμες ὁ Δράκων ἔγραψεν. αὐτὸς δ' ἐκεῖνος, ὥς φασιν, ἐρωτώμενος, διὰ τί τοῖς πλείστοις ἀδικήμασι ζημίαν ἔταξε θάνατον, ἀπεκρίνατο, τὰ μὲν μικρὰ ταύτης ἄξια νομίζειν, τοῖς δὲ μεγάλοις ἐκ ἔχειν μείζονα.

XVIII. Δεύτερον δὲ Σόλων τὰς μὲν ἀρχὰς ἁπάσας, ὥσπερ ἦσαν τοῖς εὐπόροις ἀπολιπεῖν βελόμενος, τὴν δ' ἄλλην μῖξαι πολιτείαν, ἧς [4] ὁ δῆμος ἐ μετεῖχεν,

1 R. mavult θυμὸν; & in lin. seq. dedit idem πῖον, neutr. a πίων, pinguis, pro vulg. πῖαρ, quod ex Ald. promanavit.

2 Ex differentia, quæ est inter Ald. Junt. & vulg. lect. colligit R. Plutarchum dedisse σεισάχθειαν καὶ αὐτὴν ταύτην τὴν θυσίαν.

3 V. ἀργίας.

4 B. 1. οἷς.

χεν, ἔλαβε τὰ τιμήματα τῶν πολιτῶν, καὶ τὰς μὲν ἐν ξηροῖς ὁμᾶ καὶ ὑγροῖς μέτρα πεντακόσια ποιᾶντας, πρώτας ἔταξε, καὶ Πεντακοσιομεδίμνας προσηγόρευε· δευτέρας δὲ τὰς ἵππον τρέφειν δυναμένας, ἢ μέτρα ποιεῖν τριακόσια [1]· καὶ τάτας ἱππάδα τελᾶντας ἐκάλαν· Ζευγῖται δ' οἱ τᾶ τρίτα τιμήματος ὠνομάσθησαν, οἷς μέτρον ἦν συναμφοτέρων τριακοσίων [2]. οἱ δὲ λοιποὶ πάντες ἐκαλᾶντο Θῆτες, οἷς ἀδεμίαν ἀρχὴν ἔδωκεν ἄρχειν, ἀλλὰ τῷ συνεκκλησιάζειν [3] καὶ δικάζειν μόνον μετεῖχον τῆς πολιτείας. ὃ κατ' ἀρχὰς μὲν ἀδὲν, ὕστερον δὲ παμμέγεθες ἐφάνη· τὰ γὰρ πλεῖστα τῶν διαφορῶν ἐνέπιπτεν εἰς τὰς δικαστάς. καὶ γὰρ ὅσα ταῖς ἀρχαῖς ἔταξε κρίνειν, ὁμοίως καὶ περὶ ἐκείνων εἰς τὸ δικαστήριον ἐφέσεις ἔδωκε τοῖς βαλομένοις. λέγεται δὲ καὶ τὰς νόμας ἀσαφέστερον γράψας, καὶ πολλὰς ἀντιλήψεις ἔχοντας, αὐξῆσαι τὴν τῶν δικαστηρίων ἰσχύν [4]. μὴ δυναμένας γὰρ ὑπὸ τῶν νόμων διαλυθῆναι περὶ ὧν διεφέροντο, συνέβαινεν ἀεὶ δεῖσθαι δικαστῶν, καὶ πᾶν ἄγειν ἀμφισβήτημα πρὸς ἐκείνας, τῶν νόμων τρόπον τινὰ κυριεύσοντας [5]. ἐπισημαίνεται δ' αὐτὸς αὑτῷ τὴν ἐξίσωσιν [6] ἅτως·

Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος, ὅσσον ἐπαρκεῖ [7],
Τιμῆς ἅτ' ἀφελὼν, ἅτ' ἐπορεξάμενος.

Οἳ

1 R. mavult τετρακόσια; & in seq. fufp. ita legendum: τάτας ἱππεῖς, ὡς εἰς ἱππάδα τελᾶντας, ἐκάλαν; hos appellabant equites, ut ordini equeftri accenfos.

2 V. διακοσίων, quod legi voluit H. Steph.

3 B. 1. 2. ἐκκλησιάζειν

4 Legi etiam ἀρχὴν, teftatur H. Steph. — & ita V.

5 Ita dant omnes B. Flor. & Ald. pro vulg. κυριεύοντας; Anon. κυρίας ὄντας.

6 Aliam lectionem ἀξίωσιν præfert Steph. referendo ad κυρίας ὄντας. Br autem & Dacerius lectionem receptam defendunt, referendo ad omnia præcedentia.

7 Br. fufp. ἐπαρκεῖν.

Οἳ δ' εἶχον δύναμιν, καὶ χρήμασιν ἦσαν ἀγητοὶ,
Καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν [1].
Ἔςην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι·
Νικᾷν δ' ἐκ εἴασ' ἐδετέρες ἀδίκως.

Ἔτι μέντοι μᾶλλον οἰόμενος δεῖν ἐπαρκεῖν τῇ τῶν πολλῶν ἀσθενείᾳ, παντὶ λαβεῖν δίκην [2] ὑπὲρ τε κακῶς πεπονθότος ἔδωκε. καὶ γὰρ πληγέντος ἑτέρε, καὶ βλαβέντος [3], καὶ βιασθέντος, ἐξῆν τῷ δυναμένῳ καὶ βελομένῳ γράφεσθαι τὸν ἀδικεντα καὶ διώκειν· ὀρθῶς ἐθίζοντος τε νομοθέτε τὲς πολίτας, ὥσπερ ἑνὸς μέρες [4], συναισθάνεσθαι καὶ συναλγεῖν ἀλλήλοις. τέτῳ δὲ τῷ νόμῳ συμφωνεντα λόγον αὐτε διαμνημονεύεσιν. ἐρωτηθεὶς γὰρ, ὡς ἔοικεν, ἥτις οἰκεῖται κάλλιςα τῶν πόλεων· Ἐκείνη, εἶπεν, ἐν ᾗ τῶν ἀδικεμένων ἐχ ἧττον οἱ μὴ ἀδικέμενοι προβάλλονται καὶ κολάζεσι τὲς ἀδικεντας.

XIX. Συςησάμενος δὲ τὴν ἐν Ἀρείῳ πάγῳ βελὴν ἐκ τῶν κατ' ἐνιαυτὸν ἀρχόντων, ἧς διὰ τὸ ἄρξαι καὶ αὐτὸς μετεῖχεν, ἔτι δ' ὁρῶν τὸν δῆμον οἰδεντα καὶ θρασυνόμενον τῇ τῶν χρεῶν ἀφέσει, δευτέραν προσκατένειμε βελὴν, ἀπὸ φυλῆς ἑκάςης, τετλάρων ἐσῶν, ἑκατὸν ἄνδρας ἐπιλεξάμενος, ἐς προβελεύειν ἔταξε τε δήμε, καὶ μηδὲν ἐᾷν ἀπροβέλευτον εἰς ἐκκλησίαν εἰσφέρεσθαι. τὴν δ' ἄνω βελὴν, ἐπίσκοπον πάντων καὶ φύλακα

1 Si ἀεικὲς pro ἀεικῶς & ἔχειν pro εἶναι usurpatum est, tunc bene habere τοῖς, dicit R. — Sin autem ἔχειν solito modo *habere* significat, & ἀεικὲς adjectivum est, *insuave*, *molestum*, tunc legendum esse censet τὲς. Pro μηδὲν dat V. ἐδὲν.

2 Salmasium correxisse, λαχεῖν δίκην, annotat Br. quam vero lectionem ab h. l. alienissimam esse, & cum sententia Plutarchi pugnare, demonstrat R.

3 Legi etiam βιασθέντος ἢ βλαβέντος, testatur H. Steph.

4 Anon. ἑνὸς σώματος μέρη. Aliam lectionem conjicit R. ὥσπερ ἑνὸς μέρες (v. μέλες) ἀλγεντος τὸ πᾶν (v. τὸ ὅλον) σῶμα συναισθάνεσθαι.

λακα [1] τῶν νόμων ἐκάθισεν. οἰόμενος ἐπὶ δυσὶ βελαῖς, ὥσπερ ἀγκύραις ὁρμᾶσαν, ἧττον ἐν σάλῳ τὴν πόλιν ἔσεσθαι, καὶ μᾶλλον ἀτρεμᾶντα τὸν δῆμον παρέξειν. οἱ μὲν ἂν πλεῖςοι τὴν ἐξ Ἀρείε πάγε βελὴν, ὥσπερ εἴρηται, Σόλωνα συςήσασθαι Φασὶ, καὶ μαρτυρεῖν αὐτοῖς μάλιςα δοκεῖ τὸ μηδαμᾶ τὸν Δράκοντα λέγειν, μηδ' ὀνομάζειν Ἀρειοπαγίτας, ἀλλὰ τοῖς Ἐφέταις ἀεὶ διαλέγεσθαι περὶ τῶν Φονικῶν. ὁ δὲ τρισκαιδέκατος ἄξων τε Σόλωνος τὸν ὄγδοον ἔχει [τὸν] νόμον [2] ἔτως αὐτοῖς ὀνόμασι γεγραμμένον· Ἀτίμων ὅσοι ἄτιμοι ἦσαν, πρὶν ἢ Σόλωνα ἄρξαι, ἐπιτίμες εἶναι, πλὴν ὅσοι ἐξ Ἀρείε πάγε, ἢ ὅσοι ἐκ τῶν Ἐφετῶν, ἢ ἐκ Πρυτανείε καταδικασθέντες ὑπὸ τῶν βασιλέων [3] ἐπὶ Φόνῳ, ἢ σφαγαῖσιν, ἢ ἐπὶ τυραννίδι ἔφυγον, ὅτε θεσμὸς ἐφάνη ὅδε. ταῦτα δὴ πάλιν ὡς πρὸ τῆς Σόλωνος ἀρχῆς καὶ νομοθεσίας τὴν ἐξ Ἀρείε πάγε βελὴν ἔσαν ἐνδείκνυται. τίνες γὰρ ἦσαν [4] οἱ πρὸ Σόλωνος ἐν Ἀρείῳ πάγῳ καταδικασθέντες, εἰ πρῶτος Σόλων ἔδωκε τῇ ἐξ Ἀρείε πάγε βελῇ τὸ κρίνειν; εἰ μὴ νὴ Δία γέγονέ τις ἀσάφεια τε γράμματος, ἢ ἔκλειψις, ὥςε τὲς ἡλωκότας ἐπ' αἰτίαις, ἃς κρίνεσιν [5] οἱ Ἀρεοπαγῖται καὶ Ἐφέται, καὶ Πρυτάνεις, ὅτε ὁ θεσμὸς ἐφάνη ὅδε, μένειν ἀτίμες, τῶν ἄλλων ἐπιτίμων γενομένων. ταῦτα μὲν ἂν καὶ αὐτὸς ἐπισκόπει [6].

XX.

1 Ex lectione Junt. & Ald. φυλακὴν an effici oporteat, φύλακα εἶναι, dubitat R.

2 H. Steph. τὸν (uncis jam inclusum) delendum censuit, aut legendum τῶν νόμων, quod dant omnes B.

3 R. legi vult: ἢ τε βασιλέως, aut a rege sacrorum condemnati.

4 R. susp. ἦσαν ἂν — quamquam ἂν sæpe omittatur.

5 R. aut legendum censet ἔκρινον, aut addendum: καὶ τότε ἔκρινον.

6 Ita Anon. Flor. Ald. — Vulg. ἐπισκόπει. — R. mavult: ταυ. μ. ἂν ἕκαςος αὐτὸς ἐπισκοπείτω.

XX. Τῶν δ' ἄλλων αὐτȣ͂ νόμων, ἴδιος μὲν μάλιϛα καὶ παράδοξος ὁ κελεύων ἄτιμον εἶναι τὸν ἐν ϛάσει μηδετέρας μερίδος γενόμενον. βȣ́λεται δ' ὡς ἔοικε, μὴ ἀπαθῶς, μηδ' ἀναισθήτως ἔχειν πρὸς τὸ κοινὸν, ἐν ἀσφαλεῖ θέμενον τὰ οἰκεῖα, καὶ τῷ μὴ συναλγεῖν, μηδὲ συννοσεῖν τῇ πατρίδι καλλωπιζόμενον· ἀλλ' αὐτόθεν τοῖς τὰ βελτίω καὶ δικαιότερα πράττȣσι προσθέμενον, συγκινδυνεύειν καὶ βοηθεῖν μᾶλλον, ἢ περιμένειν ἀκινδύνως τὰ τῶν κρατȣ́ντων. ἄτοπος δὲ καὶ γελοῖος δοκεῖ ὁ τῇ ἐπικλήρῳ διδȣ̀ς, ἂν ὁ κρατῶν καὶ κύριος γεγονὼς κατὰ τὸν νόμον, αὐτὸς μὴ δυνατὸς ᾖ πλησιάζειν, ὑπὸ τῶν ἔγγιϛα τȣ͂ ἀνδρὸς ὀπυίεσθαι. καὶ τȣ͂το δ' ὀρθῶς ἔχειν τινές φασι πρὸς τȣ̀ς μὴ δυναμένȣς συνεῖναι, χρημάτων δ' ἕνεκα λαμβάνοντας ἐπικλήρȣς, καὶ τῷ νόμῳ καταβιαζομένȣς τὴν φύσιν. ὁρῶντες γὰρ, ᾧ βȣ́λεται, τὴν ἐπίκληρον συνȣ͂σαν, ἢ προήσονται τὸν γάμον, ἢ μετ' αἰχύνης καθέξȣσι, φιλοπλȣτίας καὶ ὕβρεως δίκην διδόντες. εὖ δ' ἔχει καὶ τὸ, μὴ πᾶσιν, ἀλλὰ τῶν συγγενῶν τȣ͂ ἀνδρὸς, ᾧ βȣ́λεται, διαλέγεσθαι τὴν ἐπίκληρον, ὅπως οἰκεῖον ᾖ καὶ μετέχον τȣ͂ γένȣς τὸ τικτόμενον. εἰς τȣ͂το δὲ συντελεῖ καὶ τὸ τὴν νύμφην τῷ νυμφίῳ συγκαθείργνυσθαι μήλȣ κυδωνίȣ συγκατατραγȣ͂σαν, καὶ τὸ τρὶς ἑκάϛȣ μηνὸς ἐντυγχάνειν πάντως τῇ ἐπικλήρῳ τὸν λαβόντα. καὶ γὰρ εἰ μὴ γίγνοιντο παῖδες, ἀλλὰ τιμή τις ἀνδρὸς αὕτη πρὸς σώφρονα γυναῖκα καὶ φιλοφροσύνη, πολλὰ τῶν συλλεγομένων ἑκάϛοτε δυσχερῶν ἀφαιρȣ͂σα, καὶ ταῖς διαφοραῖς ȣ̓κ ἐῶσα παντάπασιν ἀποϛραφῆναι. τῶν δ' ἄλλων γάμων ἀφεῖλε τὰς φερνὰς, ἱμάτια τρία, καὶ σκεύη μικρȣ͂ νομίσματος [2] ἄξια κελεύσας, ἕτερον δὲ μηδὲν, ἐπιφέρεσθαι τὴν γαμȣμένην. ȣ̓ γὰρ ἐβȣ́λετο μισθοφόρον, ȣ̓δ' ὤνιον εἶναι τὸν γάμον, ἀλλ' ἐπὶ τεκνώσει καὶ χάριτι

καὶ

1 Ita dat Anon. — Vulgo συνιέναι.
2 In al. teste Steph. τιμήματος.

καὶ φιλότητι γενέϑαι τὸν ἀνδρὸς καὶ γυναικὸς συνοικισμόν. ὁ μὲν γὰρ Διονύσιος, ἀξιώσης τῆς μητρὸς αὐτῦ δοϑῆναί τινι τῶν πολιτῶν πρὸς γάμον, ἔφη, τὺς μὲν τῆς πόλεως νόμυς λελυκέναι τυραννῶν, τὺς δὲ τῆς φύσεως ὐκ εἶναι δυνατὸς βιάζεϑαι, γάμυς νυμφαγωγῶν παρ' ἡλικίαν. ἐν δὲ ταῖς πόλεσι τὴν ἀταξίαν ταύτην ὐ δοτέον [1], ὐδὲ περιοπ]έον ἀώρυς καὶ ἀχαρίτυς ἐπιπλοκάς, καὶ μηδὲν ἔργον γαμήλιον ἐχύσας, μηδὲ τέλος. ἀλλὰ γέροντι νέαν ἀγομένῳ φαίη τις ἂν ἐμμελὴς ἄρχων, ἢ νομοϑέτης, τὸ πρὸς τὸν Φιλοκ]ήτην·

— εὖ γ' ὖν ὡς γαμεῖν ἔχεις τάλας.

καὶ νέον ἐν δωματίῳ πλυσίας πρεσβύτιδος, ὥσπερ οἱ πέρδικες, ἀπὸ συνυσίας [2] παχυνόμενον ἐξανευρῶν, μετοικίσει [3] πρὸς παρϑένον νύμφην ἀνδρὸς δεομένην. ταῦτα [4] μὲν ὖν περὶ τύτων.

XXI. Ἐπαινεῖται δὲ τῦ Σόλωνος καὶ ὁ κωλύων νόμος τὸν τεϑνηκότα κακῶς ἀγορεύειν. καὶ γὰρ ὅσιον τὺς μεϑεςῶτας ἱερὺς νομίζειν, καὶ δίκαιον ἀπέχεϑαι τῶν ὐχ ὑπαρχόντων, καὶ πολιτικὸν ἀφαιρεῖν τῆς ἔχϑρας τὸ ἀΐδιον. ζῶντα δὲ κακῶς λέγειν ἐκώλυσε πρὸς ἱεροῖς καὶ δικαςηρίοις καὶ ἀρχείοις, καὶ ϑεωρίας ὔσης ἀγώνων· ἢ τρεῖς δραχμὰς τῷ ἰδιώτῃ, δύο δ' ἄλλας ἀποτίνειν εἰς τὸ δημόσιον ἔταξε. τὸ γὰρ μηδαμῦ κρατεῖν ὀργῆς, ἀπαίδευτον καὶ ἀκόλαςον· τὸ δὲ πανταχῦ, χαλεπὸν, ἐνίοις δ' ἀδύνατον· δεῖ δὲ πρὸς τὸ δυνατὸν γράφεϑαι τὸν νόμον, εἰ βύλεται χρησίμως ὀλίγυς, ἀλλὰ μὴ πολλὺς ἀχρήςως κολάζειν. εὐδοκίμησε δὲ

1 R. quærit, num ὐδ' ἰςέον, vel ὐδ' ἀκυςέον? Si servandum δοτέον, cum Plut. διδόναι pro ἐᾷν, συγχωρεῖν usurpet, addendum censet Infinitivum deficientem ἐννευσσεύειν, ἐμπεριςρέφεϑαι, ἐνεπιπολάζειν, aut alium talem.

2 R. susp ὑπ' ἀσυνυσίας. Anon. ὑπό.

3 Br. mavult μετοικίσειε, ut supra φαίη.

4 B. 1. 2. καὶ ]αῦτα.

δὲ κἀν τῷ περὶ διαθηκῶν νόμῳ· πρότερον γὰρ ὐκ ἐξῆν [1], ἀλλ' ἐν τῷ γένει τῦ τεθνηκότος ἔδει τὰ χρήματα καὶ τὸν οἶκον καταμένειν· ὁ δ' ᾧ βύλεταί τις ἐπιτρέψας, εἰ μὴ παῖδες εἶεν αὐτῷ, δῦναι τὰ αὐτῦ, φιλίαν τε συγγενείας ἐτίμησε μᾶλλον, καὶ χάριν ἀνάγκης· καὶ τὰ χρήματα, κτήματα τῶν ἐχόντων ἐποίησεν. ὐ μὴν ἀνέδην γε πάλιν, ὐδ' ἁπλῶς τὰς δόσεις ἐφῆκεν, ἀλλ' εἰ μὴ [2] νόσων ἕνεκεν, ἢ φαρμάκων, ἢ δεσμῶν, ἢ ἀνάγκῃ καταχεθεὶς, ἢ γυναικὶ πειθόμενος· εὖ πάνυ καὶ προσηκόντως τὸ πεισθῆναι παρὰ τὸ βέλτισον, ὐδὲν ἡγύμενος τῦ βιασθῆναι διαφέρειν, ἀλλ' εἰς ταυτὸ τὴν ἀπάτην τῇ ἀνάγκῃ, καὶ τῷ πόνῳ τὴν ἡδονὴν θέμενος, ὡς ὐχ ἧττον ἐκςῆσαι λογισμὸν ἀνθρώπυ δυναμένην [3]. ἐπέςησε δὲ καὶ ταῖς ἐξόδοις τῶν γυναικῶν, καὶ τοῖς πένθεσι καὶ ταῖς ἑορταῖς νόμον ἀπείργοντα τὸ ἄτακτον καὶ ἀκόλαςον· ἐξιέναι μὲν ἱματίων τριῶν μὴ πλέον ἔχυσαν [4] κελεύσας, μηδὲ βρωτὸν, ἢ ποτὸν, πλείονος, ἢ ὀβολῦ φερομένην, μηδὲ κάνητα πηχυαίυ μείζονα, μηδὲ νύκτωρ πορεύεσθαι πλὴν ἁμάξῃ κομιζομένην, λύχνυ προφαίνοντος. ἀμυχὰς δὲ κοπτομένων, καὶ τὸ θρηνεῖν πεποιημένα [5], καὶ τὸ κωκύειν ἄλλον ἐν ταφαῖς ἑτέρων ἀφεῖλεν. ἐναγίζειν δὲ βῦν ὐκ εἴασεν, ὐδὲ συντιθέναι πλέον ἱματίων τριῶν· ὐδ' ἐπ' ἀλλότρια μνήματα βαδίζειν, χωρὶς ἐκκομιδῆς. ὧν τὰ

πλεῖςα

1 R. deesse videtur διαθέσθαι.

2 Subaudi τις διέθετο καὶ ἄλλῳ τινὶ τὰ ἑαυτῦ ἐδωρήσατο. R. ita vult legi εἰ μὴ νοσῶν ἢ φαρμακῶν (ambo particip.) ἢ δεσμῶν ἢ ἄλλῃ ἀνάγκῃ &c. æger, aut a pharmacis furiosus factus, aut custodiæ necessitate, aliave quapiam constrictus.

3 Ita dedit R. pro vulg. δυναμένων, referens ad ἀπάτην & ἡδονήν.

4 B. 1. 2. 3. Junt. ἔχυσαι.

5 Addit V. glossæ loco: ἤτοι ἔμμετρα διὰ ςίχων.

πλεῖςα καὶ τοῖς ἡμετέροις νόμοις ἀπηγόρευται. πρόσκειται δὲ τοῖς ἡμετέροις, ζημιοῦσθαι τοὺς ταῦτα ποιοῦντας ὑπὸ τῶν γυναικονόμων, ὡς ἀνάνδροις καὶ γυναικώδεσι τοῖς περὶ τὰ γένη [1] πάθεσι καὶ ἁμαρτήμασιν ἐνεχομένους.

XXII. Ὁρῶν δὲ τὸ μὲν ἄςυ πιμπλάμενον ἀνθρώπων ἀεὶ συῤῥεόντων πανταχόθεν ἐπ' ἀδείας εἰς τὴν Ἀττικὴν, τὰ δὲ πλεῖςα τῆς χώρας ἀγεννῆ καὶ φαῦλα, τοὺς δὲ χρωμένους τῇ θαλάττῃ μηδὲν εἰωθότας εἰσάγειν τοῖς μηδὲν ἔχουσιν ἀντιδοῦναι, πρὸς τὰς τέχνας ἔτρεψε τοὺς πολίτας· καὶ νόμον ἔγραψεν, υἱῷ τρέφειν τὸν πατέρα μὴ διδαξάμενον τέχνην, ἐπάναγκες μὴ εἶναι. τῷ μὲν γὰρ Λυκούργῳ καὶ πόλιν οἰκοῦντι καθαρὰν ὄχλου ξενικοῦ, καὶ χώραν κεκτημένῳ πολλοῖς πολλὴν, δὶς τοσοῖσδε πλείονα [2], κατ' Εὐριπίδην, καὶ τὸ μέγιςον εἱλωτικοῦ πλήθους, ὃ βέλτιςον [3] ἦν μὴ σχολάζειν, ἀλλὰ τριβόμενον ἀεὶ καὶ πονοῦν ταπεινοῦσθαι [4], περικεχυμένου τῇ Λακεδαίμονι, καλῶς εἶχεν ἀσχολιῶν ἐπιπόνων καὶ βαναύσων ἀπαλλάξαντα τοὺς πολίτας, συνέχειν ἐν τοῖς ὅπλοις, μίαν τέχνην ταύτην ἐκμανθάνοντας καὶ ἀσκοῦντας. Σόλων δὲ τοῖς πράγμασι τοὺς νόμους μᾶλλον, ἢ τὰ πράγματα τοῖς νόμοις προσαρμόζων, καὶ τῆς χώρας τὴν φύσιν ὁρῶν τοῖς γεωργοῦσι γλίσχρως διαρκοῦσαν, ἀργόν τε καὶ σχολαςὴν ὄχλον οὐ δυναμένην τρέφειν, ταῖς τεχ-

5 Hanc lectionem revocavit R. e vetustis codd. & B. 1. 2. 3. pro ea, quam H. Steph. (π. τ. πένθη) tacito auctore, suffecerat.

1 R. versum Euripideum ita restituit: πολλοῖς τε πολλὴν, δὶς τόσοις τε πλείονα.

3 H. Steph. magis placuit βέλτιον, quod ipso teste in quibusdam exempl. legitur.

4 Hæc lectio ex omn. B. & Junt. restituta pro πονοῦντα ταπειν. — Br. susp. τεταπεινῶσθαι. Sequens περικεχυμένου e Junt. & Ald. dedit R. pro vulg. περικεχυμένον.

τέχναις ἀξίωμα [1] περιέθηκε, καὶ τὴν ἐξ Ἀρείȣ πάγȣ βȣλὴν ἔταξεν ἐπισκοπεῖν, ὅθεν ἕκαςος. ἔχει τὰ ἐπιτήδεια, καὶ τȣ̀ς ἀργȣ̀ς κολάζειν. ἐκεῖνο δ' ἤδη σφοδρότερον, τὸ μηδὲ τοῖς ἐξ ἑταίρας γενομένοις ἐπάναγκες εἶναι τȣ̀ς πατέρας τρέφειν, ὡς Ἡρακλείδης ἱςόρηκεν ὁ Ποντικός. ὁ γὰρ [2] ἐν γάμῳ παρορῶν τὸ καλὸν, ȣ̓ τέκνων ἕνεκα δῆλός ἐςιν, ἀλλ' ἡδονῆς, ἀγόμενος γυναῖκα [3]. τόν τε μισθὸν ἀπέχει, καὶ παῤῥησίαν αὐτῷ πρὸς τȣ̀ς γενομένȣς ȣ̓κ ἀπολέλοιπεν, οἷς αὐτὸ τὸ γενέσθαι πεποίηκεν ὄνειδος.

XXIII. Ὅλως δὲ πλείςην ἔχειν ἀτοπίαν οἱ περὶ τῶν γυναικῶν νόμοι τῷ Σόλωνι δοκȣ̃σι. μοιχὸν μὲν γὰρ ἀνελεῖν τῷ λαβόντι δέδωκεν, ἐὰν δ' ἁρπάσῃ τις ἐλευθέραν γυναῖκα καὶ βιάσηται, ζημίαν ἑκατὸν δραχμὰς ἔταξε· κἂν προαγωγεύῃ, δραχμὰς εἴκοσι· πλὴν ὅσαι [4] πεφασμένως πωλȣ̃νται· λέγων [5] δὴ τὰς ἑταίρας. αὗται γὰρ ἐμφανῶς φοιτῶσι πρὸς τȣ̀ς διδόντας. ἔτι δ' ȣ̓́τε θυγατέρας πωλεῖν, ȣ̓́τ' ἀδελφὰς δίδωσι, πλὴν ἂν μὴ λάβῃ παρθένον ἀνδρὶ συγγεγενημένην. τὸ δ' αὐτὸ πρᾶγμα, ποτὲ μὲν πικρῶς καὶ ἀπαραιτήτως κολάζειν, ποτὲ δὲ εὐκόλως, καὶ παίζοντα, πρόστιμον ζημίαν τὴν τυχȣ̃σαν ὁρίζοντα, ἄλογόν ἐςι. πλὴν εἰ μὴ

 σπα-

1 Teste H. Steph. etiam legitur ἀξιώματα.

2 Ex hac particula aliquid deesse R. suspicatur, ex. gr. ȣ̓ μέντοι ἀπεικὸς — non tamen abhorret. Tunc recte sequeretur: ὁ γὰρ — contemtor honesti in re uxoria.

3 Dura est, judice R. haec dictio, quae nunquam aliter usurpatur, quam pro domum ducendo matrem familias legitimo conjugii modo. Mutari quidem posse lectionem dicit: ᾧ ȣ̓ τέκνων ἕν. δῆλ. ἐς. ἀλλ' ὑφ' ἡδονῆς ἀγόμενος πρὸς γυν. quo prodit, se — ad consuetudinem cum muliere duci. Satius tamen ipsi videtur esse, ut universe ἄγ. γυν. significet cum muliere quacunque consuescere.

4 B. 1. 2. πλὴν τῶν ὅσαι.

5 Ita dedit R. pro vulg. λέγω, referens ad Solonem.

σπανίζοντος τότε τῦ νομίσματος ἐν τῇ πόλει μεγάλας ἐποίει τὰς ἀργυρικὰς ζημίας τὸ δυσπόριστον. εἰς μέν γε τὰ τιμήματα τῶν θυσιῶν λογίζεται πρόβατον καὶ δραχμὴν ἀντὶ μεδίμνυ. τῷ δ' Ἴσθμια νικήσαντι, δραχμὰς ἔταξεν ἑκατὸν δίδοσθαι· τῷ δ' Ὀλύμπια, πεντακοσίας. λύκον δὲ τῷ κομίσαντι, πέντε δραχμὰς ἔδωκε· λυκίδα [1] δὲ, μίαν· ὧν φησὶν ὁ Φαληρεὺς Δημήτριος, τὸ μὲν βοὸς εἶναι, τὸ δὲ προβάτυ τιμήν. ἃς γὰρ ἐν τῷ ἑκκαιδεκάτῳ τῶν ἀξόνων ὁρίζει τιμὰς τῶν ἐκκρίτων ἱερείων, εἰκὸς μὲν εἶναι πολλαπλασίας, ἄλλως δὲ κἀκεῖναι πρὸς τὰς [2] νῦν εὐτελεῖς εἰσιν. ἀρχαῖον δὲ τοῖς Ἀθηναίοις τὸ πολεμεῖν τοῖς λύκοις, βελτίονα νέμειν, ἢ γεωργεῖν, χώραν ἔχυσι. καὶ τὰς φυλὰς εἰσὶν οἱ λέγοντες ὑκ ἀπὸ τῶν Ἴωνος υἱῶν, ἀλλ' ἀπὸ τῶν γενῶν, εἰς ἃ διηρέθησαν οἱ βίοι τὸ πρῶτον, ὠνομάσθαι [3], τὸ μὲν μάχιμον, ὁπλίτας, τὸ δ' ἐργατικὸν, ἐργάδεις· δυεῖν δὲ τῶν λοιπῶν γεδέοντας [4] μὲν, τὺς γεωργὺς, αἰγικορεῖς δὲ, τὺς ἐπὶ νομαῖς καὶ προβατείαις διατρίβοντας. ἐπεὶ δὲ πρὸς ὕδωρ ὔτε ποταμοῖς ἐστιν ἀεννάοις, ὔτε λίμναις τισὶν, ὔτ' ἀφθόνοις πηγαῖς ἡ χώρα διαρκὴς, ἀλλ' οἱ πλεῖστοι φρέασιν ποιητοῖς ἐχρῶντο, νόμον ἔγραψεν, ὅπυ μέν ἐστι δημόσιον φρέαρ ἐντὸς ἱππικῦ, χρῆσθαι τύτῳ· τὸ δ' ἱππικὸν, διάστημα τεσσάρων ἦν σταδίων· ὅπυ δὲ πλεῖον ἀπεῖχε, ζητεῖν ὕδωρ ἴδιον. ἐὰν δ' ὀρύξαντες ὀργυιῶν δέκα βάθος παρ' ἑαυτοῖς, μὴ εὕρωσι, τότε

1 Anon. λυκιδέα; & pro seq. ὧν B. 1. 2. 3. Junt. ὡς.

2 B. 1. 2. 3. τά.

3 Teste H. Steph. in quibusdam vetustis exempl. legitur ὀνομάσαι, ut nimirum ad Solonem referatur.

4 H. Steph. dedit τελέοντας, ab antiquo verbo τελέω, dare, tribuere. R. pro illa lectione revocavit lectionem Juntinæ atque Aldinæ, in qua essent vestigia vocabulorum γῆν δαίοντας. B. 1. 2. 3. τῶν λοιπῶν γέ δέοντας. Canterus corrigit γελέοντας, a γελέων, uno ex Ionis filiis, contra scopum Plutarchi.

τότε λαμβάνειν παρὰ τȣ̃ γείτονος, ἐξάχȣν ὑδρίαν δὶς ἑκάςης ἡμέρας πληρȣ̃ντας· ἀπορίᾳ γὰρ ᾤετο δεῖν βοηθεῖν, ȣ̓κ ἀργίαν ἐφοδιάζειν. ὥρισε δὲ καὶ φυτειῶν μέτρα μάλ' ἐμπείρως, τȣ̀ς μὲν ἄλλο τι φυτεύοντας ἐν ἀγρῷ, πέντε πόδας ἀπέχειν τȣ̃ γείτονος κελεύσας, τȣ̀ς δὲ συκῆν, ἢ ἐλαίαν, ἐννέα. ποῤῥωτέρω γὰρ ἐξικνεῖται ταῦτα ταῖς ῥίζαις· καὶ ȣ̓ πᾶσι γειτνιᾷ τοῖς φυτοῖς ἀσινῶς, ἀλλὰ καὶ τροφὴν παραιρεῖται, καὶ βλάπτȣσαν ἐνίοις ἀποῤῥοὴν ἀφίησι. βόθρȣς δὲ καὶ τάφρȣς τὸν βȣλόμενον ἐκέλευσεν ὀρύσσειν, ὅσον ἐμβάλοι [1] βάθος, ἀφιςάμενον μῆκός τ' ἀλλοτρίȣ· καὶ μελισσῶν σμήνη καθιςάμενον, ἀπέχειν τῶν ὑφ' ἑτέρȣ πρότερον ἱδρυμένων πόδας τριακοσίȣς.

XXIV. Τῶν δὲ γινομένων διάθεσιν πρὸς ξένȣς ἐλαίȣ μόνον ἔδωκεν, ἄλλα δ' ἐξάγειν ἐκώλυσε· καὶ κατὰ τῶν ἐξαγόντων, ἀρὰς τὸν ἄρχοντα ποιεῖσθαι προσέταξεν, ἢ ἐκτίνειν αὐτὸν ἑκατὸν δραχμὰς εἰς τὸ δημόσιον. καὶ πρῶτος ἄξων ἐςὶν ὁ τȣ̃τον περιέχων τὸν νόμον. ȣ̓κ ἂν ȣ̃ν τις ἡγήσαιτο παντελῶς ἀπιθάνȣς τȣ̀ς λέγοντας, ὅτι καὶ σύκων ἐξαγωγὴ τὸ παλαιὸν ἀπείρητο, καὶ τὸ φαίνειν ἐνδεικνύμενον τȣ̀ς ἐξάγοντας, κληθῆναι συκοφαντεῖν [2]. ἔγραψε δὲ καὶ βλάβης τετραπόδων νόμον, ἐν ᾧ καὶ κύνα δακόντα παραδȣ̃ναι κελεύει κλοιῷ τετραπήχει [3] δεδεμένον· τὸ μὲν ἐνθύμημα, χάριεν πρὸς ἀσφάλειαν. παρέχει δ' ἀπορίαν καὶ ὁ τῶν δημοποιήτων νόμος, ὅτι γενέσθαι πολίταις ȣ̓ δίδωσι πλὴν τοῖς φεύγȣσιν ἐπ' ἀειφυγίᾳ [4] τὴν ἑαυτῶν,

 ἢ

1 V. ἐμβάλλει; B. 1. 2. 3. ἐμβαλεῖ. Br. fufp. ὅσον ἂν ἐμβάλοι.

2 Ita Anon. — Vulg. συκοφάντην.

3 Tefte H. Steph. etiam fcriptum legitur: τριπήχει.

4 Cum præpof. dedit R. Vulgatæ ea carent. B. 1. 2. πλὴν ἀειφυγίαν.

ἢ πανεστίοις Ἀθήναζε μετοικιζομένοις ἐπὶ τέχνῃ. τοῦτο δὲ ποιῆσαι φασὶν αὐτὸν, οὐχ οὕτως ἀπελαύνοντα τοὺς ἄλλους, ὡς κατακαλούμενον Ἀθήναζε τούτους ἐπὶ βεβαίῳ τῷ μεθέξειν τῆς πολιτείας· καὶ ἅμα πιστοὺς νομίζοντα, τοὺς μὲν ἀποβεβληκότας τὴν ἑαυτῶν, διὰ τὴν ἀνάγκην, τοὺς δ' ἀπολελοιπότας, διὰ τὴν γνώμην. ἴδιον δὲ τοῦ Σόλωνος καὶ τὸ περὶ τῆς ἐν δημοσίῳ σιτήσεως, ὅπερ αὐτὸς παρασιτεῖν κέκληκε. τὸν γὰρ αὐτὸν οὐκ ἐᾷ σιτεῖσθαι πολλάκις· ἐὰν δ' ᾧ καθήκῃ μὴ βούληται, κολάζει, τὸ μὲν ἡγούμενος πλεονεξίαν, τὸ δ' ὑπεροψίαν τῶν κοινῶν.

XXV. Ἰσχὺν δὲ τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἐνιαυτοὺς ἔδωκε, καὶ κατεγράφησαν [1] εἰς ξυλίνους ἄξονας, ἐν πλαισίοις περιέχουσι στρεφομένους [2]. ὧν ἔτι καθ' ἡμᾶς ἐν Πρυτανείῳ λείψανα μικρὰ διεσώζετο, καὶ προσηγορεύθησαν, ὡς Ἀριστοτέλης φησὶ, κύρβεις. καὶ Κρατῖνος ὁ κωμικὸς εἴρηκέ που·

Πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος, οἷσι νῦν [3]
Φρύγουσιν ἤδη τὰς κάχρυς ταῖς κύρβεσιν.

ἔνιοι δέ φασιν ἰδίως, ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται [4], κύρβεις, ἄξονας δὲ τοὺς ἄλλους ὠνομάσθαι. κοινὸν μὲν οὖν ὤμνυεν ὅρκον ἡ βουλὴ, τοὺς Σόλωνος νόμους ἐμπεδώσειν, ἴδιον δ' ἕκαστος τῶν θεσμοθετῶν ἐν ἀγορᾷ πρὸς τῷ λίθῳ, καταφατίζων, εἴ τι παραβαίη τῶν θεσμῶν, ἀνδριάντα χρυσοῦν ἰσομέτρητον ἀναθήσειν ἐν Δελφοῖς. συνιδὼν δὲ τοῦ μηνὸς τὴν ἀνωμαλίαν, καὶ τὴν κίνη-

1 Scholiastes in Aristoph. Nub. v. 447. locum hunc citans legit ἐγκατεγράφησαν.

2 R. susp. ἐν πλαισίοις περὶ ἥλους στρεφομένους.

3 R. susp. ὧν τανῦν, ut ὧν construatur cum τοῖς κύρβεσι. In seq. v. dat B. 3. κάγχρυς pro κάχρυς.

4 R. susp. περιείχοντο, si intelligas tabulas istas primigenias; in relatione autem ad collectiones calamo exaratas, quæ Plutarchi ætate superesse poterant, probat præs. περιέχονται.

κίνησιν τῆς σελήνης, ὅτε δυομένῳ τῷ ἡλίῳ πάντως, ὅτ' ἀνίσχοντι συμφερομένην, ἀλλὰ πολλάκις τῆς αὐτῆς ἡμέρας καὶ καταλαμβάνουσαν καὶ παρερχομένην τὸν ἥλιον, αὐτὴν μὲν ἔταξε ταύτην, ἕνην [1] καὶ νέαν καλεῖσθαι· τὸ μὲν πρὸ συνόδου μόριον αὐτῆς, τῷ πανομένῳ μηνὶ, τὸ δὲ λοιπὸν ἤδη τῷ ἀρχομένῳ προσήκειν ἡγούμενος· πρῶτος, ὡς ἔοικεν, ὀρθῶς ἀκούσας Ὁμήρου λέγοντος·

Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ ἱσαμένοιο.

τὴν δ' ἐφεξῆς ἡμέραν νουμηνίαν ἐκάλεσε. τὰς δ' ἀπ' εἰκάδος [2] οὐ προστιθεὶς, ἀλλ' ἀφαιρῶν, καὶ ἀναλύων, ὥσπερ τὰ φῶτα τῆς σελήνης ἑώρα, μέχρι τριακάδος ἠρίθμησεν. ἐπεὶ δὲ τῶν νόμων εἰσενεχθέντων, ἔνιοι τῷ Σόλωνι καθ' ἑκάστην προσῄεσαν ἡμέραν, ἐπαινοῦντες, ἢ ψέγοντες, ἢ συμβουλεύοντες ἐμβαλεῖν τοῖς γεγραμμένοις ὅ τι τύχοιεν, ἢ ἀφαιρεῖν· πλεῖστοι δ' ἦσαν οἱ πυνθανόμενοι καὶ ἀνακρίνοντες, καὶ κελεύοντες αὐτὸν, ὅπως ἕκαστον ἔχει, καὶ πρὸς ἣν κεῖται διάνοιαν, ἐπεκδιδάσκειν καὶ σαφηνίζειν· ὁρῶν, ὅτι ταῦτα καὶ τὸ μὴ πράττειν, ἄτοπον, καὶ τὸ πράττειν, ἐπίφθονον, ὅλως δὲ ταῖς ἀπορίαις ὑπεκστῆναι [3] βουλόμενος, καὶ διαφυγεῖν τὸ δυσάρεστον καὶ τὸ φιλαίτιον τῶν πολιτῶν· ἔργμασι γὰρ ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπὸν, ὡς αὐτὸς εἴρηκε· πρόσχημα τῆς πλάνης τὴν ναυκληρίαν ποιησάμενος, ἐξέπλευσε, δεκαετῆ παρὰ τῶν Ἀθηναίων ἀποδημίαν αἰτησάμενος. ἤλπιζε γὰρ ἐπὶ τῷ χρόνῳ τούτῳ καὶ τοὺς νόμους αὐτοῖς [4] ἔσεσθαι συνήθεις.



1 Anon. τὴν αὐτὴν μὲν ἔταξεν ἕνην.

2 Ita emendatus textus ex Scholiast. ad Nubes, ubi legitur τὰς δ' — Vulg. dant τὴν δ' ἀπ' εἰκ. — Secundum eund. in seq. lin. omissum est οὐ, quod dant vulgatæ post σελήνης.

3 B. 1. ἐκστῆναι.

4 Ita dant B. 1. 3. pro vulg. αὐτοὺς. Teste H. Steph. in quibusdam legitur: τοῖς νόμοις αὐτοὺς ἔσεσθαι συνήθεις.

XXVI. Πρῶτον μὲν ἐν εἰς Αἴγυπτον ἀφίκετο, καὶ διέτριψεν, ὡς καὶ [πρότερον [1]] αὐτός φησι·

Νείλȣ ἐπὶ προχοῇσι Κανωβίδος ἐγγύθεν ἀκτῆς.

χρόνον δέ τινα καὶ τοῖς περὶ Ψένωφιν τὸν Ἡλιȣπολίτην, καὶ Σώγχιν τὸν Σαΐτην, λογιωτάτοις ἐσι τῶν ἱερέων [2], συνεφιλοσόφησε· παρ' ὧν καὶ τὸν Ἀτλαντικὸν ἀκȣ́σας λόγον, ὡς Πλάτων φησὶν, ἐπεχείρησε διὰ ποιήματος ἐξενεγκεῖν εἰς τȣ̀ς Ἕλληνας. ἔπειτα πλεύσας εἰς Κύπρον, ἠγαπήθη διαφερόντως ὑπὸ Φιλοκύπρȣ τινὸς τῶν ἐκεῖ βασιλέων, ὃς εἶχεν ȣ̓ μεγάλην πόλιν ᾠκισμένην ὑπὸ Δημοφῶντος τȣ̃ Θησέως, περὶ [3] τὸν Κλάριον ποταμὸν, ἐν χωρίοις ὀχυροῖς μὲν, ἄλλως δὲ δυσχερέσι καὶ φαύλοις κειμένην. ἔπεισεν ἐν αὐτὸν ὁ Σόλων, ὑποκειμένȣ καλȣ̃ πεδίȣ, μεταθέντα τὴν πόλιν, ἡδίονα καὶ μείζονα κατασκευάσαι. καὶ παρὼν ἐπεμελήθη τȣ̃ συνοικισμȣ̃, καὶ συνδιεκόσμησε πρός τε διαγωγὴν ἄριϛα καὶ πρὸς ἀσφάλειαν· ὥϛε πολλȣ̀ς μὲν οἰκήτορας τῷ Φιλοκύπρῳ συνελθεῖν, ζηλῶσαι δὲ τȣ̀ς ἄλλȣς βασιλέας· διὸ καὶ τῷ Σόλωνι τιμὴν ἀποδιδȣ̀ς, Αἴπειαν καλȣμένην τὴν πόλιν πρότερον, ἀπ' ἐκείνȣ Σόλȣς προσηγόρευσε. καὶ αὐτὸς δὲ [4] μέμνηται τȣ̃ συνοικισμȣ̃. προσαγορεύσας γὰρ ἐν ταῖς ἐλεγείαις τὸν Φιλόκυπρον·

Νῦν δὲ (φησὶ) σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων,
Τὴν πόλιν [5] ναίοις καὶ γένος ὑμέτερον·

Αὐτὰρ

1 Br. redundare videtur. R. autem, si servandum erit, ita legit: ὡς καὶ πρότερον Λυκȣ̃ργος, ἢ αὐτός φησι — aut verba ita ordinanda censet: καὶ διέτριψε πρότερον, ὡς καὶ αὐτὸς φησί.

2 Junt. & Ald. vitiose ἱερῶν.

3 Anon. παρά.

4 Br. mavult αὐτὸς δή.

5 Vulg. dederunt Τήν τε πόλιν, unde verè sensus existeret absurdissimus, quare τε, a Stephano, tacito auctore, metri forsan

Αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῇ κλεινῆς ἀπὸ νήσȣ
 Ἀσκηθῆ πέμποι Κύπρις ἰοςέφανος.
Οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
 Ἐσθλὸν, καὶ νόσον πατρίδ' ἐς ἡμετέρην.

XXVII. Τὴν δὲ πρὸς Κροῖσον ἔντευξιν αὐτȣ̃ δοκȣ̃σιν ἔνιοι τοῖς χρόνοις ὡς πεπλασμένην ἐλέγχειν. ἐγὼ δὲ λόγον ἔνδοξον ȣ̓́τω καὶ τοσȣ́τȣς μάρτυρας ἔχοντα, καὶ ὃ μεῖζόν ἐςι, πρέποντα τῷ Σόλωνος ἤθει, καὶ τῆς ἐκείνȣ μεγαλοφροσύνης καὶ σοφίας ἄξιον, ȣ̓ μοι δοκῶ προήσεσθαι χρονικοῖς τισι λεγομένοις κανόσιν, ȣ̔̃ς μυρίοι διορθȣ̃ντες ἄχρι σήμερον εἰς ȣ̓δὲν αὐτοῖς ὁμολογȣ́μενον δύνανται καταςῆσαι τὰς ἀντιλογίας. τὸν δ' ȣ̓̃ν Σόλωνα φασὶν εἰς Σάρδεις δεηθέντι τῷ Κροίσῳ παραγενόμενον, παθεῖν τι παράπλησιον ἀνδρὶ χερσαίῳ κατιόντι πρῶτον ἐπὶ θάλατταν. ἐκεῖνός τε γὰρ ὁρῶν ἄλλον ἐξ ἄλλȣ ποταμὸν, ᾤετο τὴν θάλασσαν εἶναι· καὶ τῷ Σόλωνι τὴν αὐλὴν διαπορευομένῳ, καὶ πολλȣ̀ς ὁρῶντι τῶν βασιλικῶν κεκοσμημένȣς πολυτελῶς, καὶ σοβȣ̃ντας ἐν ὄχλῳ προπομπῶν καὶ δορυφόρων, ἕκαςος ἐδόκει Κροῖσος εἶναι· μέχρι πρὸς αὐτὸν ἤχθη, πᾶν ὅσον ἐν λίθοις, ἐν βαφαῖς ἐσθῆτος, ἐν τέχναις χρυσȣ̃ περὶ κόσμον ἐκπρεπὲς ἔχειν [1], ἢ περιττὸν, ἢ ζηλωτὸν, ἐδόκει, περικείμενον, ὡς δὴ θέαμα σεμνότατον ὀφθείη καὶ ποικιλώτατον. ἐπεὶ δ' ὁ Σόλων ἄντικρυς καταςὰς ȣ̓́τ' ἔπαθεν ȣ̓δὲν, ȣ̓́τ' εἶπε πρὸς τὴν ὄψιν, ὧν ὁ Κροῖσος προσεδόκησεν, ἀλλὰ καὶ δῆλος ἦν τοῖς εὖ φρονȣ̃σι τῆς ἀπειροκαλίας καὶ μικροπρεπείας καταφρονῶν, ἐκέλευσεν αὐτῷ τȣ̀ς θησαυρȣ̀ς ἀνοῖξαι τῶν χρημάτων, καὶ τὴν ἄλλην ἄγοντας ἐπιδεῖξαι μηδὲν δεομένῳ κατασκευὴν

P 5 καὶ

ſan cauſa, ingeſtum, R. delevit, legendum cenſens: τὴν πόλιν εὖ ναίεις.

1 R. addendum eſſe cenſet, ἡ Ἀσία, aut ἡ τρυφή. Potius vero in eo ipſi latere videtur ἐκείνοις.

καὶ πολυτέλειαν. ἤρκει γὰρ αὐτὸς ἐν ἑαυτῷ τοῦ τρόπου κατανόησιν παρασχεῖν. ὡς δ' οὖν αὖθις ἤχθη γεγονὼς ἁπάντων θεατὴς, ἠρώτησεν αὐτὸν ὁ Κροῖσος, εἴ τινα εἶδεν ἀνθρώπων αὐτοῦ μακαριώτερον [1]. ἀποφηναμένου δὲ τοῦ Σόλωνος, ὅτι εἶδε Τέλλον αὐτοῦ πολίτην, καὶ διεξελθόντος, ὅτι χρηστὸς ἀνὴρ ὁ Τέλλος γενόμενος, καὶ παῖδας εὐδοκίμους ἀπολιπὼν, καὶ βίον οὐδενὸς ἐνδεᾶ [τῶν ἀναγκαίων [2]] ἐτελεύτησεν ἐνδόξως, ἀριστεύσας ὑπὲρ τῆς πατρίδος, ἤδη μὲν ἀλλόκοτος ἐδόκει εἶναι τῷ Κροίσῳ καὶ ἄγροικος, εἰ μὴ πρὸς ἀργύριον πολὺ, μηδὲ χρυσίον, τῆς εὐδαιμονίας ποιεῖται τὴν ἀναμέτρησιν, ἀλλὰ δημοτικοῦ καὶ ἰδιώτου βίου [3] καὶ θάνατον ἀνθρώπου, μᾶλλον ἢ τοσαύτην ἀγαπῴη δύναμιν καὶ ἀρχήν. οὐ μὴν ἀλλὰ [4] πάλιν ἠρώτησεν αὐτὸν, εἰ μετὰ Τέλλον, ἄλλον ἔγνωκεν ἀνθρώπων εὐδαιμονέστερον. πάλιν δὲ τοῦ Σόλωνος εἰπόντος εἰδέναι [5] Κλέοβιν καὶ Βίτωνα, φιλαδέλφους καὶ φιλομήτορας διαφερόντως ἄνδρας, οἳ τὴν μητέρα, τῶν βοῶν βραδυνόντων, ὑποδύντες αὐτοὶ τῷ ζυγῷ τῆς ἁμάξης, ἐκόμισαν πρὸς τὸ τῆς Ἥρας ἱερὸν, εὐδαιμονιζομένην ὑπὸ τῶν πολιτῶν καὶ χαίρουσαν, εἶτα θύσαντες καὶ πιόντες, οὐκ ἔτι μεθ' ἡμέραν ἀνέστησαν, ἀλλὰ τεθνηκότες, ἀναλγῆ καὶ ἄλυπον ἐπὶ δόξῃ τοσαύτῃ σχόντες [6] θάνατον ὤφθησαν [7]. Ἡμᾶς δ', εἶπεν ἤδη πρὸς ὀργὴν ὁ Κροῖσος, εἰς οὐδένα τίθης εὐδαιμόνων ἀριθμὸν ἀνθρώπων; καὶ ὁ Σόλων, οὔτε κολακεύειν βουλόμενος αὐτὸν, οὔτε

1 Junt. & Ald. dant ἑαυτοῦ μακαρ. — B. 1. μακαριώτατον. Idem paulo post οἶδε, pro εἶδε.

2 Hæc duo vocabula desunt Junt. & Ald. quæ ex vet. cod. addita fuisse testatur H. Steph.

3 R. mavult δημοτικὸν ἰδιώτου βίον.

4 Pro hac partic. B. 1. dat καί.

5 deest B. 1. 3.

6 deest B. 1. 3.

7 Br. legendum censuit ἔφθησαν. At ex mente R. lectio vulg. bene se habet, & idem valet, quod εὑρέθησαν.

ὄτε περαιτέρω παροξύνειν· Ἕλλησιν, εἶπεν, ὦ βασιλεῦ Λυδῶν, πρός τε τἄλλα μετρίως ἔχειν [1] ὁ Θεὸς ἔδωκε, καὶ σοφίας τινὸς εὐθαρσοῦς, ὡς ἔοικε, καὶ δημοτικῆς, οὐ βασιλικῆς, οὐδὲ λαμπρᾶς, ὑπὸ μετριότητος ἡμῖν μέτεστιν, ἣ τύχαις ὁρῶσα παντοδαπαῖς [2] χρώμενον ἀεὶ τὸν βίον, οὐκ ἐᾷ τοῖς παροῦσιν ἀγαθοῖς μέγα φρονεῖν, οὐδὲ θαυμάζειν ἀνδρὸς εὐτυχίαν μεταβολῆς χρόνον ἔχουσαν. ἔπεισι γὰρ ἑκάστῳ ποικίλον ἐξ ἀδήλου τὸ μέλλον [3]. ᾧ δ' εἰς τέλος ὁ δαίμων ἔθετο τὴν εὐπραξίαν, τοῦτον εὐδαίμονα νομίζομεν. ὁ δὲ ζῶντος ἔτι καὶ κινδυνεύοντος ἐν τῷ βίῳ μακαρισμὸς, ὥσπερ ἀγωνιζομένου κήρυγμα καὶ στέφανός, ἐστιν ἀβέβαιος καὶ ἄκυρος. Ταῦτ' εἰπὼν ὁ Σόλων ἀπηλλάττετο, λυπήσας μὲν, οὐ νουθετήσας δὲ τὸν Κροῖσον.

XXVIII. Ὁ δὲ λογοποιὸς Αἴσωπος, ἐτύγχανε γὰρ εἰς Σάρδεις γεγονὼς μετάπεμπτος ὑπὸ Κροίσου, καὶ τιμώμενος, ἠχθέσθη τῷ Σόλωνι, μηδεμιᾶς τυχόντι φιλανθρωπίας, καὶ προτρέπων αὐτόν· Ὦ Σόλων, ἔφη, τοῖς βασιλεῦσι δεῖ ὡς ἥκιστα, ἢ ὡς ἥδιστα ὁμιλεῖν. καὶ ὁ Σόλων· Μὰ Δί', εἶπεν, ἀλλ' ὡς ἥκιστα, ἢ ὡς ἄριστα. τότε μὲν οὖν ὁ Κροῖσος οὕτω τοῦ Σόλωνος κατεφρόνησεν· ἐπεὶ δὲ Κύρῳ συμβαλὼν ἐκρατήθη μάχῃ, καὶ τὴν πόλιν ἀπώλεσε, καὶ ζῶν ἁλοὺς αὐτὸς ἔμελλε καταπίμπρασθαι, καὶ γενομένης πυρᾶς, ἀνεβιβάσθη δεδεμένος, θεωμένων Περσῶν ἁπάντων καὶ Κύρου παρόντος, ἐφ' ὅσον ἐξικνεῖτο καὶ δυνατὸς ἦν τῇ φωνῇ φθεγξάμενος ἀνεβόησε τρὶς, Ὦ Σόλων [4]. θαυμάσας οὖν ὁ Κῦρος

ρος

1 Junt. & Ald. vitiose dant ἔχειν ἃ ὁ θεός. R. legi mavult ἔδωκε, καὶ δὴ καὶ σοφίας.

2 In Junt. & Ald. legitur παντοπαῖς, unde secundum R. poterat effici παντοίαις.

3 B. 1. τὸ τέλος. Post seq. εἰς τέλος R. videtur deesse παραμείνασαν; & in l. seq. B. 1. post τοῦτον addit ἡμεῖς.

4 B. 1. repet. ὦ Σόλων, Σόλων.

ρος ἔπεμψε τὰς ἐρησομένας, ὅςις ἀνθρώπων, ἢ Θεῶν, ἐτός ἐςιν ὁ Σόλων, ὃν ἐν τύχαις ἀπόροις μόνον ἀνακαλεῖται. καὶ ὁ Κροῖσος ἐδὲν ἀποκρυψάμενος, εἶπεν, ὅτι τῶν παρ' Ἕλλησι σοφῶν εἷς ἐτος ἦν [1] ἀνὴρ, ὃν ἐγὼ μετεπεμψάμην, ἐκ ἀκἔσαί τι βελόμενος, ἐδὲ μαθεῖν, ὧν ἐνδεὴς ἤμην, ἀλλ' ὡς δή μοι θεατὴς γένοιτο, καὶ μάρτυς ἀπίοι [2] τῆς εὐδαιμονίας ἐκείνης, ἣν ἀποβαλεῖν ἄρα μεῖζον ἦν κακὸν, ἢ λαβεῖν ἀγαθόν. λόγος γὰρ ἦν καὶ δόξα τἀγαθὸν [3] παρέσης, αἱ μεταβολαὶ δέ μοι αὐτῆς εἰς πάθη δεινὰ καὶ συμφορὰς ἀνηκέςες ἔργῳ τελευτῶσι. καὶ ταῦτ' ἐκεῖνος ὁ ἀνὴρ ἐκ τῶν τότε τὰ νῦν τεκμαιρόμενος, ἐκέλευε [4] τὸ τέλος τε βία σκοπεῖν, καὶ μὴ θρασυνόμενον ἀβεβαίοις ὑπονοίαις ὑβρίζειν. Ἐπεὶ δὲ ταῦτ' ἀνηνέχθη πρὸς τὸν Κῦρον, ἅτε δὴ σοφώτερος ὢν τε Κροίσε, καὶ τὸν λόγον τε Σόλωνος ἰσχυρὸν ἐν τῷ παραδείγματι βλέπων, ἐ μόνον ἀφῆκε τὸν Κροῖσον, ἀλλὰ καὶ τιμῶν ἐφ' ὅσον ἔζη διετέλεσε· καὶ δόξαν ἔσχεν ὁ Σόλων, ἑνὶ λόγῳ τὸν μὲν σώσας, τὸν δὲ παιδεύσας τῶν βασιλέων.

XXIX. Οἱ δ' ἐν ἄςει πάντες ἐςασίαζον ἀποδημεντος τε Σόλωνος· καὶ προειςήκει τῶν μὲν Πεδιέων Λυκεργος, τῶν δὲ Παράλων Μεγακλῆς ὁ Ἀλκμαίωνος, Πεισίςρατος δὲ τῶν Διακρίων· ἐν οἷς ἦν ὁ θητικὸς ὄχλος, καὶ μάλιςα τοῖς πλεσίοις ἀχθόμενος· ὥςε χρῆσθαι μὲν ἔτι τοῖς νόμοις τὴν πόλιν, ἤδη δὲ πράγματα νεώτερα προσδοκᾶν, καὶ ποθεῖν ἅπαντας ἑτέραν κατάςασιν, ἐκ ἴσον ἐλπίζοντας, ἀλλὰ πλέον ἕξειν ἐν τῇ μεταβολῇ, καὶ κρατήσειν παντάπασι τῶν διαφερομένων. ἕτω δὲ τῶν

1 B. 1. ἐςίν.

2 B. 1. 3. ἀπίῃ. Junt. Ald. ἀπῄει.

3 R. quærit, num legend. τἀγαθὰ in plur. an δόξα τῶν ἀγαθῶν.

4 Hanc lectionem revocavit R. e Junt. & Ald. pro vulg. ἐκέλευσε.

τῶν πραγμάτων ἐχόντων, ὁ Σόλων παραγενόμενος εἰς τὰς Ἀθήνας, αἰδῶ μὲν εἶχε καὶ τιμὴν παρὰ πᾶσιν, ἐν δὲ κοινῷ λέγειν καὶ πράσσειν ὁμοίως ἐκ ἔτ' ἦν δυνατὸς, ἐδὲ πρόθυμος ὑπὸ γήρως, ἀλλ' ἐντυγχάνων ἰδίᾳ τοῖς προεςῶσι τῶν ςάσεων ἀνδράσιν, ἐπειρᾶτο διαλύειν καὶ συναρμότ]ειν, μάλιςα τῦ Πεισιςράτε προσέχειν δοκῦντος αὐτῷ. καὶ γὰρ αἱμύλον τι καὶ προσφιλὲς εἶχεν ἐν τῷ διαλέγεσθαι, καὶ βοηθητικὸς ἦν τοῖς πένησι, καὶ πρὸς τὰς ἔχθρας ἐπιεικὴς καὶ μέτριος. ἃ δὲ φύσει μὴ προσῆν αὐτῷ, καὶ ταῦτα μιμέμενος, ἐπιςεύετο μᾶλλον τῶν ἐχόντων, ὡς εὐλαβὴς καὶ κόσμιος ἀνὴρ, καὶ μάλιςα δὴ τὸ ἴσον ἀγαπῶν, καὶ δυσχεραίνων, εἴ τις τὰ παρόντα κινοῖ, ἢ νεωτέρων ὀρέγοιτο. τέτοις γὰρ ἐξηπάτα τὲς πολλὲς. ὁ δὲ Σόλων, ταχὺ τὸ ἦθος ἐφώρασεν αὐτῦ, καὶ τὴν ἐπιβελὴν πρῶτος ἐγκατεῖδεν· ἐ μὴν ἐμίσησεν, ἀλλ' ἐπειρᾶτο πραΰνειν καὶ νεθετεῖν, καὶ πρὸς αὐτὸν ἔλεγε καὶ πρὸς ἑτέρες, ὡς εἴ τις ἐξέλοι τὸ φιλόπρωτον αὐτῦ τῆς ψυχῆς, καὶ τὴν ἐπιθυμίαν ἰάσαιτο [1] τῆς τυραννίδος, ἐκ ἔςιν ἄλλος εὐφυέςερος πρὸς ἀρετὴν, ἐδὲ βελτίων πολίτης· ἀρχομένων δὲ τῶν περὶ Θέσπιν ἤδη τὴν τραγῳδίαν κινεῖν, καὶ διὰ τὴν καινότητα τὲς πολλὲς ἄγοντος τῦ πράγματος, ἔπω δ' εἰς ἅμιλλαν ἐναγώνιον ἐξηγμένε, φύσει φιλήκοος ὢν καὶ φιλομαθὴς ὁ Σόλων, ἔτι μᾶλλον [2] ἐν γήρᾳ σχολῇ καὶ παιδιᾷ καὶ νὴ Δία πότοις καὶ μεσικῇ παραπέμπων ἑαυτὸν, ἐθεάσατο τὸν Θέσπιν αὐτὸν ὑποκρινόμενον, ὥσπερ ἔθος ἦν τοῖς παλαιοῖς. μετὰ δὲ τὴν θέαν προσαγορεύσας αὐτὸν, ἠρώτησεν, εἰ τοσέτων ἐναντίον ἐκ αἰσχύνεται τηλικαῦτα ψευδόμενος. φήσαντος δὲ τῦ Θέσπιδος, μὴ δεινὸν εἶναι τὸ μετὰ παιδιᾶς λέγειν τὰ [3] τοιαῦτα

1 deest B. 1.
2 R. susp. ἔτι δὲ μᾶλλον.
3 deest B. 1. 3. Junt. Ald.

αὖτα καὶ πράσσειν, σφόδρα τῇ βακτηρίᾳ τὴν γῆν ὁ Σόλων πατάξας· ταχὺ μέντοι τὴν παιδιὰν, ἔφη [1], ταύτην ἐπαινοῦντες καὶ τιμῶντες, εὑρήσομεν ἐν τοῖς συμβολαίοις.

XXX. Ἐπεὶ δὲ κατατρώσας αὐτὸς ἑαυτὸν ὁ Πεισίστρατος ἧκεν εἰς ἀγορὰν ἐπὶ ζεύγους κομιζόμενος, καὶ παρώξυνε τὸν δῆμον ὡς διὰ τὴν πολιτείαν ὑπὸ τῶν ἐχθρῶν ἐπιβεβουλευμένος, καὶ πολλοὺς εἶχεν ἀγανακτοῦντας καὶ βοῶντας, προσελθὼν ἐγγὺς ὁ Σόλων καὶ παραστάς. Οὐ καλῶς, εἶπεν, ὦ παῖ Ἱπποκράτους, ὑποκρίνῃ τὸν Ὁμηρικὸν Ὀδυσσέα. ταὐτὰ γὰρ ποιεῖς τοὺς πολίτας παρακρουόμενος, οἷς ἐκεῖνος τοὺς πολεμίους ἐξηπάτησεν αἰκισάμενος ἑαυτόν. Ἐκ τούτου τὸ μὲν πλῆθος ἦν ἕτοιμον ὑπερμαχεῖν τοῦ Πεισιστράτου, καὶ συνῆλθεν εἰς ἐκκλησίαν ὁ δῆμος· Ἀρίστωνος δὲ γράψαντος, ὅπως δοθῶσι πεντήκοντα κορυνηφόροι τῷ Πεισιστράτῳ, φυλακὴ τοῦ σώματος, ἀντεῖπεν ὁ Σόλων ἀναστὰς, καὶ πολλὰ διεξῆλθεν ὅμοια τούτοις, οἷς διὰ τῶν ποιημάτων γέγραφεν·

Εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός.
Ὑμῶν δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
Σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος.

ὁρῶν δὲ τοὺς μὲν πένητας ὁρμωμένους χαρίζεσθαι Πεισιστράτῳ, καὶ θορυβοῦντες, τοὺς δὲ πλουσίους ἀποδιδράσκοντας καὶ ἀποδειλιῶντας, ἀπῆλθεν, εἰπὼν, ὅτι τῶν μὲν εἴη σοφώτερος, τῶν δ' ἀνδρειότερος· σοφώτερος μὲν τῶν μὴ συνιέντων τὸ πραττόμενον. ἀνδρειότερος δὲ τῶν συνιέντων μὲν, ἐναντιοῦσθαι δὲ τῇ τυραννίδι φοβουμένων. τὸ δὲ ψήφισμα κυρώσας ὁ δῆμος, οὐδὲ περὶ τοῦ πλήθους ἔτι τῶν κορυνηφόρων διεμικρολογεῖτο πρὸς τὸν Πεισίστρατον, ἀλλ' ὅσους ἐβούλετο τρέφοντα καὶ συνάγοντα φα-

1 deest vulg. B. 1. dedit post ταχὺ; B. 3. ante ταύτην. — Post ἐπαινοῦντες add. V. B. 1. 3. οὕτω.

φανερῶς περιεώρα, μέχρι τὴν ἀκρόπολιν κατέσχε. γενομένε δὲ τέτε, καὶ τῆς πόλεως συνταραχθείσης, ὁ μὲν Μεγακλῆς εὐθὺς ἔφυγε μετὰ τῶν ἄλλων Ἀλκμαιωνιδῶν. ὁ δὲ Σόλων, ἤδη μὲν ἦν σφόδρα γέρων, καὶ τὲς βοηθῦντας ἐκ εἶχεν, ὅμως δὲ προῆλθεν εἰς ἀγορὰν, καὶ διελέχθη πρὸς τὲς πολίτας, τὰ μὲν κακίζων τὴν ἀβελίαν αὐτῶν καὶ μαλακίαν, τὰ δὲ παροξύνων ἔτι καὶ παρακαλῶν μὴ προέσθαι τὴν ἐλευθερίαν. ὅτε καὶ τὸ μνημονευόμενον εἶπεν, ὡς πρώην μὲν ἦν εὐμαρέςερον αὐτοῖς τὸ κωλύσαι τὴν τυραννίδα συνιςαμένην [1], νῦν δὲ μεῖζόν ἐςι καὶ λαμπρότερον ἐκκόψαι καὶ ἀνελεῖν συνεςῶσαν ἤδη καὶ πεφυκυῖαν [2]. ἐδενὸς δὲ προσέχοντος αὐτῷ διὰ τὸν φόβον, ἀπῆλθεν εἰς τὴν οἰκίαν τὴν ἑαυτἒ, καὶ λαβὼν τὰ ὅπλα, καὶ πρὸ τῶν θυρῶν θέμενος εἰς τὸν ςενωπὸν· Ἐμοὶ μὲν, εἶπεν, ὡς δυνατὸν ἦν, βεβοήθηται τῇ πατρίδι καὶ τοῖς νόμοις. καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγε. καὶ τῶν φίλων φεύγειν παρακινέντων, ἐ προσεῖχεν, ἀλλὰ ποιήματα γράφων, ὠνείδιζε τοῖς Ἀθηναίοις·

Εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
Μή τι Θεοῖς τέτων μῆνιν ἐπαμφέρετε.
Αὐτοὶ γὰρ τέτες ηὐξήσατ' ἐρύματα [3] δόντες,
Καὶ διὰ ταῦτα κακὴν ἔχετε [4] δελοσύνην.

XXXI. Ἐπὶ τέτοις δὲ πολλῶν νεθετέντων αὐτὸν ὡς ἀποθανέμενον ὑπὸ τἒ τυράννε, καὶ πυνθανομένων, τίνι πιςεύων ἕτως ἀπονοεῖται; Τῷ γήρᾳ, εἶπεν. ἐ μὴν ἀλλ' ὁ Πεισίςρατος ἐγκρατὴς γενόμενος τῶν πραγμάτων,

1 B. 1. μὴ συνιςαμ.
2 Br. susp. πεπηγυῖαν.
3 Teste H. Steph. legitur etiam ηὐξήσατε ῥύματα, nec non ῥύσια pro ῥύματα. Pro μῆνιν versus præced. Diog. Laert. dat μοῖραν; uti idem ηὐξήσατε, ῥύσια.
4 Br. mavult ἴσχετε, *jam habetis*.

των, οὕτως ἐξεθεράπευσε τὸν Σόλωνα, τιμῶν καὶ φιλοφρονούμενος καὶ μεταπεμπόμενος, ὥστε καὶ σύμβουλον εἶναι, καὶ πολλὰ τῶν πρασσομένων ἐπαινεῖν. καὶ γὰρ ἐφύλαττε τοὺς πλείστους νόμους τοῦ Σόλωνος, ἐμμένων πρῶτος αὐτὸς, καὶ τοὺς φίλους ἀναγκάζων. ὅς γε καὶ φόνου προσκληθεὶς εἰς Ἄρειον πάγον ἤδη τυραννῶν, ἀπήντησε κοσμίως, ἀπολογησόμενος· ὁ δὲ κατήγορος οὐχ ὑπήκουσε. καὶ νόμους αὐτὸς ἑτέρους ἔγραψεν, ὧν ἐστι [1] καὶ ὁ τοὺς πηρωθέντας ἐν πολέμῳ δημοσίᾳ τρέφεσθαι κελεύων. τοῦτο δέ φησιν Ἡρακλείδης καὶ πρότερον ἐπὶ Θερσίππῳ πηρωθέντι τοῦ Σόλωνος ψηφισαμένου, μιμήσασθαι τὸν Πεισίστρατον. ὡς δὲ Θεόφραστος ἱστόρηκε, καὶ τὸν τῆς ἀργίας νόμον οὐ Σόλων ἔθηκεν, ἀλλὰ Πεισίστρατος, ᾧ τήν τε χώραν ἐνεργεστέραν καὶ τὴν πόλιν ἠρεμαιοτέραν ἐποίησεν. ὁ δὲ Σόλων ἀψάμενος μεγάλης τῆς περὶ τὸν Ἀτλαντικὸν λόγον ἢ μῦθον πραγματείας, ὃν διήκουσε [2] τῶν περὶ Σάϊν λογίων, προσήκοντα τοῖς Ἀθηναίοις, ἐξέκαμεν, οὐ δι' ἀσχολίαν, ὡς Πλάτων φησὶν, ἀλλὰ μᾶλλον ὑπὸ γήρως, φοβηθεὶς τὸ μέγεθος τῆς γραφῆς. ἐπεὶ σχολῆς γε περιουσίαν αὐτοῦ μηνύουσιν αἱ τοιαῦται φωναί·

Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

Καὶ,

Ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου,
Καὶ Μουσέων [3], ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

XXXII. Ὡς δὲ χώρας καλῆς ἔδαφος ὁ Πλάτων ἔρημον, αὐτῷ δέ πως κατὰ συγγένειαν προσῆκον, ἐξεργάσασθαι καὶ διακοσμῆσαι φιλοτιμούμενος τὴν Ἀτλαντικὴν ὑπόθεσιν, πρόθυρα μὲν μεγάλα, καὶ περιβόλους καὶ αὐλὰς τῇ ἀρχῇ περιέθηκεν, οἷα λόγος οὐδεὶς ἄλλος ἔσχεν,

1 B. 1. ὧν εἷς ἐστι.
2 R. fufp. ὃν δὴ ἤκουσε.
3 B. 1. 3. Μουσάων.

ἔσχεν, οὐδὲ μῦθος, οὐδὲ ποίησις. ὀψὲ δ' ἀρξάμενος, προκατέλυσε τοῦ ἔργου τὸν βίον, ὅσῳ μᾶλλον εὐφραίνει τὰ γεγραμμένα, τοσούτῳ μᾶλλον τοῖς ἀπολειφθεῖσιν ἀνιάσας. ὡς γὰρ ἡ πόλις τῶν Ἀθηναίων τὸ Ὀλυμπιεῖον, οὕτως ἡ Πλάτωνος σοφία τὸν Ἀτλαντικὸν ἐν πολλοῖς καλοῖς [1] μόνον ἔργον ἀτελὲς ἔσχηκεν. ἐπεβίωσε δ' οὖν ὁ Σόλων ἀρξαμένου τοῦ Πεισιστράτου τυραννεῖν, ὡς μὲν Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ, συχνὸν χρόνον, ὡς δὲ Φανίας ὁ Ἐρέσιος ἐλάττονα δυοῖν ἐτῶν. ἐπὶ Κωμίου μὲν γὰρ ἤρξατο τυραννεῖν Πεισίστρατος· ἐφ' [2] Ἡγεστράτου δὲ Σόλωνα φησὶν ὁ Φανίας ἀποθανεῖν, τοῦ μετὰ Κωμίαν ἄρξαντος. ἡ δὲ δὴ διασπορὰ κατακαυθέντος αὐτοῦ τῆς τέφρας περὶ τὴν Σαλαμινίων νῆσον, ἔστι μὲν διὰ τὴν ἀτοπίαν ἀπίθανος παντάπασι καὶ μυθώδης· ἀναγέγραπται δ' ὑπό τε ἄλλων ἀνδρῶν ἀξιολόγων, καὶ Ἀριστοτέλους τοῦ φιλοσόφου.

## ΠΟΠΛΙΚΟΛΑΣ.

ΤΟΙΟΥΤΩ δὲ γενομένῳ τῷ Σόλωνι τὸν Ποπλικόλαν παραβάλλομεν· ᾧ τοῦτο μὲν ὕστερον ὁ Ῥωμαίων δῆμος ἐξεῦρεν ἐπὶ τιμῇ τοὔνομα, πρὸ τοῦ [3] δὲ Πόπλιος Οὐαλέριος ἐκαλεῖτο· Οὐαλερίου δοκῶν ἀπόγονος εἶναι τῶν παλαιῶν ἀνδρὸς αἰτιωτάτου γενομένου Ῥωμαίους καὶ Σαβίνους ἐκ πολεμίων ἕνα γενέσθαι δῆμον. ὁ γὰρ μάλιστα τοὺς βασιλεῖς εἰς ταυτὸ πείσας συνελθεῖν καὶ διαλλάξας [4], ἐκεῖνός ἐστι. τούτῳ δὴ κατὰ γένος προσήκων Οὐαλέριος, ὥς φασι, βασιλευομένης μὲν ἔτι τῆς

1 R. susp. ἐν πολλοῖς καὶ καλοῖς.
2 B. 1. ἐξ.
3 Ita Anon. & B. 1. 3. Junt. Ald. — Vulg. dant πρὸ τούτου. Br. mavult προτοῦ.
4 B. 1. συνδιαλλάξαι.

τῆς Ῥώμης, ἐπιφανὴς ἦν διὰ λόγον καὶ πλοῦτον· ὧν τῷ μὲν ὀρθῶς καὶ μετὰ παῤῥησίας ἀεὶ χρώμενος ὑπὲρ τῶν δικαίων, ἀφ᾽ οὗ δὲ [1] τοῖς δεομένοις ἐλευθερίως καὶ φιλανθρώπως ἐπαρκῶν, δῆλος ἦν εὐθὺς, εἰ γένοιτο δημοκρατία, πρωτεύσων. ἐπεὶ δὲ Ταρκύνιον Σούπερβον, οὔτε λαβόντα τὴν ἀρχὴν καλῶς, ἀλλ᾽ ἀνοσίως καὶ παρανόμως, οὔτε χρώμενον αὐτῇ βασιλικῶς, ἀλλ᾽ ὑβρίζοντα καὶ τυραννοῦντα, μισῶν ὁ δῆμος καὶ βαρυνόμενος, ἀρχὴν ἀποστάσεως ἔλαβε τὸ Λουκρητίας πάθος, αὐτὴν ἐπὶ τῷ [2] βιασθῆναι διεργασαμένης· καὶ Λεύκιος Βροῦτος ἁπτόμενος τῶν πραγμάτων τῆς μεταβολῆς, ἐπὶ πρῶτον ἦλθε τὸν Οὐαλέριον, καὶ χρησάμενος αὐτῷ προθυμοτάτῳ, συνεξέβαλε τοὺς βασιλεῖς. καὶ μέχρι μὲν ἐπίδοξος ἦν ὁ δῆμος ἕνα χειροτονήσειν ἀντὶ τοῦ βασιλέως στρατηγὸν, ἡσυχίαν ἦγεν ὁ Οὐαλέριος, ὡς τῷ Βρούτῳ μᾶλλον ἄρχειν προσῆκον, ἡγεμόνι τῆς δημοκρατίας [3] γεγενημένῳ· δυσχεραινομένου δὲ τοῦ τῆς μοναρχίας ὀνόματος, καὶ δοκοῦντος ἂν ἀλυπότερον τοῦ δήμου μερισθεῖσαν [4] ὑπομεῖναι τὴν ἀρχὴν, καὶ δύο προβαλλομένου καὶ καλοῦντος, ἐλπίζων μετὰ τοῦ Βρούτου [5] αἱρεθήσεσθαι καὶ συνυπατεύσειν, διήμαρτεν. ᾑρέθη γὰρ ἄκοντι τῷ Βρούτῳ συνάρχων ἀντὶ τοῦ Οὐαλερίου Ταρκύνιος Κολλατῖνος, ὁ Λουκρητίας ἀνὴρ, οὐδὲν ἀρετῇ Οὐαλερίου διαφέρων. ἀλλ᾽ οἱ δυνατοὶ δεδιότες τοὺς βασιλεῖς, ἔτι πολλὰ

1 B. 1. τῷ δ᾽ ἀφ᾽ οὗ.

2 B. 1. ἐπὶ τό. Seq. καὶ aut delendum censet R. aut per *etiam* explicandum. Post τῶν πραγμ. l. seq. inserunt B. 1. 3. καί. — Voces tunc sequentes τῆς μεταβολῆς aut delenda censet R. cum sufficere possint τῶν πραγμ. & non dicatur ἅπτεσθαι τῆς μεταβ. sed ἔχεσθαι — aut, si serventur, legendum: ἁπτομ. τ. πραγμάτων, κοινωνήσοντα τῆς μεταβολῆς ἐπὶ πρῶτον.

3 Teste H. Steph. etiam legitur ἐλευθερίας.

4 Junt. Ald. & aliæ vetustiores vitiose μετρισθεῖσαν.

5 Junt. dat μετὰ τὸν Βροῦτον, quam lect. R. explicari posse censet *secundum Brutum*, cui primæ partes debebantur.

πολλὰ πειρῶντας ἔξωθεν, καὶ μαλάσσοντας τὴν πόλιν, ἐβέλοντο τὸν ἐντονώτατον αὐτοῖς ἐχθρὸν ἔχειν στρατηγὸν, ὡς ἐχ ὑφησόμενον.

II. Ἀγανακτῶν ἐν ὁ Οὐαλέριος, εἰ μὴ πιστεύεται πάντα πράττειν ἕνεκα τῆς πατρίδος, ὅτι μηδὲν ἰδίᾳ κακὸν ὑπὸ τῶν τυράννων πέπονθε, τῆς τε βελῆς ἀπέστη, καὶ τὰς συνηγορίας ἀπεῖπε, καὶ τὸ πράττειν τὰ κοινὰ παντελῶς ἐξέλιπεν· ὥστε καὶ λόγον τοῖς πολλοῖς παρασχεῖν καὶ Φροντίδα, Φοβεμένοις, μὴ δι' ὀργὴν προσθέμενος τοῖς βασιλεῦσιν ἀνατρέψῃ [1] τὰ πράγματα, καὶ τὴν πόλιν ἐπισφαλῶς ἔχεσαν. ἐπεὶ δὲ καὶ πρὸς ἑτέρες τινὰς ὑποψίαν ἔχων ὁ Βρῦτος ἐβέλετο διὰ σφαγίων ὁρκῶσαι τὴν βελὴν, καὶ προεῖπεν ἡμέραν, κατέβη μάλα Φαιδρὸς εἰς ἀγορὰν ὁ [2] Οὐαλέριος, καὶ πρῶτος ὀμόσας μηδὲν ἐνδώσειν, μηδ' ὑφήσεσθαι Ταρκυνίῳ, ἀλλὰ πολεμήσειν κατὰ κράτος ὑπὲρ τῆς ἐλευθερίας, ἡδονήν τε τῇ βελῇ καὶ θάρσος ἅμα τοῖς ἄρχεσι παρέσχεν. εὐθὺς δὲ καὶ τὰ ἔργα τὸν ὅρκον ἐβεβαίε [3]. πρέσβεις γὰρ ἦκον ἀπὸ Ταρκυνίε γράμματα κομίζοντες ἐπαγωγὰ τε̃ δήμε, καὶ λόγες ἐπιεικεῖς, οἷς μάλιστα τὲς πολλὲς ᾤοντο [4] διαφθείρειν, λεγομένοις παρὰ βασιλέως, ἀφεικέναι τὸ φρόνημα καὶ μετρίων δεῖσθαι δοκε̃ντος. τέτες εἰς τὸ πλῆθος οἰομένων δεῖν τῶν ὑπάτων προάγειν, ἐκ εἴασεν ὁ Οὐαλέριος, ἀλλ' ἐνέστη καὶ διεκώλυσεν ἀνθρώποις πένησι, καὶ μᾶλλον βαρυνομένοις τῆς τυραννί-

 δος

1 B. 1. 3. Junt. ἀναστρέψῃ.

2 Revocavit Br. hunc artic. e Junt. omissum in Aldina reliquisque eam insecutis.

3 B. 1. ἐβεβαίεν.

4 Junt. Ald. ᾤετο, ad Tarquinium refer. — Pro διαφθείρειν R. mavult διαφθερεῖν in fut. Pro λεγομένοις Anon. λεγομένες. Quod si admittendum, necesse erit etiam ἐς legi, sc. λόγες.

δος τὸν πόλεμον, ἀρχὰς καὶ προφάσεις νεωτερισμῶν ἐγγενέσθαι.

III. Μετὰ δὲ ταῦτα πρέσβεις ἧκον ἕτεροι, τῆς τε βασιλείας ἀφίςασθαι, καὶ πολεμοῦντα παύσασθαι τὸν Ταρκύνιον λέγοντες, ἀπαιτεῖν δὲ τὰ χρήματα, καὶ τὰς οὐσίας αὐτῷ, καὶ φίλοις καὶ οἰκείοις, ἀφ' ὧν διαβιώσονται φεύγοντες [1]. ἐπικλωμένων δὲ πολλῶν, καὶ μάλιςα τοῦ Κολλατίνου συναγορεύοντος, ἄτρεπτος [2] ὢν ἀνὴρ καὶ τραχὺς ὀργὴν ὁ Βροῦτος, ἐξέδραμεν εἰς ἀγορὰν, προδότην ἀποκαλῶν τὸν συνάρχοντα, πολέμου καὶ τυραννίδος ἀφορμὰς χαριζόμενον, οἷς δεινὸν ἦν ὄντως ἐφόδια φυγῆς ψηφίσασθαι. συνελθόντων δὲ τῶν πολιτῶν, πρῶτος [3] ἰδιώτης ἀνὴρ εἶπεν ἐν δήμῳ τότε Γάϊος Μινούκιος, τῷ τε Βρούτῳ διακελευόμενος, καὶ τοῖς Ῥωμαίοις παραινῶν, ὁρᾷν, ὅπως τὰ χρήματα μετ' αὐτῶν ὄντα πολεμοίη πρὸς τοὺς τυράννους μᾶλλον, ἢ μετ' ἐκείνων πρὸς αὐτούς. οὐ μὴν ἀλλ' ἔδοξε τοῖς Ῥωμαίοις, τὴν ἐλευθερίαν ἔχουσιν, ὑπὲρ ἧς ἐπολέμουν, μὴ προέσθαι τὴν εἰρήνην ἕνεκα χρημάτων, ἀλλὰ συνεκβάλλειν καὶ ταῦτα τοῖς τυράννοις. ἦν δ' ἄρα Ταρκυνίῳ λόγος μὲν ἐλάχιςος τῶν χρημάτων, ἡ δ' ἀπαίτησις ἅμα [4] πεῖρα τοῦ δήμου, καὶ κατασκευὴ προδοσίας. καὶ ταύτην ἔπραττον οἱ πρέσβεις, ὑπομένοντες ἐπὶ τῇ τῶν χρημάτων προφάσει, τὰ μὲν ἀποδίδοσθαι, τὰ δὲ φυλάττειν, τὰ

1 Lectio & interpunctio edit. Francf. ita se habet: αὐτῷ· καὶ φίλοις καὶ οἰκείοις, ἀφ' ὧν διαβιώσονται, φεύγοντες. In variant. catal. annotatum est: Anon. habere καὶ φίλοις καὶ οἰκείοις.

2 Ita Anon. B. 1. 3. — Vulg. ἄτρεςος. B. 1. legit paulo post εἰς ὀργὴν, unde Br. susp. ταχὺς legendum.

3 Junt. πρώτως, quasi hæc esset sententia, plebe tum primum in concionem congressa.

4 B. 1. ἦν ἅμα, quod Br. placet. Paulo post pro ταύτην B. 1. 3. ταῦτ'.

τὰ δ' ἀποπέμπειν φάσκοντες, ἄχρις οὗ διέφθειραν οἴκους δύω τῶν καλῶν κἀγαθῶν νομιζομένων, τὸν Ἀκυλίων τρεῖς ἔχοντα βουλευτὰς, καὶ δύο τὸν Οὐϊτελλίων [1]. οὗτοι πάντες ἦσαν ἀπὸ [2] μητέρων ἀδελφιδοὶ [3] Κολλατίνου τοῦ ὑπατεύοντος· ἰδίᾳ δὲ Οὐϊτελλίοις ἑτέρα πρὸς Βροῦτον οἰκειότης ὑπῆρχεν. ἀδελφὴν γὰρ αὐτῶν ὁ Βροῦτος εἶχε, καὶ παῖδας ἐξ αὐτῆς πλείονας· ὧν δύο τοὺς [4] ἐν ἡλικίᾳ, συγγενεῖς ὄντας ἅμα καὶ συνήθεις, οἱ Οὐϊτέλλιοι προσηγάγοντο, καὶ συνέπεισαν ἐν τῇ προδοσίᾳ γενέσθαι, καὶ καταμίξαντας ἑαυτοὺς εἰς γένος μέγα τὸ τῶν Ταρκυνίων καὶ βασιλικὰς ἐλπίδας, ἀπαλλαγῆναι τῆς τοῦ πατρὸς ἀβελτερίας καὶ χαλεπότητος. χαλεπότητα μὲν τὸ ἀπαραίτητον αὐτοῦ πρὸς τοὺς πονηροὺς [5] λέγοντες· τῇ δ' ἀβελτερίᾳ προσποιήματι καὶ παρακαλύμματι πολὺν χρόνον, ὡς ἔοικε, χρησάμενος ἀσφαλείας ἕνεκα πρὸς τοὺς τυράννους, οὐδ' ὕστερον ἔφυγεν αὐτῆς τὴν ἐπωνυμίαν.

IV. Ὡς δ' οὖν ἐπείσθη [6] τὰ μειράκια, καὶ τοῖς Ἀκυλίοις εἰς λόγους ἦλθεν, ὅρκον ὀμόσαι μέγαν ἔδοξε πᾶσι καὶ δεινὸν, ἀνθρώπου σφαγέντος ἐπισπείσαντας [7] αἷμα, καὶ τῶν σπλάγχνων θιγόντας. ἐπὶ τούτοις εἰς



1 Ita hic locus a R. emendatus. Vulg. dant: τῶν Ἀκυλίων τρ. ἔχοντας βουλ. καὶ δ. τῶν Οὐϊτ. — Per βουλευτὰς R. non senatores, sed factionis socios vult intelligi, uti jam Xyl. vertit: Aquilliorum & Vitelliorum, ex hac duobus, ex illa tribus consilii sociis sibi adscitis. Aliter sentit Schirach, *Senatoren* vertens. Prius δύω dant B. 1. 3. Junt. δύο.

2 B. 1. 3. Junt. Ald. ὑπό.

3 Sic recte prima dedit Aldina; vitiose Junt. ἀδελφοί.

4 B. 3. ὧν δὴ τοὺς; B. 1. deest sequens ἅμα.

5 R. deesse videtur μῖσος.

6 B. 1. 3. συνεπείσθη.

7 Junt. sola dat ἐπισπάσαντες. Non prorsus rejicienda videtur Br. hæc lectio, cum σπᾶν Græcis, & trahere Latinis sæpe usurpetur pro bibere.

τὴν Ἀκυλίων οἰκίαν συνῆλθον. ἦν δ' οἶκος, ἐν ᾧ ταῦτα δράσειν ἔμελλον, οἷον εἰκὸς, ὑπέρημος καὶ σκοτώδης. ἔλαθεν οὖν αὐτοὺς οἰκέτης, ὄνομα [1] Οὐινδίκιος, ἔνδον κατακρύψας ἑαυτὸν, οὐ κατ' ἐπιβουλὴν, ἢ προαίσθησίν τινα τοῦ μέλλοντος, ἀλλ' ἔνδον ὢν ἔτυχε, καὶ προσιοῦσιν αὐτοῖς μετὰ σπουδῆς ὀφθῆναι φοβηθεὶς, ὑπέστη [2], λάρνακα κειμένην πρὸ αὐτοῦ ποιησάμενος, ὥστε καὶ τῶν πραττομένων [3] θεατὴς γενέσθαι, καὶ τῶν βουλευμάτων ἐπήκοος. ἔδοξε δ' αὐτοῖς τοὺς ὑπάτους ἀναιρεῖν· καὶ ταῦτα δηλοῦσας γράψαντες ἐπιστολὰς πρὸς τὸν Ταρκύνιον, ἔδωκαν τοῖς πρέσβεσι. καὶ γὰρ ᾤκουν αὐτόθι, τῶν Ἀκυλίων ξένοι γεγονότες, καὶ τότε τῇ συνωμοσίᾳ παρῆσαν. ὡς δὲ ταῦτα πράξαντες ἀπηλλάγησαν [4], ὑπεξελθὼν ὁ Οὐινδίκιος λάθρα χρήσασθαι τοῖς προσπεσοῦσιν οὐκ εἶχεν [5], ἀλλ' ἠπορεῖτο, δεινὸν μὲν ἡγούμενος, ὥσπερ ἦν, πρὸς πατέρα Βροῦτον υἱῶν ἐξάγιστα κατηγορεῖν, ἢ πρὸς θεῖον ἀδελφιδῶν, τὸν Κολλατῖνον· ἰδιώτην δὲ Ῥωμαίων οὐδένα νομίζων ἐχέγγυον ἀποῤῥήτων τηλικούτων, πᾶν δ' αὖ μᾶλλον, ἢ δυνατὸς ὢν ἡσυχίαν [6] ἄγειν. ἐλαυνόμενος δὲ [7] τῷ συνειδότι τοῦ πράγματος, ὥρμησέ πως [8] πρὸς τὸν Οὐαλέριον, μάλιστά πως τοῖς κοινοῖς καὶ φιλανθρώποις [9] ἐπαχθεὶς τοῦ ἀνδρὸς,

1 B. 1. τοὔνομα.

2 Br. mavult ὑπεξέστη. R. autem defendit lect. vulg.

3 Junt. Ald. πραγμάτων.

4 V. ἀπῄεσαν.

5 Junt. Ald. ἔσχεν.

6 B. 1. μᾶλλον οὐκ ἦν δυνατὸς ἡσυχίαν.

7 Ex mente Br. legendum vel τὸ, vel δή. Poſterius præfert. In B. 1. 3. deeſt δὲ.

8 Delendum cenſet Br. cum proxime ſequatur μάλιστά πως.

9 Br. mavult τῷ κοινῷ καὶ φιλανθρώπῳ, ceu uſitatiorem loquendi formulam. R. autem poſt ἀνδρὸς deeſſe cenſet τρόποις.

ἀνδρὸς, ὅτι πᾶσιν εὐπρόσοδος ἦν τοῖς δεομένοις, καὶ τὴν οἰκίαν ἀεὶ παρεῖχεν ἀνεῳγμένην, καὶ λόγον οὐδενὸς, οὐδὲ χρείαν ἀπέῤῥιπτε [1] τῶν ταπεινῶν.

V. Ὡς οὖν ἀνέβη πρὸς αὐτὸν ὁ Οὐινδίκιος καὶ κατεῖπε πάντα, Μάρκου τε τοῦ ἀδελφοῦ παρόντος αὐτῷ μόνου, καὶ τῆς γυναικὸς, ἐκπλαγεὶς καὶ δείσας ὁ Οὐαλέριος, οὐκέτι προήκατο τὸν ἄνθρωπον, ἀλλὰ κατακλείσας εἰς τὸ οἴκημα, καὶ φύλακα τὴν ἑαυτοῦ γυναῖκα ταῖς θύραις ἐπιστήσας, τὸν μὲν ἀδελφὸν ἐκέλευσε τὴν βασιλικὴν ἔπαυλιν περιϊσχόντα, τὰ γράμματα λαβεῖν, ἂν δυνατὸν ᾖ, καὶ τοὺς οἰκέτας παραφυλάττειν· αὐτὸς δὲ, πελατῶν τε πολλῶν καὶ φίλων ἀεὶ περὶ αὐτὸν ὄντων, καὶ θεραπείας συχνῆς, ἐβάδιζε πρὸς τὴν οἰκίαν τῶν Ἀκυλίων, οὐκ ἔνδον ὄντων. διὸ μηδενὸς ἂν προσδοκήσαντος, ὠσάμενος διὰ τῶν θυρῶν, ἐντυγχάνει τοῖς γράμμασι κειμένοις, ὅπου κατέλυον οἱ πρέσβεις. ταῦτα δ' αὐτοῦ [2] πράττοντος, οἱ Ἀκύλιοι δρόμῳ προσεφέροντο, καὶ περὶ τὰς θύρας συμμίξαντες, ἐζήτουν ἀφελέσθαι τὰς ἐπιστολάς. οἱ δ' ἠμύναντο, καὶ τὰ ἱμάτια περιβαλόντες αὐτῶν τοῖς τραχήλοις, ὑπὸ βίας καὶ μόλις, ὠθούμενοι καὶ ὠθοῦντες, διὰ τῶν στενωπῶν εἰς τὴν ἀγορὰν ἐνέβαλον. τὰ δ' αὐτὰ καὶ περὶ τὴν ἔπαυλιν ἅμα τὴν βασιλικὴν ἐγίνετο, τοῦ Μάρκου γραμμάτων ἑτέρων ἐν [3] τοῖς σκεύεσι κομιζομένων ἐπιλαβομένου, καὶ τῶν βασιλικῶν ὅσους δυνατὸς ἦν ἕλκοντος εἰς τὴν ἀγοράν.

VI. Ἐπεὶ δὲ τὸν θόρυβον κατέπαυσαν οἱ ὕπατοι, καὶ τοῦ Οὐαλερίου κελεύσαντος, ἐκ τῆς οἰκίας Οὐινδίκιος



1 V. ἀπεῤῥίπτει.

2 Junt. & Ald. dant αὐτῷ πράττοντος, unde Br. effici posse colligit αὐτῶν πραττόντων, Poplicola, & ejus clientibus, ob insequentia οἱ δ' ἠμύναντο.

3 deest Junt. & Ald. — Pro κομιζ. V. συγκομιζομένων.

δίκιος προήχθη, καὶ γενομένης κατηγορίας, ἀνεγνώσθη τὰ γράμματα, καὶ πρὸς οὐδὲν ἐτόλμησαν ἀντειπεῖν οἱ ἄνδρες· ἦν μὲν κατήφεια καὶ σιωπὴ τῶν ἄλλων, ὀλίγοι δὲ, βουλόμενοι τῷ Βρούτῳ χαρίζεσθαι, φυγῆς ἐμέμνηντο. καί τι καὶ [1] Κολλατῖνος αὐτοῖς ἐλπίδος ἐπιεικοῦς ἐνεδίδου, δεδακρυμένος, καὶ Οὐαλέριος σιωπῶν. ὁ δὲ Βροῦτος ὀνομαστὶ τοῖν υἱοῖν [2] ἑκάτερον προσειπών· Ἄγε, ὦ Τίτε, εἶπεν, ἄγε, ὦ Οὐαλέριε, τί οὐκ ἀπολογεῖσθε πρὸς τὴν κατηγορίαν; Ὡς δ' οὐδὲν ἀπεκρίναντο τρὶς ἐρωτηθέντες, οὕτως ἀποστρέψας πρὸς τοὺς ὑπηρέτας τὸ πρόσωπον· Ὑμέτερον ἤδη, εἶπε, τὸ λοιπὸν τὸ ἔργον [3]. οἱ δ' εὐθὺς συλλαβόντες [4] τοὺς νεανίσκους, περιερρήγνυον τὰ ἱμάτια, τὰς χεῖρας ἀπῆγον ὀπίσω, ῥάβδοις ἔξαινον τὰ σώματα· τῶν μὲν ἄλλων οὐ δυναμένων προσορᾷν, οὐδὲ καρτερούντων, ἐκεῖνον δὲ [5] λέγεται μήτε τὰς ὄψεις ἀπαγαγεῖν ἀλλαχόσε, μήτ' οἴκτῳ τι τρέψαι τῆς περὶ τὸ πρόσωπον ὀργῆς καὶ βαρύτητος, ἀλλὰ δεινὸν ἐνορᾷν κολαζομένοις τοῖς παισὶν, ἄχρις οὗ κατατείναντες αὐτοὺς ἐπὶ τοὔδαφος, πελέκει τὰς κεφαλὰς ἀπέκοψαν. οὕτω δὲ τοὺς ἄλλους ἐπὶ τῷ συνάρχοντι ποιησάμενος, ᾤχετ' ἐξαναστάς· ἔργον εἰργασμένος, οὔτ' ἐπαινεῖν βουλομένοις ἀξίως, οὔτε ψέγειν, ἐφικτόν. ἢ γὰρ ἀρετῆς ὕψος εἰς ἀπάθειαν ἐξέστησε τὴν ψυχὴν, ἢ πάθους μέγεθος εἰς ἀναλγησίαν. οὐδέτερον δὲ μικρὸν, οὐδ' ἀνθρώπινον, ἀλλ' ἢ θεῖον, ἢ θηριῶδες. δίκαιον δὲ τῇ δόξῃ τοῦ ἀνδρὸς τὴν κρίσιν ἕπεσθαι μᾶλλον, ἢ τὴν ἀρετὴν ἀσθενείᾳ τοῦ κρίνοντος ἀπιστεῖσθαι. Ῥωμαῖοι γὰρ οὐ τοσοῦτον ἔργον οἴονται Ῥωμύλου γενέσθαι τῆς πόλεως τὴν ἵδρυ-

1 B. 1. 3. Junt. Ald. καίτοι καὶ.

2 Ita dedit R. de suo. B. 1. 3. τῶν υἱῶν. Vulg. τὸν υἱόν.

3 H. Steph. artic. ante ἔργον delendum censet.

4 Junt. Ald. συλλαβόμενοι.

5 deest B. 1. uti & τι seq. l. post οἴκτῳ.

ὕβρυσιν, ὅσον Βρέτε, τὴν κ]ίσιν [1] τῆς πολιτείας καὶ κατάςασιν.

VII. Ὡς δ' ἐν ἀπῆλθεν ἐξ ἀγορᾶς τότε, πολὺν μὲν χρόνον ἔκπληξις εἶχε καὶ φρίκη [2] καὶ σιωπὴ πάντας ἐπὶ τοῖς διαπεπραγμένοις· πρὸς δὲ τὴν τε Κολλατίνε μαλακίαν καὶ μέλλησιν ἀνεθάῤῥησαν οἱ Ἀκύλιοι, καὶ χρόνον ἠξίεν λαβόντες ἀπολογήσαθαι, καὶ τὸν Οὐινδίκιον αὐτοῖς ἀποδοθῆναι, δελον ὄντα, καὶ μὴ παρὰ τοῖς κατηγόροις εἶναι. βελομένε δὲ ταῦτα συγχωρεῖν, καὶ διαλύοντος ἐπὶ τέτοις τὴν ἐκκλησίαν, ὁ Οὐαλέριος ἔτε τὸν ἄνθρωπον οἷός τ' ἦν ἀφεῖναι τῷ περὶ αὐτὸν ὄχλῳ καταμεμιγμένον [3], ἔτε τὸν δῆμον εἶα προέμενον τὲς προδότας ἀπελθεῖν. τέλος δὲ τοῖς σώμασιν ἐπιβαλὼν τὰς χεῖρας, ἐπεκαλεῖτο τὸν Βρετον, καὶ τὸν Κολλατῖνον ἐβόα δεινὰ ποιεῖν, εἰ τῷ συνάρχοντι παιδοφονίας ἀνάγκην προστριψαμένες [4] αὐτὸς οἴεται δεῖν καταχαρίζεθαι ταῖς γυναιξὶ τὲς προδότας καὶ πολεμίες τῆς πατρίδος. ἀγανακ]ἔντος δὲ τε ὑπάτε, καὶ κελεύοντος ἀπάγεθαι τὸν Οὐινδίκιον, οἱ μὲν ὑπηρέται διωσάμενοι τὸν ὄχλον, ἥπ]οντο τε ἀνθρώπε, καὶ τὲς ἀφαιρεμένες ἔτυπ]ον, οἱ δὲ φίλοι τε Οὐαλερίε προέςησαν ἀμυνόμενοι. καὶ ὁ δῆμος ἐβόα, κελεύων παρεῖναι τὸν Βρετον. ἧκεν ἐν αὖθις ὑποςρέψας· καὶ γενομένης αὐτῷ σιωπῆς εἶπεν· ὅτι τοῖς μὲν υἱοῖς αὐτὸς ἀποχρῶν ἦν δικαςὴς, περὶ δὲ τῶν ἄλλων τοῖς πολίταις, ἐλευθέροις ἐσι, ψῆφον δίδωσι· λεγέτω δὲ ὁ βελόμενος καὶ πειθέτω τὸν δῆμον. ἐκέτι μέντοι [5] λόγων ἐδέησεν, ἀλλὰ



1 Ita V. Apon. Vulgo τὴν κ]ῆσιν.

2 desunt καὶ φρίκη B. 1. — nec non τε l. seq. ante Κολλατίνε in Junt. & Ald.

3 R. mavult ἐγκαταμεμιγμένον.

4 Ita dedit R. de suo, ad τὲς προδότας referens. Vulg. προστριψάμενος.

5 Junt. Ald. μέν τι, & paulo post ἐδέησαν pro ἐδέησεν.

ἀλλὰ τῆς ψήφε δοθείσης, πᾶσαις ἀλόντες ἐπελευίθησαν. ὁ δὲ Κολλατῖνος ἦν μὲν, ὡς ἔοικεν, ἐν ὑποψίᾳ τινὶ καὶ [1] διὰ συγγένειαν τῶν βασιλέων, ἤχθοντο δ' αὐτῷ καὶ τῷ δευτέρῳ τῶν ὀνομάτων, ἀφοσιέμενοι τὸν Ταρκύνιον. ὡς δὲ ταῦτα συνέβη, παντάπασι προσκρέσας, ἀφῆκε τὴν ἀρχὴν ἑκὼν, καὶ τῆς πόλεως ὑπεξῆλθεν. ὅτω δὴ πάλιν ἀρχαιρεσιῶν γενομένων, ὕπατος ἀνεδείχθη λαμπρῶς Οὐαλέριος, ἀξίαν ἀπολαβὼν [2] τῆς προθυμίας χάριν· ἧς οἰόμενός τι δεῖν ἀπολαῦσαι τὸν Οὐινδίκιον, ἐψηφίσατο πρῶτον ἀπελεύθερον ἐκεῖνον ἐν τῇ [3] Ῥώμῃ γενέσθαι πολίτην, καὶ φέρειν ψῆφον, ᾗ βέλοιτο φρατρίᾳ προσνεμηθέντα. τοῖς δ' ἄλλοις ἀπελευθέροις ὀψὲ καὶ μετὰ πολὺν χρόνον ἐξεσίαν ψήφε δημαγωγῶν ἔδωκεν Ἄππιος· ἡ δὲ παντελὴς ἀπελευθέρωσις ἄχρι νῦν Οὐινδίκτα λέγεται, δι' ἐκεῖνον, ὥς φασι, τὸν Οὐινδίκιον.

VIII. Ἐκ τέτε, τὰ μὲν χρήματα τῶν βασιλέων διαρπάσαι [4] τοῖς Ῥωμαίοις ἔδωκαν, τὴν δ' οἰκίαν κατέσκαψαν καὶ τὴν ἔπαυλιν. τε δ' Ἀρείε πεδίε [5] τὸ ἥδισον ἐκέκτητο Ταρκύνιος, καὶ τοῦτο τῷ Θεῷ καθιέρωσαν. ἔτυχε δὲ τεθερισμένον ἄρτι· καὶ κειμένων ἔτι τῶν δραγμάτων, ἐκ ᾤοντο δεῖν ἀλοᾷν, ἐδὲ χρῆσθαι διὰ τὴν καθιέρωσιν, ἀλλὰ συνδραμόντες ἐφόρεν τὰς ἀμάλλας εἰς τὸν ποταμόν. ὡς δ' αὔτως καὶ τὰ δένδρα κόπτοντες ἐνέβαλον, ἀργὸν παντάπασι τὸ χωρίον ἀνιέντες τῷ Θεῷ καὶ ἄκαρπον· ὠθεμένων δὲ πολλῶν ἐπ' ἀλλήλοις καὶ ἀθρόων, ὑπήγαγεν ὁ ῥὲς ἐ πολὺν τόπον, ἀλλ' ὅπε τὰ πρῶτα συνενεχθέντα [6] καὶ περιπεσόντα

1 deest B. 1.
2 B. 1. λαβών.
3 deest B. 1. 3. Junt.
4 B. 1. διαρπάσαντες.
5 R. susp. πεδίε, ἐ τὸ ἥδισον. B. 1. deest πεδίε.
6 Teste H. Steph. etiam legitur συνδεθέντα. R. si quid mutandum sit, censet συνενεχθέντα.

τα τοῖς στερεοῖς ὑπέστη, τῶν δ' ἐπιφερομένων διέξοδον οὐκ ἐχόντων, ἀλλ' ἐνισχομένων καὶ περιπλεκομένων, ἐλάμβανεν ἡ σύμπηξις ἰσχὺν [1] καὶ ῥίζωσιν αὐξανομένην ὑπὸ τοῦ ῥεύματος. ἰλύν τε γὰρ ἐπήγαγε πολλὴν, ἣ προσισταμένη τροφὴν [2] παρεῖχεν ἅμα καὶ κόλλησιν, αἵ τε πληγαὶ σάλον οὐκ ἐποίουν, ἀλλὰ μαλακῶς πιέζουσαι συνήλαυνον εἰς ταυτὸ πάντα καὶ συνέπλαττον. ὑπὸ δὲ μεγέθους καὶ στάσεως, ἕτερον αὐτῷ [3] μέγεθος ἐκτᾶτο, καὶ χώραν ἀναδεχομένην τὰ πλεῖστα τῶν ὑπὸ τοῦ ποταμοῦ καταφερομένων. τοῦτο νῦν νῆσός ἐστιν ἱερὰ κατὰ τὴν πόλιν, ἔχει δὲ ναοὺς Θεῶν καὶ περιπάτους, καλεῖται δὲ τῇ Λατίνων φωνῇ, μέση δυοῖν γεφυρῶν. ἔνιοι δὲ τοῦτο συμπεσεῖν ἱστοροῦσιν, οὐχ ὅτε Ταρκυνίου καθιερώθη τὸ πεδίον, ἀλλὰ χρόνοις ὕστερον ἄλλο χωρίον ὁμοροῦν [4] ἐκείνῳ Ταρκυνίας ἀνείσης. ἡ δὲ Ταρκυνία, παρθένος ἦν ἱέρεια μία τῶν Ἑστιάδων. ἔσχε δὲ τιμὰς ἀντὶ τούτου μεγάλας, ἐν αἷς ἦν καὶ τὸ μαρτυρίαν αὐτῆς δέχεσθαι μόνης γυναικῶν· τὸ δ' ἐξῆναι γαμεῖσθαι ψηφισαμένων, οὐ προσεδέξατο. καὶ ταῦτα μὲν οὕτω γενέσθαι μυθολογοῦσι.

IX. Ταρκύνιον δὲ τὴν ἐκ προδοσίας ἀπογνόντα τῆς ἀρχῆς ἀνάληψιν, ἐδέξαντο Τυῤῥηνοὶ προθύμως, καὶ μεγάλῃ δυνάμει κατῆγον. ἀντεξῆγον δὲ τοὺς Ῥωμαίους οἱ ὕπατοι, καὶ παρέταξαν ἐν χωρίοις ἱεροῖς, ὧν τὸ μὲν Οὔρσον ἄλσος, τὸ δὲ Αἰσούειον λειμῶνα προσαγορεύουσιν. ἀρχομένων δ' αὐτῶν συνάγειν εἰς χεῖρας, Ἄῤῥων ὁ Ταρκυνίου παῖς, καὶ Βροῦτος ὁ Ῥωμαίων ὕπατος, οὐ κατὰ τύχην ἀλλήλοις περιπεσόντες, ἀλλ' ὑπ' ἔχθους καὶ ὀργῆς, ὁ μὲν ὡς ἐπὶ τύραννον καὶ πολέμιον τῆς πατρίδος,

4 B. 1. 2. ἀρχήν.
5 V. Anon. στροφήν.
6 V. αὐτό.
7 B. 1. 2. ὁμοῤῥοῦν.

δος, ὁ δὲ τῆς φυγῆς ἀμυνόμενος, ὥρμησαν ὁμόσε τοῖς ἵπποις. θυμῷ δὲ μᾶλλον, ἢ λογισμῷ προσμίξαντες, ἠφείδησαν αὐτῶν [1], καὶ συναπέθανον ἀλλήλοις. οὕτω δὲ δεινοῦ γενομένου τοῦ προάγωνος, οὐκ ἔσχεν ὁ ἀγὼν τέλος ἐπιεικέστερον, ἀλλὰ καὶ δράσαντες ἴσα καὶ παθόντες οἱ στρατοὶ διεκρίθησαν ὑπὸ χειμῶνος. ἦν οὖν ἐν ἀπόροις ὁ Οὐαλέριος, οὐκ εἰδὼς τὸ τῆς μάχης πέρας, ἀλλὰ τοὺς στρατιώτας ὁρῶν τοῖς μὲν αὐτῶν νεκροῖς ἀθυμοῦντας, ἐπαιρομένους δὲ τοῖς τῶν πολεμίων· οὕτως ἄκριτος ἦν καὶ παράλληλος [2] ὑπὸ πλήθους ὁ φόνος. οὐ μὴν ἀλλ᾽ ἑκατέροις ἐγγύθεν ὁρώμενα τὰ οἰκεῖα μᾶλλον ἐβεβαίου τὴν ἧτταν, ἢ τὴν νίκην εἰκαζόμενα τὰ τῶν πολεμίων. ἐπελθούσης δὲ νυκτὸς, οἵαν εἰκὸς οὕτω μεμαχημένοις, καὶ γενομένων ἐν ἡσυχίᾳ τῶν στρατοπέδων, λέγουσι σεισθῆναι τὸ ἄλσος, ἐκ δ᾽ αὐτοῦ φωνὴν ἐκπεσεῖν μεγάλην φράζουσαν, ὡς ἑνὶ πλείους ἐν τῇ μάχῃ τεθνήκασι Τυῤῥηνῶν [3], ἢ Ῥωμαίων· ἦν δ᾽ ἄρα θεῖόν τι τὸ φθεγξάμενον. εὐθύς τε γὰρ ὑπ᾽ αὐτοῦ [4], τοῖς μὲν ἀλαλάξαι παρέστη μέγα καὶ θαῤῥαλέον· οἱ δὲ Τυῤῥηνοὶ, περίφοβοι γενόμενοι καὶ συνταραχθέντες, ἐξέπεσον ἐκ τοῦ στρατοπέδου, καὶ διεσπάρησαν οἱ πλεῖστοι. τοὺς δὲ καταλειφθέντας ὀλίγῳ πεντακισχιλίων ἐλάσσους ἐπελθόντες εἷλον οἱ Ῥωμαῖοι, καὶ τἆλλα διήρπασαν. οἱ δὲ νεκροὶ διαριθμηθέντες, εὑρέθησαν τριακόσιοι μὲν ἐπὶ χιλίοις καὶ μυρίοις οἱ τῶν πολεμίων, οἱ δὲ Ῥωμαίων, παρ᾽ ἕνα τοσοῦτοι. ταύτην τὴν μάχην λέγουσι γενέσθαι πρὸ μιᾶς καλανδῶν Μαρτίου. ἐθριάμβευσε δ᾽ ἀπ᾽ αὐτῆς Οὐαλέριος, εἰσελάσας τεθρίππῳ πρῶτος ὑπάτων. καὶ τὸ πρᾶγμα

1 Sic Ald. — Junt. vitiose *αὐτοῖς.*

2 R. quærit, num *ἀπαραμίλλητος*, i. e. *οὕτως ἦν μέγας, ὥστε μὴ δύνασθαι ἁμιλλᾶσθαι*, i. e. *παραβάλλειν πρὸς τὸ πλῆθος τῶν παρὰ τοῖς πολεμίοις νεκρῶν.*

3 B. 1. *Τυῤῥηνοί.*

4 R. mavult *ἀπ᾽ αὐτοῦ*, *statim ab illa voce audita.*

πρᾶγμα σεμνὴν καὶ μεγαλοπρεπῆ παρέχεν ὄψιν, ἐκ ἐπίφθονον, ἐδ' ἀνιάσασαν, ὡς ἔνιοι λέγεσι, τὲς ὁρῶντας· ἐ γὰρ ἂν ἔχε ζῆλον τοσῦτον, ἐδὲ φιλοτιμίαν εἰς ἔτη πάμπολλα διαμένεσαν. ἀπεδέξαντο δὲ τῦ Οὐαλερίε καὶ τὰς εἰς τὸν συνάρχοντα τιμὰς, αἷς ἐκκομιζόμενον καὶ θαπτόμενον ἐκόσμησε· καὶ λόγον [1] ἐπ' αὐτῷ διεξῆλθεν ἐπιτάφιον, ὃς ἔτως ὑπὸ Ῥωμαίων ἠγαπήθη, καὶ τοσαύτην ἔχε χάριν, ὥστε πᾶσι τοῖς ἀγαθοῖς καὶ μεγάλοις ὑπάρχειν ἐξ ἐκείνε τελευτήσασιν ὑπὸ τῶν ἀρίστων ἐγκωμιάζεσθαι. λέγεται δὲ καὶ τῶν Ἑλληνικῶν ἐπιταφίων ἐκεῖνος γενέσθαι πρεσβύτερος· εἴγε μὴ καὶ τῦτο Σόλωνός ἐστιν, ὡς Ἀναξιμένης ὁ ῥήτωρ ἱστόρηκεν.

X. Ἀλλὰ δι' ἐκεῖνα μᾶλλον ἤχθοντο τῷ Οὐαλερίῳ καὶ προσέκρεον [2], ὅτι Βρῦτος μὲν, ὃν πατέρα τῆς ἐλευθερίας ἐνόμιζεν ὁ δῆμος, ἐκ ἠξίωσε μόνος ἄρχειν, ἀλλὰ καὶ πρῶτον αὐτῷ συνάρχοντα προσείλετο καὶ δεύτερον· ἐτοσὶ δ', ἔφασαν, εἰς αὐτὸν ἅπαντα συνενεγκάμενος, ἐκ ἔστι τῆς Βρύτε κληρονόμος ὑπατείας μηδὲν αὐτῷ προσηκέσης, ἀλλὰ τῆς Ταρκυνίε τυραννίδος. καίτοι τί δεῖ λόγῳ μὲν Βρῦτον ἐγκωμιάζειν, ἔργῳ δὲ μιμεῖσθαι Ταρκύνιον, ὑπὸ ῥάβδοις ὁμῦ πάσαις καὶ πελέκεσι κατιόντα μόνον, ἐξ οἰκίας τοσαύτης τὸ μέγεθος, ὅσην ἐ καθεῖλε τὴν [3] τῦ βασιλέως; καὶ γὰρ ὄντως Οὐαλέριος ᾤκει τραγικώτερον ὑπὲρ [4] τὴν καλεμένην Οὐελίαν οἰκίαν, ἐπικρεμαμένην τῇ ἀγορᾷ, καὶ καθορῶσαν ἐξ ὕψες ἅπαντα, δυσπρόσοδον δὲ πελάσαι καὶ χαλεπὴν [5] ἔξωθεν, ὥστε καταβαίνοντος αὐτῦ τὸ σχῆμα μετ-

1 R. mavult καὶ λόγον sc. ἀπεδέξαντο, orationem probabant Valerii, ὃν ἐπ' αὐτῷ διεξῆλθεν, quam super eo (Bruto) habuit.
2 Anon. προσέκρεεν.
3 deest Junt. & Ald.
4 Ita dedit R. de suo. Vulg. ὑπὸ. Br. voluit ἐπί.
5 Sola Junt. χαλεπόν.

μετέωρον εἶναι, καὶ βασιλικὸν τῆς πομπῆς [1] τὸν ὄγκον. ὅσον οὖν ἐν ἀρχῇ καὶ πράγμασι μεγάλοις ἀγαθὸν ἦν ἔχειν ὦτα παῤῥησίαν ἀντὶ κολακείας προσιέμενα καὶ λόγους ἀληθεῖς, ἔδειξεν. ἀκούσας γὰρ, ὅτι τοῖς πολλοῖς ἁμαρτάνειν ἐδόκει, τῶν φίλων διεξιόντων, οὐκ ἐφιλονείκησεν, οὐδ' ἠγανάκτησεν, ἀλλὰ ταχὺ πολλοὺς συναγαγὼν τεχνίτας ἔτι νυκτὸς οὔσης, κατέβαλε τὴν οἰκίαν καὶ κατέσκαψεν εἰς ἔδαφος πᾶσαν. ὥστε μεθ' ἡμέραν τοὺς Ῥωμαίους ὁρῶντας καὶ συνισταμένους, τοῦ μὲν ἀνδρὸς ἀγαπᾷν καὶ θαυμάζειν τὴν μεγαλοφροσύνην, ἄχθεσθαι δὲ τῆς οἰκίας [2], καὶ ποθεῖν τὸ μέγεθος καὶ τὸ κάλλος, ὥσπερ ἀνθρώπου, διὰ φθόνον οὐ δικαίως καταλελυμένης, τοῦ δ' ἄρχοντος [3], ὥσπερ ἀνεστίου, παρ' ἑτέροις οἰκοῦντος. ἐδέχοντο γὰρ οἱ φίλοι τὸν Οὐαλέριον, ἄχρις οὗ τόπον ἔδωκεν ὁ δῆμος αὐτῷ, καὶ κατεσκεύασεν οἰκίαν ἐκείνης μετριωτέραν [4], ὅπου νῦν ἱερόν ἐστιν Οὐίκος πόπλικος ὀνομαζόμενον. βουλόμενος δὲ μὴ μόνον ἑαυτὸν, ἀλλὰ καὶ τὴν ἀρχὴν ἀντὶ φοβερᾶς χειροήθη καὶ προσφιλῆ ποιεῖν τοῖς πολλοῖς, τούς τε πελέκεις ἀπέλυσε τῶν ῥάβδων, αὐτάς τε τὰς ῥάβδους εἰς ἐκκλησίαν παριὼν, ὑφῆκε τῷ δήμῳ καὶ κατέκλινε, μέγα ποιῶν [5] τὸ πρόσχημα τῆς δημοκρατίας. καὶ τοῦτο μέχρι νῦν διαφυλάττουσιν οἱ ἄρχοντες. ἐλάνθανε δὲ τοὺς πολλοὺς οὐχ ἑαυτὸν, ὡς ᾤοντο, ποιῶν ταπεινὸν [6], ἀλλὰ τὸν φθόνον τῇ μετριότητι ταύτῃ καθαιρῶν καὶ κολούων [7]. αὐτῷ δὲ

1 Teste H. Steph. legitur etiam προπομπῆς.

2 R. susp. ἄχθεσθαι δὲ τῇ ἀπωλείᾳ τῆς οἰκίας. In seqq. Anon. — hic delenda sunt καὶ ποθεῖν — ἀνθρώπου.

3 R. susp τοῦ δ' ἀρχ. οἶκτον ἔχειν ὥσπερ. &c.

4 Junt. dedit μετεωροτέραν; & ita V. B. 1. 2. 3. Ex Ald. μετριωτέραν.

5 Ita dedit R. de suo. Vulg. μεταποιῶν.

6 Ita dant omnes B. — Vulg. ποιοῦντα ταπεινόν. Anon. ταπεινῶν.

7 Juntin. sola κωλύων.

δὲ προστιθεὶς τοσῦτον μέγεθος δυνάμεως, ὅσον ἀφαιρεῖν ἐδόκει τῆς ἐξουσίας, ὑποδυομένου μεθ' ἡδονῆς αὐτῷ τοῦ δήμου, καὶ φέροντος ἑκουσίως. ὥστε καὶ Ποπλικόλαν ἀνηγόρευσεν αὐτόν· σημαίνει δὲ τοὔνομα [1] Δημοκηδῆ· καὶ τοῦτο μᾶλλον ἴσχυσε τῶν ἀρχαίων ὀνομάτων, ᾧ καὶ ἡμεῖς χρησόμεθα τὸν λοιπὸν βίον τοῦ ἀνδρὸς ἱστοροῦντες.

XI. Ὑπατείαν μὲν γὰρ [2] ἔδωκε μετιέναι καὶ παραγγέλλειν τοῖς βουλομένοις. πρὸ δὲ τῆς καταστάσεως τοῦ συνάρχοντος, οὐκ εἰδὼς τὸν γενησόμενον [3], ἀλλὰ δεδιὼς ἀντίπραξιν ὑπὸ φθόνου τινὸς, ἢ ἀγνοίας, ἐχρήσατο τῇ μοναρχίᾳ πρὸς τὰ κάλλιστα καὶ μέγιστα τῶν πολιτευμάτων. πρῶτον μὲν γὰρ ἀνεπλήρωσε τὴν βουλὴν ὀλιγανδροῦσαν. ἐτεθνήκεσαν γὰρ οἱ μὲν ὑπὸ Ταρκυνίου πρότερον, οἱ δ' ἔναγχος ἐν τῇ μάχῃ. τοὺς δ' ἐγγραφέντας ὑπ' αὐτοῦ λέγουσιν ἑκατὸν ἑξήκοντα καὶ τέσσαρας γεγενῆσθαι. μετὰ δὲ ταῦτα νόμους ἔγραψεν, ὧν μάλιστα μὲν ἰσχυροὺς ἐποίησε τοὺς πολλοὺς ὁ τὸν δῆμον ἀπὸ τῶν ὑπάτων τῷ φεύγοντι δίκην ἐπικαλεῖσθαι διδούς· δεύτερος, ὁ τοὺς ἀρχὴν λαβόντας, ἣν ὁ δῆμος οὐκ ἔδωκεν, ἀποθνήσκειν κελεύων· τρίτος δὲ μετὰ τούτους, ὃς ἐβοήθησε τοῖς πένησιν, ᾧ [4] τὰ τέλη τῶν πολιτῶν ἀφεῖλε, καὶ προθυμότερον ἅπτεσθαι τῶν ἐργασιῶν ἐποίησεν ἅπαντας. ὁ δὲ γραφεὶς κατὰ τῶν ἀπειθούντων τοῖς ὑπάτοις, οὐχ ἧττον ἔδοξε δημοτικὸς εἶναι, καὶ πρὸς τῶν πολλῶν μᾶλλον, ἢ δυνατῶν, γεγράφθαι. ζημίαν γὰρ ἀπειθίας [5] ἔταξε βοῶν πέντε καὶ δυοῖν προβάτων ἀξίαν. ἦν δὲ τιμὴ μὲν προβατίου ὀβολοὶ δέκα, βοὸς

1 B. 1. 2. add. τοῦτο.

2 Præced. μὲν omittunt B. 1. 2. — Inserunt autem καὶ paulo post ἀλλὰ καὶ δεδιώς.

3 Ita dedit R de suo pro vulg. τὸ γενησ.

4 R. mavult ὧν, quibus pauperibus abstulit.

5 B. 1. 2. 3. Junt. ἀπειθείας.

βοὸς δὲ ἑκατόν· οὔπω νομίσματι χρωμένων πολλῷ τότε Ῥωμαίων, ἀλλὰ προβατείαις καὶ κτηνοτροφίαις εὐθηνούντων [1]. διὸ καὶ τὰς οὐσίας ἄχρι νῦν ἀπὸ τῶν προβάτων πεκούλια [2] καλοῦσι, καὶ τῶν νομισμάτων τοῖς παλαιοτάτοις βοῦν ἐπεχάραττον, ἢ πρόβατον, ἢ σῦν. ἐτίθεντο δὲ καὶ παισὶν αὐτῶν, σουίλλους, καὶ βουβούλκους, καὶ καπραρίους, ὀνόματα, καὶ πορκίους. κάπρας μὲν, τὰς αἶγας, πόρκους δὲ, τοὺς χοίρους ὀνομάζοντες.

XII. Οὕτω δὲ περὶ [3] ταῦτα δημοτικὸς γενόμενος νομοθέτης καὶ μέτριος, ἐν τῷ μετρίῳ τὴν τιμωρίαν ὑπερέτεινεν [4]. ἔγραψε γὰρ νόμον, ἄνευ κρίσεως κτεῖναι τὸν βουλόμενον [5] τυραννεῖν· κτείναντα δὲ, φόνου καθαρὸν ἐποίησεν, εἰ παράσχοιτο τοῦ ἀδικήματος τοὺς ἐλέγχους. ἐπεὶ γὰρ οὐ δυνατὸν ἐπιχειροῦντα τηλικούτοις λαθεῖν ἅπαντας, οὐκ ἀδύνατον δὲ τὸν [6] μὴ λαθόντα τοῦ κριθῆναι φθάσαι κρείττονα γενόμενον, ἣν ἀναιρεῖ τὸ ἀδίκημα κρίσιν, προλαβεῖν ἔδωκε τῷ δυναμένῳ κατὰ τοῦ ἀδικοῦντος. ἐπῃνέθη δὲ καὶ διὰ τὸν ταμιευτικὸν νόμον. ἐπεὶ γὰρ ἔδει χρήματα εἰς τὸν πόλεμον εἰσενεγκεῖν ἀπὸ τῶν οὐσιῶν τοὺς πολίτας, οὔτ' αὐτὸς ἅψασθαι τῆς οἰκονομίας, οὔτε φίλους ἐάσαι βουλόμενος, οὔθ' ὅλως εἰς οἶκον ἰδιώτου παρελθεῖν δημόσια χρήματα, ταμιεῖον μὲν ἀπέδειξε τὸν τοῦ Κρόνου ναὸν, ᾧ μέχρι νῦν χρώμενοι διατελοῦσι· ταμίας δὲ τῷ δήμῳ δύο τῶν νέων ἔδωκεν ἀποδεῖξαι, καὶ ἀπεδείχθησαν οἱ πρῶτοι, Πούπλιος Οὐετούριος καὶ Μινούκιος Μάρκος, καὶ χρήματα συνήχθη πολλά.

1 V. Junt. εὐθενούντων.

2 B. 1. 2. πεκούνια.

3 B. 1. 2. δὲ καὶ περί.

4 R. susp. ἐν ἑνὶ τὸ μέτριον τῆς τιμωρίας ὑπερέβαινε.

5 Hanc lectionem R. e Junt. & Ald. revocavit. Vulg. inserunt διδόντα post κτεῖναι, natum e scholio. Subaudiendum, ut alias δεῖν sc. ἐξεῖναι.

6 Ita dedit R. de suo. Vulg. dant τὸ, quod deest B. 1. 2.

πολλά. τρισκαίδεκα γὰρ ἀπεγράψαντο μυριάδες [1], ὀρφανοῖς παισὶ καὶ χήραις γυναιξὶν ἀνεθείσης τῆς εἰσφορᾶς. ταῦτα δὲ διοικήσας, ἀπέδειξεν ἑαυτῷ συνάρχοντα τὸν Λυκρητίας πατέρα, Λυκρήτιον· ᾧ τῆς ἡγεμονικωτέρας ἐξιστάμενος ὄντι πρεσβυτέρῳ τάξεως, παρέδωκε τὰς καλουμένας φάσκης, καὶ τοῦτο διέμεινεν εἰς ἡμᾶς τὸ πρεσβεῖον ἀπ' ἐκείνου τοῖς γεραιτέροις φυλαττόμενον. ἐπεὶ δ' ὀλίγαις ἡμέραις ὕστερον ἐτελεύτησεν ὁ Λυκρήτιος, πάλιν ἀρχαιρεσιῶν γενομένων, ᾑρέθη Μάρκος Ὡράτιος, καὶ συνῆρχε τῷ Ποπλικόλᾳ τὸν ὑπολειπόμενον χρόνον τοῦ ἐνιαυτοῦ.

XIII. Ταρκυνίου δὲ Ῥωμαίοις δεύτερον πόλεμον ἐν Τυῤῥηνίᾳ κινοῦντος, μέγα σημεῖον λέγεται γενέσθαι· βασιλεύων γὰρ ἔτι, καὶ τὸν νεὼν τοῦ Καπιτωλίου Διος ἔχων ὁ Ταρκύνιος ὅσον οὔπω συντετελεσμένον, εἴτε μαντείας γενομένης, εἴτ' αὐτῷ δόξαν ἄλλως, ἅρμα κατὰ κορυφὴν ἐπιστῆσαι κεραμοῦν, ἐξέδωκε Τυῤῥηνοῖς τισιν ἐξ Οὐηΐων δημιουργοῖς, εἶτ' ὀλίγον ὕστερον ἐξέπεσε τῆς ἀρχῆς. τῶν δὲ Τυῤῥηνῶν διαπεπλασμένον τὸ τέθριππον ἐμβαλόντων [2] εἰς κάμινον, οὐκ ἔπαθεν, ἃ προσῆκε πάσχειν πηλὸν ἐν πυρὶ, πυκνοῦσθαι καὶ συνιζάνειν, ἐκθηκομένης τῆς ὑγρότητος, ἀλλ' ἐξέστη καὶ ᾤδησε· καὶ μέγεθος ἔσχεν ἅμα ῥώμῃ καὶ σκληρότητι τοσοῦτον, ὥστε μόλις ἐξαιρεθῆναι, τὴν ὀροφὴν ἀποσκευασαμένων τῆς καμίνου, καὶ τῶν τοίχων περιαιρεθέντων. ὡς οὖν ἐδόκει τοῖς μάντεσι θεῖον εἶναι σημεῖον εὐτυχίας καὶ δυνάμεως, παρ' οἷς ἔσοιτο τὸ τέθριππον, ἔγνωσαν οἱ Οὐήϊοι μὴ προέσθαι τοῖς Ῥωμαίοις ἀπαιτοῦσι, καὶ ἀπεκρίναντο τοσοῦτον [3]· Ταρκυνίῳ, οὐ τοῖς Ταρκύνιον ἐκβαλοῦσι προσήκει.

1 In casu nomin. dedit R. — Vulg. μυριάδας.

2 Ita dedit R — Vulg. ἐμβαλλόντων.

3 Hanc lectionem e Junt. & Ald. revocavit R. — Vulg. sic dant: ἀπεκρίναντο· τοῦτο Ταρκ.

ἥκει [1]. ὀλίγαις δ' ὕϛερον ἡμέραις ἦσαν ἵππων ἀγῶνες αὐτοῖς, καὶ τὰ μὲν ἄλλα θέαν καὶ σπȣδὴν εἰωθυῖαν [2] παρεῖχε· τὸ δὲ νικῆσαν τέθριππον ὁ μὲν ἡνίοχος ἐξήλαυνε τȣ̃ ἱπποδρόμȣ χέδην ἐϛεφανωμένος, οἱ δ' ἵπποι πτοηθέντες ἀπ' ȣ̓δεμιᾶς ἐμφανȣ̃ς προφάσεως, ἀλλὰ κατά τι δαιμόνιον, ἢ τύχην, ἵεντο παντὶ τάχει πρὸς τὴν Ῥωμαίων πόλιν ἔχοντες τὸν ἡνίοχον· ὡς δ' ȣ̓δὲν ἦν ἔργον αὐτȣ̃ κατατείνοντος, ȣ̓δὲ παρηγορȣ̃ντος, ἀλλ' ἥρπαϛο, δόντα τῇ ῥύμῃ [3], καὶ φερόμενον, ἄχρις ȣ̃ τῷ Καπιτωλίῳ προσμίξαντες, ἐξέβαλον αὐτὸν ἐνταῦθα περὶ [4] τὴν πύλην, ἣν νῦν Ῥατȣμέναν καλȣ̃σι. γενομένȣ δὲ τȣ́τȣ, θαυμάσαντες οἱ Οὐήϊοι καὶ φοβηθέντες, ἐπέτρεψαν τὸ ἅρμα ἀποδȣ̃ναι τοῖς τεχνίταις.

XIV. Τὸν δὲ νεὼν τȣ̃ Καπιτωλίȣ Διὸς εὔξατο μὲν ἀναθήσειν Ταρκύνιος ὁ Δημαράτȣ πολεμῶν Σαβίνοις, ᾠκοδόμησε δὲ Ταρκύνιος ὁ Σȣ́περβος, υἱὸς ὢν ἢ υἱωνὸς τȣ̃ εὐξαμένȣ. καθιερῶσαι δ' ȣ̓κ ἔφθασεν, ἀλλὰ μικρὸν ἀπελείπετο τȣ̃ τέλος [5] ἔχειν, ὅτε Ταρκύνιος ἐξέπιπτεν. ὡς ȣ̃ν ἀπείργαϛο τελέως, καὶ τὸν προσήκοντα κόσμον ἀπεῖχεν, ἦν τῷ Ποπλικόλᾳ φιλοτιμία πρὸς τὴν καθιέρωσιν. ἐφθόνȣν δὲ πολλοὶ τῶν δυνατῶν, καὶ ἤχθοντο ταῖς μὲν ἄλλαις τιμαῖς ἧττον, ἃς νομοθετῶν καὶ ϛρατηγῶν ἐκ προσηκόντων ἔχε· ταύτην δ' ȣ̃σαν ἀλλοτρίαν ȣ̓κ ᾤοντο δεῖν αὐτῷ προσγενέσθαι, καὶ τὸν Ὡράτιον προετρέποντο καὶ παρώξυνον ἀντιποιεῖσθαι τῆς καθ-

1 Hanc lectionem Juntinæ prætulit R. Aldinæ & Vulgatarum προσήκειν.

2 R. mavult σπȣδὴν τὴν εἰωθυῖαν.

3 Anon. ἐνδόντα. — ῥύμῃ dedit H. Steph. pro lectione edd. priorum ῥώμῃ. R. fusp. ἀλλ' ἥρπαϛο, ἀπήγαγον αὐτὸν ἐνδόντα τῇ ῥύμῃ.

4 V. παρά.

5 B. 1. 2. Junt. Ald. τέλος.

καθιερώσεως. γενομένης οὖν τῷ Ποπλικόλᾳ στρατείας [1] ἀναγκαίας, ψηφισάμενοι τὸν Ὡράτιον καθιεροῦν, ἀνῆγον εἰς τὸ Καπιτώλιον, ὡς οὐκ ἂν ἐκείνου περιγενόμενοι παρόντος. ἔνιοι δέ φασι, κλήρῳ [2] τῶν ὑπάτων λαχεῖν ἐκεῖνον ἐπὶ τὴν στρατείαν ἄκοντα, τοῦτον δ' ἐπὶ τὴν καθιέρωσιν [3]. ἔξεστι δὲ περὶ τούτων ὡς εἶχεν εἰκάζειν τοῖς πραχθεῖσι περὶ τὴν καθιέρωσιν. εἰδοῖς οὖν Σεπτεμβρίαις, ὃ συντυγχάνει περὶ τὴν πανσέληνον μάλιστα τοῦ Μεταγειτνιῶνος, ἠθροισμένων ἁπάντων εἰς τὸ Καπιτώλιον, ὁ μὲν Ὡράτιος, σιωπῆς γενομένης, τά τ' ἄλλα δράσας, καὶ τῶν θυρῶν ἀψάμενος, ὥσπερ ἔθος ἐστὶν, ἐπεφθέγγετο τὰς νενομισμένας ἐπὶ τῇ καθιερώσει φωνάς. ὁ δ' ἀδελφὸς τοῦ Ποπλικόλα Μάρκος, ἐκ πολλοῦ παρὰ τὰς θύρας ὑφεστὼς, καὶ παραφυλάττων τὸν καιρόν· Ὦ ὕπατε, εἶπεν, ὁ υἱός σου τέθνηκεν ἐν τῷ στρατοπέδῳ νοσήσας. τοῦτο πάντας ἠνίασε τοὺς ἀκούσαντας· ὁ δ' Ὡράτιος οὐδὲν διαταραχθεὶς, ἀλλ' ἢ τοσοῦτον μόνον εἰπών· Ῥίψατε τοίνυν τὸν νεκρὸν, ὅποι [4] βούλεσθε, ἐγὼ γὰρ οὐ προσίεμαι τὸ πένθος· ἐπέραινε τὴν λοιπὴν καθιέρωσιν. ἦν δὲ τὸ προσηγγελμένον οὐκ ἀληθὲς, ἀλλ' ὁ Μάρκος, ὡς ἀποστήσων τὸν Ὡράτιον, ἐψεύσατο. θαυμαστὸς οὖν ὁ ἀνὴρ τῆς εὐσταθείας, εἴτε τὴν ἀπάτην ἐν καιρῷ βραχεῖ [5] συνεῖδεν, εἴτε πιστευθεὶς ὁ λόγος οὐκ ἐκίνησεν αὐτόν.

XV. Ἔοικε δὲ καὶ περὶ τὸν δεύτερον ναὸν ὁμοία τύχη γενέσθαι τῆς καθιερώσεως. τὸν μὲν γὰρ πρῶτον, ὡς εἴρηται, Ταρκυνίου κατασκευάσαντος, Ὡρατίου δὲ καθιερώσαντος, ἐν τοῖς ἐμφυλίοις πολέμοις πῦρ ἀπώ-



1 Junt. στρατηγίας.

2 Post hanc vocem R. deesse videtur ἐπιτρεψάντων; Anon. habet πληρουμένων.

3 hinc desunt ad εἰδοῖς B. 1. 2.

4 B. 1. 2. ὅπου. Junt. & Ald. ῥίψ. τὸν νεκ. τοίνυν ὅποι.

5 R. mavult ἐν καιρῷ οὕτω βραχεῖ.

λεσε· τὸν δὲ δεύτερον ἀνέστησε μὲν [1] Σύλλας, ἐπεγράφη δὲ τῇ καθιερώσει Κάτουλος, Σύλλα προαποθανόντος. τούτου δὲ πάλιν ἐν ταῖς κατὰ Οὐιτέλλιον στάσεσι διαφθαρέντος, τρίτον τῇ πρὸς τἆλλα, καὶ τοῦτο [2] χρησάμενος εὐποτμίᾳ Οὐεσπεσιανὸς, ἐξ ἀρχῆς ἄχρι τέλους ἀναγαγὼν ἐπεῖδε γενόμενον, καὶ φθειρόμενον μετ' ὀλίγον οὐκ ἐπεῖδεν, ἀλλὰ τοσοῦτον εὐτυχίᾳ Σύλλαν παρῆλθεν, ὅσον ἐκεῖνον μὲν τῆς ἀφιερώσεως [3] τοῦ ἔργου, τοῦτον δὲ τῆς ἀναιρέσεως προαποθανεῖν. ἅμα γὰρ τῷ τελευτῆσαι Οὐεσπεσιανὸν, ἐνεπρήσθη τὸ Καπιτώλιον. ὁ δὲ τέταρτος οὗτος ὑπὸ Δομετιανοῦ καὶ συνετελέσθη καὶ καθιερώθη. λέγεται δὲ Ταρκύνιον εἰς τοὺς θεμελίους ἀναλῶσαι λίτρας ἀργυρίου τετρακισμυρίας· τούτου δὲ τοῦ καθ' ἡμᾶς, τὸν μέγιστον ἐν Ῥώμῃ τῶν ἰδιωτικῶν πλούτων ἐκλογισθέντα [4] ἐς τὸ τῆς χρυσώσεως μὴ τελέσαι ἀνάλωμα, πλέον ἢ δισχιλίων καὶ μυρίων ταλάντων γενόμενον [5]. οἱ δὲ κίονες ἐκ τοῦ Πεντέλησιν ἐτμήθησαν λίθου, κάλλιστα τῷ πάχει πρὸς τὸ μῆκος ἔχοντες· εἴδομεν γὰρ αὐτοὺς Ἀθήνησιν. ἐν δὲ [6] Ῥώμῃ πληγέντες αὖθις καὶ ἀναξυσθέντες, οὐ τοσοῦτον ἔσχον γλαφυρίας, ὅσον

1 B. 1, 2. ἀνέστησεν ὁ.

2 R. susp. τὸν τρίτον τῇ αὐτῇ πρός τε ἄλλα καὶ τοῦτον (sc. τὸν τρίτον ναὸν) χρησ. qua usus est prosperitate aliis in rebus, eadem in hoc quoque tertio templo usus. V. τὸν τρίτον. — Anon. ἐν τούτῳ pro τοῦτο.

3 R. susp. καθιερώσεως.

4 Textum, qualis nunc est, debemus Reiskio. In vulg. ita extat: τούτου δὲ τοῦ καθ' ἡμᾶς τὸν μέγιστον ἐν Ῥώμῃ τῶν ἰδιωτικῶν πλοῦτον ἐκλογισθέντα τὸ τῆς χρυσώσεως μὴ τελέσαι ἀνάλωμα. Pro τούτου V. τούτων. Pro τῶν ἰδ. πλ. idem τὸν ἰδιωτικὸν, vel τοῦ ἰδιωτικοῦ πλούτου. B. 1. 2. Junt. τὸν ἰδιωτικὸν πλοῦτον; B. 3. τοῦ ἰδιωτικοῦ πλούτου; Ald. τῶν ἰδιωτικῶν πλοῦτον. — Pro ἐκλογισθέντα, quod Junt. & Ald. nec non Frf. dant, habet V. ἐκλογισθέντος; Al. edd. ἐκλογισθέντας.

5 V. γινόμενον.

6 V. ἐν τε.

ὅσον ἀπώλεσαν συμμετρίας, τοῦ καλοῦ διάκενοι καὶ λαγαροὶ φανέντες. ὁ μέντοι θαυμάσας τοῦ Καπιτωλίου τὴν πολυτέλειαν, εἰ μίαν εἶδεν ἐν οἰκίᾳ Δομετιανοῦ στοὰν, ἢ βασιλικὴν, ἢ βαλανεῖον, ἢ παλλακίδων δίαιταν, οἷόν ἐστι τὸ λεγόμενον Ἐπιχάρμου [1] πρὸς τὸν ἄσωτον·

Οὐ φιλάνθρωπος τύ γ' ἐσσὶ [2]· ἔχεις νόσον. χαίρεις διδούς·

τοιοῦτον ἄν τι πρὸς Δομετιανὸν εἰπεῖν προήχθη· Οὐκ εὐσεβὴς, οὐδὲ φιλότιμος τύ γ' ἐσσί· ἔχεις νόσον. χαίρεις κατοικοδομῶν· ὥσπερ ὁ Μίδας ἐκεῖνος, ἅπαντά σοι χρυσᾶ καὶ λίθινα βουλόμενος γίνεσθαι. ταῦτα μὲν οὖν περὶ τούτων.

XVI. Ὁ δὲ Ταρκύνιος μετὰ τὴν μεγάλην μάχην, ἐν ᾗ καὶ τὸν υἱὸν ἀπώλεσε μονομαχήσαντα Βρούτῳ, καταφυγὼν εἰς τὸ Κλούσιον, ἱκέτευσε Κλάραν Πορσήναν, ἄνδρα καὶ δύναμιν μεγίστην ἔχοντα τῶν Ἰταλικῶν βασιλέων [3], καὶ δοκοῦντα χρηστὸν εἶναι καὶ φιλότιμον. ὁ δ' ὑπέσχετο βοηθήσειν, καὶ πρῶτον μὲν ἔπεμψεν εἰς Ῥώμην, κελεύων δέχεσθαι τὸν Ταρκύνιον· ὡς δ' οὐχ ὑπήκουσαν οἱ Ῥωμαῖοι, καταγγείλας αὐτοῖς πόλεμον, καὶ χρόνον, ἐν ᾧ, καὶ τόπον, εἰς ὃν ἔμελλεν ἐμβαλεῖν, ἀφίκετο μετὰ πολλῆς δυνάμεως. Ποπλικόλας δ' ᾑρέθη μὲν ἀπὼν [4] ὕπατος τὸ δεύτερον, καὶ σὺν αὐτῷ Τῖτος Λουκρήτιος· ἐπανελθὼν δ' εἰς Ῥώμην, καὶ βουλόμενος τῷ φρονήματι πρῶτον ὑπερβαλέσθαι τὸν Πορσήναν,

R 3

1 R. legendum censet aut τὸ λεγόμενον ὑπ' Ἐπιχάρμου, aut τὸ λ. παρ' Ἐπιχάρμῳ, aut τὸ λ. πρὸς τὸν Ἐπιχάρμου ἄσωτον.

2 Br. ob metrum legi vult τύ γ' ἐσσ'.

3 B. 1. 2. βασιλέα; iid. paulo post βοηθῆσαι pro βοηθήσειν.

4 Secundum H. Steph. hoc particip. additum fuit ex vet. cod. — quod defuit Juntinæ Aldinæque. B. 1. 2. ἀπὸ; unde R. colligit, libros Plutarchi nonnullos olim exhibuisse ἀποδημῶν, — *versans extra urbem*, quæ lectio ei non contemnenda videtur.

σήναν, ἔκτιζε πόλιν Σιγλιȣρίαν, ἤδη πλησίον αὐτȣ̃ ὄντος. καὶ τειχίσας μεγάλοις ἀναλώμασιν ἑπτακοσίȣς ἀποίκȣς ἀπέστειλεν, ὡς ῥᾳδίως φέρων καὶ ἀδεῶς τὸν πόλεμον. ȣ̓ μὴν ἀλλὰ προσβολῆς ὀξείας τῷ τείχει γενομένης, ἐξεώσθησαν οἱ φύλακες ὑπὸ τȣ̃ Πορσήνα, καὶ φεύγοντες, ὀλίγȣ συνεσπάσαντο τȣ̀ς πολεμίȣς εἰς τὴν πόλιν. ἔφθη δὲ πρὸ τῶν πυλῶν ἐκβοηθήσας ὁ Ποπλικόλας, καὶ μάχην συνάψας παρὰ [1] τὸν ποταμὸν, ἀντεῖχε πλήθει βιαζομένοις τοῖς πολεμίοις· ἄχρις ȣ̓ τραύμασι νεανικοῖς περιπεσὼν, ἀπεκομίσθη φοράδην ἐκ τῆς μάχης. τὸ δ᾽ αὐτὸ καὶ Λȣκρητίȣ, τȣ̃ συνάρχοντος αὐτῷ, παθόντος, ἀθυμία τοῖς Ῥωμαίοις ἐνέπεσε, καὶ φυγῇ πρὸς τὴν πόλιν ἔσωζον ἑαυτȣ́ς. ὠθȣμένων δὲ τῶν πολεμίων διὰ τῆς ξυλίνης γεφύρας, ἐκινδύνευσεν ἡ Ῥώμη κατὰ κράτος ἁλῶναι. πρῶτος δὲ Κόκλιος Ὡράτιος, καὶ σὺν αὐτῷ δύο τῶν ἐπιφανεστάτων ἀνδρῶν, Ἑρμήνιος καὶ Λȣκρήτιος, ἀντέστησαν περὶ τὴν ξυλίνην γέφυραν. ὁ δὲ Ὡράτιος τὸ Κόκλιος [2] ἐπωνυμίαν ἔσχεν, ἐν πολέμῳ τῶν ὀμμάτων θάτερον ἐκκοπείς· ὡς δ᾽ ἔνιοι λέγȣσι, διὰ σιμότητα τῆς ῥινὸς ἐνδεδυκυίας, ὥστε μὴ εἶναι τὸ διορίζον τὰ ὄμματα, καὶ τὰς ὀφρῦς συγκεχύσθαι, Κύκλωπα βȣλόμενοι καλεῖν αὐτὸν οἱ πολλοὶ, τῆς γλώττης ὀλισθαινȣ́σης, ἐκράτησαν [3] ὑπὸ πλήθȣς Κόκλιον καλεῖσθαι. ȣ̂τος ἑστὼς πρὸ τῆς γεφύρας, ἠμύνετο τȣ̀ς πολεμίȣς, ἄχρις ȣ̓ διέκοψαν οἱ σὺν αὐτῷ κατόπιν τὴν γέφυραν. ȣ̆τω δὲ μετὰ τῶν ὅπλων ἀφεὶς ἑαυτὸν εἰς τὸν ποταμὸν ἀπενήξατο, καὶ προσέμιξε τῇ πέραν ὄχθῃ, δόρατι Τυῤῥηνικῷ βεβλημένος τὸν γλȣτόν. ὁ

1 V. περὶ.

2 Ita omnes B. Flor. & Ald. — subaudi ὄνομα. Vulg. ὁ Κοκ. — Ἐπωνυμίαν pro adverbiali habet R. ut δωρεάν. Br. susp. ἐπωνύμιον.

3 Br. voluit ἐκράτησεν. At referendum est ad οἱ πολλοὶ βȣλόμενοι.

ὁ δὲ Ποπλικόλας τὴν ἀρετὴν θαυμάσας, αὐτίκα μὲν εἰσηγήσατο, Ῥωμαίȣς ἅπαντας, ὅσην ἕκαςος ἐν ἡμέρᾳ τροφὴν ἀνήλισκε, δȣ͂ναι συνεισενεγκόντας, ἔπειτα τῆς χώρας, ἣν [1] αὐτὸς περιαρόσειεν ἐν ἡμέρᾳ. πρὸς δὲ τȣ́τοις, εἰκόνα χαλκῆν ἔςησαν αὐτῷ ἐν τῷ ἱερῷ τȣ͂ Ἡφαίςȣ, τὴν γενομένην ἐκ τȣ͂ τραύματος τῷ ἀνδρὶ χωλότητα μετὰ τιμῆς παρηγορȣ͂ντες.

XVII. Ἐπικειμένȣ δὲ τȣ͂ Πορσήνα τῇ πόλει, καὶ λιμὸς ἥπτετο τῶν Ῥωμαίων, καὶ Τυῤῥηνῶν ἕτερος ςρατὸς αὐτὸς καθ' αὐτόν εἰς τὴν χώραν ἐνέβαλε. Ποπλικόλας δὲ τὸ τρίτον ὑπατεύων, Πορσήνᾳ μὲν, ἀτρεμῶν καὶ φυλάττων τὴν πόλιν, ᾤετο δεῖν ἀντέχειν· τοῖς δὲ Τυῤῥηνοῖς ὑπεξῆλθε [2], καὶ συμβαλὼν ἐτρέψατο, καὶ πεντακιςχιλίȣς αὐτῶν ἀνεῖλε. τὸ δὲ περὶ Μȣκίον εἴρηται μὲν ὑπὸ πολλῶν καὶ διαφόρως. λεκτέον δὲ, ᾗ μάλιςα πιςεύεται, καὶ ἡμῖν. ἦν ἀνὴρ εἰς πᾶσαν ἀρετὴν ἀγαθὸς, ἐν δὲ τοῖς πολεμικοῖς ἄριςος· ἐπιβȣλεύων δὲ τὸν Πορσήναν ἀνελεῖν, παρεισῆλθεν εἰς τὸ ςρατόπεδον Τυῤῥηνίδα φορῶν ἐσθῆτα, καὶ φωνῇ χρώμενος ὁμοίᾳ. περιελθὼν δὲ τὸ βῆμα τȣ͂ βασιλέως καθεζομένȣ, καὶ σαφῶς μὲν αὐτὸν ȣ̓κ εἰδὼς, ἐρέσθαι δὲ περὶ αὐτȣ͂ δεδιὼς, ὃν ᾠήθη μάλιςα τῶν συγκαθεζομένων ἐκεῖνον εἶναι, σπασάμενος τὸ ξίφος ἀπέκτεινεν. ἐπὶ τȣ́τῳ δὲ συλληφθεὶς ἀνεκρίνετο· καί τινος ἐσχαρίδος πῦρ ἐχȣ́σης, μέλλοντι τῷ Πορσήνᾳ θύειν κεκομισμένης [3], ὑπερσχὼν τὴν δεξιὰν χεῖρα, καιομένης τῆς σαρκὸς εἱςήκει πρὸς τὸν Πορσήναν ἀποβλέπων ἰταμῷ καὶ ἀτρέπτῳ τῷ προσώπῳ, μέχρις ȣ̓͂ θαυμάσας ἀφῆκεν αὐτὸν, καὶ τὸ ξίφος ἀποδιδȣ̀ς, ὤρεξεν ἀπὸ τȣ͂ βήματος· ὁ δὲ τὴν εὐώνυμον προτείνας ἐδέξατο. καὶ διὰ τȣ͂το φασὶν αὐτῷ γε-



1 Br. mavult ὅσην, quantum agri.
2 R. mavult ἐπεξῆλθε.
3 B. 1. 2. κεκοσμημένης.

γενέσθαι τὸ Σκαιόλαν ἐπίκλησιν, ὅπερ ἐστὶ Λαιόν. ἔφη δὲ, τὸν φόβον τοῦ Πορσήνα νενικηκὼς, ἡττᾶσθαι τῆς ἀρετῆς, καὶ χάριτι μηνύειν, ἃ πρὸς ἀνάγκην οὐκ ἂν ἐξηγόρευσε. Τριακόσιοι γὰρ Ῥωμαίων, ἔφη, τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχοντες ἐν τῷ στρατοπέδῳ σου πλανῶνται καιρὸν ἐπιτηροῦντες· ἐγὼ δὲ κλήρῳ λαχὼν καὶ προεπιχειρήσας, οὐκ ἄχθομαι τῇ τύχῃ διαμαρτὼν ἀνδρὸς ἀγαθοῦ, καὶ φίλου μᾶλλον, ἢ πολεμίου Ῥωμαίοις εἶναι πρέποντος. Ταῦθ' ὁ Πορσήνας ἀκούσας ἐπίστευσε, καὶ πρὸς τὰς διαλύσεις ἥδιον ἔσχεν, οὐ τοσοῦτο, μοὶ δοκεῖ, φόβῳ τῶν τριακοσίων, ὅσον ἀγασθεὶς καὶ θαυμάσας τὸ φρόνημα καὶ τὴν ἀρετὴν τῶν Ῥωμαίων. τοῦτον τὸν ἄνδρα Μούκιον ὁμοῦ τι πάντων καὶ Σκαιόλαν καλούντων, Ἀθηνόδωρος ὁ Σάνδωνος ἐν τῷ πρὸς Ὀκταουΐαν τὴν Καίσαρος ἀδελφὴν, καὶ Ὀψίγονον ὠνομάσθαι φησίν.

XVIII. Ὁ μέντοι Ποπλικόλας αὐτὸς, οὐχ οὕτω πολέμιον ὄντα τὸν Πορσήναν βαρὺν ἡγούμενος, ὡς ἄξιον πολλοῦ τῇ πόλει φίλον γενέσθαι καὶ σύμμαχον, οὐκ ἔφευγεν ἐπ'[1] αὐτοῦ δίκῃ κριθῆναι πρὸς Ταρκύνιον, ἀλλ' ἐθάῤῥει, καὶ προὐκαλεῖτο πολλάκις ὡς ἐξελέγξων κάκιστον ἀνδρῶν, καὶ δικαίως ἀφαιρεθέντα τὴν ἀρχήν. ἀποκριναμένου δὲ τοῦ Ταρκυνίου τραχύτερον, οὐδένα ποιεῖσθαι δικαστὴν, ἥκιστα δὲ Πορσήναν, εἰ σύμμαχος ὢν μεταβάλλεται, δυσχεράνας καὶ καταγνοὺς ὁ Πορσήνας, ἅμα δὲ τοῦ παιδὸς Ἄροντος δεομένου καὶ σπουδάζοντος ὑπὲρ τῶν Ῥωμαίων, κατελύσατο τὸν πόλεμον, ἐξισταμένοις ἧς ἀπετέμοντο τῆς Τυῤῥηνίδος χώρας, καὶ τοὺς αἰχμαλώτους ἀποπέμπουσι, κομιζομένοις δὲ τοὺς αὐτομόλους. ἐπὶ τούτοις ὁμήρους ἔδωκαν ἐξ εὐπατριδῶν περιπορφύρους δέκα, καὶ παρθένους τοσαύτας. ὧν ἦν καὶ ἡ[2] Ποπλικόλα θυγάτηρ Οὐαλερία.

XIX.

1 B. 1. 2. ἀπ'.

2 Priorem voculam καὶ revocavit R. e Junt. Aldinaque; posteriorem ἡ dedit de suo.

XIX. Πραττομένων δὲ τέτων, τῷ τε Πορσήνα πᾶσαν ἤδη τὴν πολεμικὴν ἀνεικότος παρασκευὴν διὰ πίστιν, αἱ παρθένοι τῶν Ῥωμαίων κατῆλθον ἐπὶ λετρὸν, ἔνθα δὴ μηνοειδής [1] τις ὄχθη περιβάλλεσα τὸν ποταμὸν, ἡσυχίαν μάλιστα καὶ γαλήνην τῷ κύματος παρεῖχεν. ὡς δ' ὅτε τίνα φυλακὴν ἑώρων, ὅτε παριόντας ἄλλως, ἢ διαπλέοντας, ὁρμὴν ἔσχον ἀπονήξασθαι πρὸς ῥεῦμα πολὺ καὶ δίνας βαθείας. ἔνιοι δέ φασιν, αὐτῶν μίαν, ὄνομα Κλοιλίαν, ἵππῳ διεξελάσαι τὸν πόρον, ἐγκελευσαμένην ταῖς ἄλλαις νεέσαις καὶ παραθαῤῥύνεσαν. ἐπεὶ δὲ σωθεῖσαι πρὸς τὸν Ποπλικόλαν ἧκον, ἐκ ἐθαύμασεν, ἐδ' ἠγάπησεν, ἀλλ' ἠνιάθη, ὅτι Πορσήνα κακίων ἐν πίστει φανεῖται, καὶ τὸ τόλμημα τῶν παρθένων αἰτίαν ἕξει κακέργημα Ῥωμαίων γεγονέναι. διὸ συλλαβὼν αὐτὰς, πάλιν ἀπέστειλε πρὸς τὸν Πορσήναν. ταῦτα δ' οἱ περὶ τὸν Ταρκύνιον προαισθόμενοι, καὶ καθίσαντες ἐνέδραν τοῖς ἄγεσι τὰς παῖδας, ἐν τῷ περᾷν ἐπέθεντο πλείονες ὄντες. ἐκείνων δ' ὅμως [2] ἀμυνομένων, ἡ Ποπλικόλα θυγάτηρ Οὐαλερία διὰ μέσων ὁρμήσασα τῶν μαχομένων ἔφευγε, καὶ τρεῖς τινες οἰκέται συνδιεκπεσόντες ἔσωζον αὐτήν. τῶν δ' ἄλλων ἐκ ἀκινδύνως ἀναμεμιγμένων τοῖς μαχομένοις, αἰσθόμενος Ἄῤῥων ὁ Πορσήνα υἱὸς ὀξέως προσεβοήθησε, καὶ φυγῆς γενομένης τῶν πολεμίων, περιεποίησε τὰς Ῥωμαίας. ὡς δὲ τὰς παρθένες κομισθείσας ὁ Πορσήνας εἶδε, τὴν καταρξαμένην τῆς πράξεως, καὶ παρακελευσαμένην ταῖς ἄλλαις ἐζήτει. ἀκέσας δὲ τὸ ὄνομα τῆς Κλοιλίας προσέβλεψεν αὐτὴν ἵλεῳ καὶ φαιδρῷ τῷ προσώπῳ, καὶ κελεύσας ἵππον ἀχθῆναι τῶν βασιλικῶν κεκοσμημένον εὐπρεπῶς, ἐδωρήσατο. τῦτο ποιῦνται μαρτύριον οἱ μόνην τὴν Κλοιλίαν λέγοντες ἵππῳ διεξ-



1 Sic recte Ald. — Junt. vitiose μονοειδής.

2 R. mavult προθύμως, aut συντόνως, aut aliud tale adverbium.

διεξελάσαι τὸν ποταμόν. οἱ δ' οὔ φασιν, ἀλλὰ τιμῆσαι τὸ ἀνδρῶδες αὐτῆς τὸν Τυῤῥηνόν. ἀνάκειται δὲ τὴν ἱερὰν ὁδὸν πορευομένοις εἰς Παλάτιον ἀνδριὰς αὐτῆς ἔφιππος, ὅν τινες οὐ τῆς Κλοιλίας, ἀλλὰ τῆς Οὐαλερίας εἶναι λέγουσιν. ὁ δὲ Πορσήνας διαλλαγεὶς τοῖς Ῥωμαίοις, ἄλλην τε ἑαυτοῦ πολλὴν μεγαλοφροσύνην ἐπεδείξατο τῇ πόλει, καὶ τὰ ὅπλα τοὺς Τυῤῥηνοὺς ἀναλαβεῖν κελεύσας, ἄλλο δ' οὐδὲν, ἀλλ' ἐκλιπεῖν τὸν χάρακα σίτου τε πολλοῦ καὶ χρημάτων γέμοντα παντοδαπῶν, παρέδωκε τοῖς Ῥωμαίοις. διὸ καὶ καθ' ἡμᾶς ἔτι, πωλοῦντες τὰ δημόσια, πρῶτα κηρύττουσι τὰ Πορσήνα χρήματα, τιμὴν τῷ ἀνδρὶ τῆς χάριτος ἀΐδιον [1] ἐν τῇ μνήμῃ διαφυλάττοντες. εἱστήκει δὲ χαλκοῦς ἀνδριὰς αὐτοῦ παρὰ τὸ βουλευτήριον, ἁπλοῦς καὶ ἀρχαϊκὸς τῇ ἐργασίᾳ.

XX. Μετὰ δὲ ταῦτα Σαβίνων ἐμβαλόντων εἰς τὴν χώραν, ὕπατος μὲν ἀπεδείχθη Μάρκος Οὐαλέριος, ἀδελφὸς Ποπλικόλα, καὶ Ποστούμιος Τούβερτος. πραττομένων δὲ τῶν μεγίστων γνώμῃ καὶ παρουσίᾳ Ποπλικόλα, δυσὶ μάχαις μεγάλαις ὁ Μάρκος ἐνίκησεν. ὧν ἐν τῇ δευτέρᾳ μηδένα Ῥωμαίων ἀποβαλὼν, τρισχιλίους ἐπὶ μυρίοις τῶν πολεμίων ἀνεῖλε. καὶ γέρας ἔσχεν ἐπὶ τοῖς θριάμβοις, οἰκίαν αὐτῷ γενέσθαι δημοσίοις ἀναλώμασιν ἐν Παλατίῳ. τῶν δ' ἄλλων τότε θυρῶν εἴσω τῆς οἰκίας εἰς τὸ κλεισίον ἀνοιγομένων, ἐκείνης μόνης τῆς οἰκίας ἐποίησαν ἐκτὸς ἀπάγεσθαι τὴν αὔλειον, ὡς δὴ κατὰ τὸ συγχώρημα τῆς τιμῆς ἀεὶ τοῦ δημοσίου προσεπιλαμβανομένου [2].
τὰς

1 Junt. Ald. ἀϊδίου.

2 Hæc lectio bene si habet, passive accipiendam esse dicit R. — quasi de publico spatio identidem nonnihil decerperetur. Quia tamen verbum hoc in medio fere solet usurpari, R. mavult προσεπιλαμβανόμην, ut ad τὴν αὔλειον, sc. θύραν referatur — januam, quasi identidem de publico aliquid decerpen-

τὰς δ' Ἑλληνικὰς πρότερον ὅτως ἔχειν [1] ἁπάσας λέγουσιν, ἀπὸ τῶν κωμῳδιῶν λαμβάνοντες, ὅτι κόπτουσι καὶ ψοφοῦσι τὰς αὑτῶν θύρας ἔσωθεν οἱ προϊέναι μέλλοντες, ὅπως αἴσθησις ἔξω γένοιτο τοῖς προσερχομένοις, ἢ προσεστῶσι [2], καὶ μὴ καταλαμβάνοιντο προϊούσαις ταῖς κλεισιάσιν εἰς τὸν στενωπόν.

XXI. Τῷ δ' ἑξῆς ἔτει πάλιν ὑπάτευεν ὁ [3] Ποπλικόλας τὸ τέταρτον, ἦν δὲ προσδοκία πολέμου, Σαβίνων καὶ Λατίνων συνισταμένων. καί τις ἅμα δεισιδαιμονία τῆς πόλεως ἥψατο· πᾶσαι γὰρ αἱ κυοῦσαι τότε γυναῖκες ἐξέβαλλον ἀνάπηρα, καὶ τέλος οὐδεμία γένεσις ἔσχεν. ὅθεν ἐκ τῶν Σιβυλλείων ὁ Ποπλικόλας ἱλασάμενος τῷ Ἅδῃ [4], καί τινας ἀγῶνας πυθοχρήστους ἀναλαβὼν, καὶ ταῖς ἐλπίσι πρὸς τὸ θεῖον ἡδίονα καταστήσας τὴν πόλιν, ἤδη τοῖς ἀπ' ἀνθρώπων φοβεροῖς προσεῖχε. μεγάλη γὰρ ἐφαίνετο κατασκευὴ τῶν πολεμίων καὶ σύστασις. ἦν οὖν Ἄππιος Κλαῦσος ἐν Σαβίνοις, ἀνὴρ χρήμασί τε δυνατὸς, καὶ σώματος ῥώμῃ πρὸς ἀλκὴν ἐπιφανὴς, ἀρετῆς δὲ δόξῃ μάλιστα καὶ λόγου δεινότητι πρωτεύων. ὃ δὲ πᾶσι συμβαίνει τοῖς μεγάλοις, οὐ διέφυγε παθεῖν, ἀλλ' ἐφθονεῖτο· καὶ τοῖς φθο-

pentem, V. προσεπιλαμβάνοι. Alio modo explicat Schirach & Kind, *dass er sich stets der öffentlichen Geschäfte*, sive *des gemeinen Wesens annähme.* Nescio sane, an unquam voci προσεπιλ. hic sensus inesse possit, vel ex textu & rei relatæ natura erui?

1 R. præferret σχεῖν, sententia tempus præteritum requirente.

2 Vulg. dant προσερχομένοις ἢ προσεστῶσι. Br. jam prius mutandum censuit in προσερχ. — Lapo vertente; accedentibus. Posterius dedit R. de suo.

3 Ita dedit R. secutus Juntinæ vestigia, sic exhibentis ὑπατεύετο Ποπλ. — Vulg. ὑπάτευε Ποπλ.

4 Si lectio recepta bene habet, secundum R. idem valet atque ἱερὰ τῷ ᾅδῃ προσενέγκας ἱλαστήρια.

Φθονῦσιν αἰτίαν παρέχε, καταπαύων τὸν πόλεμον, αὔξειν τὰ Ῥωμαίων ἐπὶ τυραννίδι καὶ δελώσει [1] τῆς πατρίδος. αἰσθόμενος δὲ τὲς λόγες τέτες βελομένῳ τῷ πλήθει λεγομένες, καὶ προσκρέοντα [2] τοῖς πολεμοποιοῖς καὶ στρατιωτικοῖς ἑαυτὸν, ἐφοβεῖτο [3] τὴν κρίσιν· ἑταιρείαν δὲ καὶ δύναμιν φίλων καὶ οἰκείων ἔχων ἀμυνέσαν περὶ αὐτὸν, ἐστασίαζε. καὶ τῦτ' ἦν τῦ πολέμε διατριβὴ καὶ μέλλησις τοῖς Σαβίνοις. ταῦτ' ἒν ὁ Ποπλικόλας ἐ μόνον εἰδέναι ποιέμενος ἔργον, ἀλλὰ καὶ κινεῖν καὶ συνεξορμᾶν τὴν στάσιν, εἶχεν ἄνδρας ἐπιτηδείες, οἳ τῷ Κλαύσῳ διελέγοντο παρ' αὐτῦ τοιαῦτα· Ὡς ὁ Ποπλικόλας ἄνδρα σὲ χρηστὸν ὄντα καὶ δίκαιον ἐδενὶ κακῷ δεῖν οἴεται τὲς σεαυτῦ πολίτας ἀμύνασθαι, καίπερ ἀδικέμενον· εἰ δὲ βέλοιο σώζων ἑαυτὸν μεταστῆναι, καὶ φυγεῖν τὲς μισῦντας, ὑποδέξεταί σε [4] δημοσίᾳ καὶ ἰδίᾳ, τῆς τε σῆς ἀρετῆς ἀξίως, καὶ τῆς Ῥωμαίων λαμπρότητος. Ταῦτα πολλάκις ἀνασκοπῦντι τῷ Κλαύσῳ βέλτιστα τῶν ἀναγκαίων ἐφαίνετο, καὶ τὲς φίλες συμπαρακαλῶν, ἐκείνων τε πολλὲς ὁμοίως συναναπειθόντων, πεντακισχιλίες οἴκες ἀναστήσας μετὰ παίδων καὶ γυναικῶν, ὅπερ ἦν ἐν Σαβίνοις ἀθόρυβον μάλιστα, καὶ βίε πρᾴε καὶ [5] καθεστῶτος οἰκεῖον, εἰς Ῥώμην ἦγε, προειδότος τῦ Ποπλικόλα, καὶ δεχομένε φιλοφρόνως καὶ προθύμως ἐπὶ πᾶσι δικαίοις. τὲς μὲν γὰρ οἴκες [6] εὐθὺς

1 R. mavult καταδελῶσαι, cum ſimplex vox minus frequentetur.

2 Ita dat Fl. Ald. B. 3. — V. προσκρέωντε; Vulg. προσκρέονται; Br. ſuſp. προσκρέων, quod mihi quidem Anon. dediſſe, catal. variant. ed. Frſt. indicare videtur, vitioſe citans & ſeparans lect. V. & Anon.

3 V. στρατικοῖς ἑαυτὸν ἐφοβεῖτο. A vulg. abeſt ἑαυτόν.

4 Junt. Ald. τε. Eæd. paulo poſt παιδίων pro παίδων.

5 hoc καὶ deeſt B. 1. 2.

6 R. mavult τὲς γὰρ ἐποίκες, novos accolas.

θὺς ἀνέμιξε τῷ πολιτεύματι, καὶ χώραν ἀπένειμεν ἑκάςῳ δυοῖν πλέθρων, παρὰ [1] τὸν Ἀνίηνα ποταμόν· τῷ δὲ Κλαύσῳ πλέθρα [2] πέντε καὶ εἴκοσι γῆς ἔδωκεν. αὐτὸν δὲ τῇ βȣλῇ προσέγραψεν, ἀρχὴν πολιτείας λαβόντα ταύτην, ᾗ χρώμενος ἐμφρόνως, ἀνέδραμεν εἰς τὸ πρῶτον ἀξίωμα, καὶ δύναμιν ἔσχε μεγάλην, καὶ γένος ȣ̓δενὸς [3] ἀμαυρότερον ἐν Ῥώμῃ τὸ Κλαυδίων ἀφ' αὐτȣ̃ κατέλιπε.

XXII. Τὰ δὲ Σαβίνων ȣ̓́τω διακριθέντα τῷ μετοικισμῷ τῶν ἀνδρῶν, ȣ̓κ εἴασαν οἱ δημαγωγȣ̃ντες ἀτρεμῆσαι καὶ καταςῆναι [4], σχετλιάζοντες, εἰ Κλαῦσος, ἃ παρὼν ȣ̓κ ἔπεισε, διαπράξεται φυγὰς γενόμενος καὶ πολέμιος, μὴ δȣ̃ναι δίκην Ῥωμαίȣς [5] ὧν ὑβρίζȣσιν. ἄραντες ȣ̓̃ν ςρατῷ μεγάλῳ περὶ Φιδήνας κατηυλίσαντο, καί τινα λόχον θέμενοι πρὸ τῆς Ῥώμης ἐν χωρίοις συνηρεφέσι καὶ κοίλοις, δισχιλίȣς ὁπλίτας, ἔμελλον ἅμ' ἡμέρᾳ φανερῶς ὀλίγοις ἱππεῦσι λείαν ἐλαύνειν. εἴρητο δ' αὐτοῖς, ὅταν τῇ πόλει προσελάσωσιν, ὑποφεύγειν, ἕως ἐμβάλωσιν εἰς τὴν ἐνέδραν τȣ̀ς πολεμίȣς. ταῦθ' ὁ Ποπλικόλας αὐθημερὸν πυθόμενος παρ' αὐτομόλων, ταχὺ διηρμόσατο πρὸς πάντα καὶ διένειμε τὴν δύναμιν. Ποςȣ́μιος μὲν γὰρ Βάλβος ὁ γαμβρὸς αὐτȣ̃, τρισχιλίοις ὁπλίταις ἑσπέρας ἔτι προελθὼν, καὶ καταλαβὼν τȣ̀ς ἀκρολόφȣς, ὑφ' οἷς ἐνήδρευον Σαβῖνοι, παρεφύλαττεν· ὁ δὲ συνάρχων Λȣκρήτιος, ἔχων τὸ κȣφότατον ἐν τῇ πόλει καὶ γενναιότατον, ἐτάχθη [6] τοῖς ἐλαύνȣσι τὴν λείαν

1 V. περὶ.

2 deest B. 1. 2. 3. Junt. sed Ald. habet.

3 B. 1. 2. 3. ȣ̓δὲν.

4 Sic dedit R. de suo pro vulg. κατιςῆσαι, quia hoc sensu activo *sedare*, *pacare* sit sumendum, textus autem sensum intransitivum exigat, conquiescere, ad sedationem & pacem reverti.

5 Ita dat Anon. & Dacer. — Vulg. Ῥωμαίοις.

6 B. 1. 3. ἐπάχθη. Br. susp. ἐπετάχθη.

λείαν ἱππεῦσιν ἐπιχειρεῖν. αὐτὸς δὲ τὴν ἄλλην ἀναλαβὼν στρατιὰν, κύκλῳ περιῆλθε τοὺς πολεμίους, καὶ κατὰ τύχην ὁμίχλης βαθείας ἐπιπεσούσης, περὶ ὄρθρον ἅμα Ποστούμιός τε τοὺς ἐνεδρεύοντας ἐμβοήσας ἔβαλεν ἀπὸ τῶν ἄκρων, καὶ τοῖς προϊππευσαμένοις [1] ἀφῆκε [2] τοὺς περὶ αὐτὸν ὁ Λουκρήτιος, καὶ Ποπλικόλας προσέβαλε τοῖς στρατοπέδοις τῶν πολεμίων. πάντη μὲν οὖν [3] ἐκακοῦντο τὰ Σαβίνων καὶ διεφθείροντο. τοὺς δ' ἐνταῦθα μηδ' [4] ἀμυνομένους, ἀλλὰ φεύγοντας, εὐθὺς ἔκτεινον οἱ Ῥωμαῖοι, τῆς ἐλπίδος αὐτοῖς ὀλεθριωτάτης γενομένης. σώζεσθαι γὰρ οἰόμενοι τοὺς ἑτέρους οἱ ἕτεροι, τῷ μάχεσθαι καὶ μένειν οὐ προσεῖχον· ἀλλ' οἱ μὲν ἐκ τῶν ἐρυμάτων πρὸς τοὺς ἐνεδρεύοντας, οἱ δὲ πάλιν ὡς ἐκείνους εἰς τὸ στρατόπεδον θέοντες, ἐναντίοι φεύγουσιν ἐνέπιπτον, πρὸς οὓς ἔφευγον, καὶ βοηθείας δεομένοις, οὓς ἤλπιζον αὐτοῖς βοηθήσειν. τὸ δὲ μὴ πάντας ἀπολέσθαι τοὺς Σαβίνους, ἀλλὰ καὶ περιγενέσθαι τινὰς, ἡ Φιδηνατῶν πόλις ἐγγὺς οὖσα παρέσχε, καὶ μάλιστα τοῖς ἐκ τῶν στρατοπέδων, ὅθ' ἡλίσκετο, διεκπίπτουσιν. ὅσοι δὲ Φιδηνῶν διήμαρτον, διεφθάρησαν, ἢ ζῶντες ἀπήχθησαν ὑπὸ τῶν λαβόντων.

XXIII. Τοῦτο τὸ κατόρθωμα Ῥωμαῖοι, καίπερ εἰωθότες ἅπασι τοῖς μεγάλοις ἐπιφημίζειν τὸ δαιμόνιον, ἑνὸς ἔργον ἡγοῦντο τοῦ στρατηγοῦ γεγονέναι. καὶ τῶν μεμαχημένων πρῶτον [5] ἦν ἀκούειν, ὅτι χωλοὺς καὶ τυφλοὺς

1 Teste H. Steph. legitur etiam *προϊππασαμένοις*. Ita B. 1. 2.

2 Anon. *ἐπαφῆκε*.

3 deest B. 1. 2. 3. Pro *ἐκάκουντο* B. omnes, V. & Anon. *ἐκακοῦτο*; Item B. omnes & V. *διεφθάρετο*.

4 Juntinæ desunt vocab. *ἐνταῦθα μή*. Adverb. *ἐντ.* h. l. temporis esse, non loci, dicit R. & in l. seq. pro *εὐθὺς* mavult *αὖθις*, qui *nunc* aufugerant, *paulo post* occidebant Romani.

5 B. 1. 2. *πρῶτος*.

φλὰς αὐτοῖς [1] καὶ μόνον ἐ [2] καθείρξας τὰς πολεμίας Ποπλικόλας παρέδωκε χρῆσθαι τοῖς ξίφεσιν. ἐῤῥώσθη δὲ καὶ χρήμασιν ὁ δῆμος, ἐκ τῶν λαφύρων καὶ τῶν αἰχμαλώτων. ὁ δὲ Ποπλικόλας, τόν τε θρίαμβον ἀγαγὼν, καὶ τοῖς μετ' αὐτὸν ἀποδειχθεῖσιν ὑπάτοις παραδὰς τὴν πόλιν [3], εὐθέως ἐτελεύτησεν, ὡς ἐφικτόν ἐστιν ἀνθρώποις, μάλιστα τοῖς νενομισμένοις καλοῖς καὶ ἀγαθοῖς, τὸν ἑαυτῦ βίον ἐκτελειώσας· ὁ δὲ δῆμος ὥσπερ ἐδὲν εἰς ζῶντα τῶν ἀξίων πεποιηκὼς, ἀλλὰ πᾶσαν ὀφείλων χάριν, ἐψηφίσατο δημοσίᾳ ταφῆναι τὸ σῶμα, καὶ τεταρτημόριον ἕκαστος ἐπὶ τιμῇ συνεισήνεγκεν. αἱ δὲ γυναῖκες, ἰδίᾳ πρὸς αὐτὰς συμφρονήσασαι, διεπένθησαν [4] ἐνιαυτὸν ὅλον ἐπὶ τῷ ἀνδρὶ πένθος ἔντιμον καὶ ζηλωτόν. ἐτάφη δὲ καὶ ἔτος τῶν πολιτῶν ψηφισαμένων ἐντὸς ἄστεος παρὰ τὴν καλεμένην Οὐελίαν, ὥστε καὶ γένει παντὶ τῆς ταφῆς μετεῖναι. νῦν δὲ θάπτεται μὲν ἐδεὶς τῶν ἀπὸ γένες, κομίσαντες δὲ τὸν νεκρὸν ἐκεῖ κατατίθενται, καὶ δᾷδά τις ἡμμένην λαβὼν ὅσον ὑπήνεγκεν [5], εἶτ' ἀναιρεῖται· μαρτυρόμενος ἔργῳ τὸ ἐξεῖναι, φείδεσθαι δὲ τῆς τιμῆς, καὶ τὸν νεκρὸν ἕτως ἀποκομίζεσιν.

# COMPARATIO SOLONIS CVM POPLICOLA.

ΑΡ' ἒν ἴδιόν τι περὶ ταύτην τὴν σύγκρισιν ὑπάρχει, καὶ μὴ πάνυ συμβεβηκὸς ἑτέρᾳ τῶν ἀναγεγραμμένων, τὸν ἕτερον γεγονέναι μιμητὴν τῦ ἑτέρυ, τὸν ἕτε-

1 R. videtur deesse παραοχών.
2 Secundum H. Steph. rectius scriberetur μονονὲ.
3 R. susp. εὐθηνῦσαν παραδὰς τὴν πόλιν.
4 B. 1. 2. ἐπένθησαν.
5 Br. ex constructione susp. ὑπενεγκεῖν.

ἕτερον δὲ μάρτυν. ὅρα γὰρ, ἣν ὁ Σόλων ἐξήνεγκε περὶ εὐδαιμονίας ἀπόφασιν πρὸς Κροῖσον, ὡς Ποπλικόλα μᾶλλον, ἢ Τέλλῳ, προσήκει. Τέλλε μὲν γὰρ, ὃν εἶπε γεγονέναι μακαριώτατον δι' εὐποτμίαν καὶ ἀρετὴν καὶ εὐτεκνίαν, ἔτ' αὐτὸς ἐν τοῖς ποιήμασιν ὡς ἀνδρὸς ἀγαθε λόγον ἔχεν, ἔτε παῖδες, ἔτ' ἀρχή [1] τις εἰς δόξαν ἦλθεν· Ποπλικόλας δὲ, καὶ ζῶν ἐπρώτευσε δυνάμει καὶ δόξῃ δι' ἀρετὴν, Ῥωμαίων, καὶ τεθνηκότος [2], ἐν τοῖς ἐπιφανεςάτοις γένεσι καὶ ςέμμασιν ἔτι καθ' ἡμᾶς Ποπλικόλαι [3] καὶ Μεσάλλαι, καὶ Οὐαλέριοι, δι' ἐτῶν ἑξακοσίων τῆς εὐγενείας τὴν δόξαν ἀναφέρεσι. καὶ Τέλλος μὲν ὑπὸ τῶν πολεμίων, ὡς ἀνὴρ ἀγαθὸς ἐν τάξει μένων καὶ μαχόμενος, κατέςρεψε· Ποπλικόλας δὲ, τὲς μὲν πολεμίες κ]είνας, ὃ τε πεσεῖν εὐτυχέςερόν ἐςι, τὴν δὲ πατρίδα νικῶσαν ἐπιδὼν δι' ἑαυτὸν ἄρχοντα καὶ ςρατηγεντα, τιμηθεὶς [4] δὲ καὶ θριαμβεύσας ἔτυχε τῆς ζηλεμένης ὑπὸ Σόλωνος καὶ μακαριεμένης τελευτῆς. ἔτι τοίνυν, ἃ τοῖς περὶ Μίμνερμον ἀντειπὼν περὶ χρόνε ζωῆς ἐπιπεφώνηκε·

Μηδέ μοι ἄκλαυςος θάνατος μόλοι, ἀλλὰ φίλοισι
Ποιήσαιμι θανὼν ἄλγεα καὶ ςοναχάς,

εὐδαίμονα τὸν Ποπλικόλαν ποιεῖ [5]. τελευτήσας γὰρ, ἐ φίλοις, ἐδ' οἰκείοις μόνον, ἀλλὰ τῇ [6] πόλει πάσῃ, μυριάσι πολλαῖς, δάκρυα καὶ πόθον καὶ κατήφειαν ἐφ' αὐτῷ παρέχεν· αἱ γὰρ Ῥωμαίων γυναῖκες ἐπένθησαν αὐτὸν

1 R. mavult ἔτε παιδὸς, neque filiorum quemquam nominatim commemoravit — nec non ἔτ' ἀρετή τις, neque præclarum quoddam ejus, sc. Telli, & insigne facinus in famam abiit.

2 B. 1. 2. addunt αὐτε.

3 B. 1. 2. præfigunt artic. οἱ, quod Br. placuit.

4 V. κοιμηθεὶς.

5 Teste H. Steph. etiam legitur ἄνδρα ποιεῖ. Ita B. 1. 2. Subaudi ἐν 7έτοις, vel 7αὐτὰ εἰπών.

6 B. 1. 2. καὶ.

αὐτὸν, ὥσπερ υἱὸν, ἢ ἀδελφὸν, ἢ πατέρα κοινὸν ἀποβαλοῦσαι.

Χρήματα δ' ἱμείρειν [1] μὲν ἔχειν, (Φησὶν ὁ Σόλων)
ἀδίκως δὲ πεπᾶσθαι
Οὐκ ἐθέλειν,

ὡς δίκης ἐπούσης· Ποπλικόλᾳ δ' ὑπῆρχεν οὐ μόνον μὴ κακῶς πλουτεῖν, ἀλλὰ καὶ καλῶς ἀναλίσκειν, εὖ ποιοῦντι τοὺς δεομένους. ὥστ' εἰ σοφώτατος ἁπάντων ὁ [2] Σόλων, εὐδαιμονέστατος ὁ Ποπλικόλας. ἃ γὰρ εὔξατο τῶν ἀγαθῶν ἐκεῖνος, ὡς μέγιστα καὶ κάλλιστα, ταῦτα καὶ κτήσασθαι Ποπλικόλᾳ καὶ φυλάξαι χρωμένῳ μέχρι τέλους ὑπῆρξεν.

II. Οὕτω μὲν ὁ Σόλων κεκόσμηκε τὸν Ποπλικόλαν, τὸν Σόλωνα δ' αὖ πάλιν ἐκεῖνος, ἐν τῇ πολιτείᾳ παραδειγμάτων κάλλιστον ἀνδρὶ κοσμοῦντι δημοκρατίαν θέμενος, τῆς μὲν ἀρχῆς τὸν ὄγκον ἀφελὼν εὐμενῆ πᾶσι καὶ ἄλυπον κατέστησε, νόμοις δὲ πολλοῖς ἐχρήσατο τῶν ἐκείνου. καὶ γὰρ ἀρχόντων καταστάσεως κυρίους ἐποίησε τοὺς πολλοὺς, καὶ τοῖς φεύγουσι δίκην, ἐπικαλεῖσθαι τὸν δῆμον, ὥσπερ ὁ Σόλων τοὺς δικαστὰς, ἔδωκε. καὶ βουλὴν μὲν ἑτέραν οὐκ ἐποίησεν, ὥσπερ ὁ Σόλων, τὴν δ' οὖσαν ηὔξησεν [3], ἀριθμῷ μικροῦ διαπλασιάσας. ἥ τε τῶν ταμείων [4] ἐπὶ τοῖς χρήμασι κατάστασις ἐκεῖθεν ἦλθεν, ὅπως ἄρχων, μήτ' εἰ χρηστός ἐστιν, ἀσχολίαν ἔχῃ πρὸς τὰ μείζω, μήτ' εἰ φαῦλος, ἀφορμὰς τοῦ ἀδικεῖν μᾶλλον, καὶ τῶν πράξεων καὶ τῶν χρημάτων κύριος γενόμενος. τὸ δὲ μισοτύραννον ἐν τῷ Ποπλικόλᾳ σφοδρότερον. εἰ γάρ τις

1 B. omnes, Anon. Junt. & Ald. ἱμείρω, uti & in seq. v. ἐθέλω.

2 B. 1. 2. ἦν ὁ; nisi forte ad ὁ Ποπλ. hæc lectio var. pertinet, de quo dubitat Br.

3 B. 1. 2. ηὔξανεν.

4 Anon. ταμιῶν, quod Br. & R. placet.

τις ἐπιχειροίη τυραννεῖν, ὁ μὲν ἁλόντι τὴν δίκην ἐπιτίθησιν, ὁ δὲ καὶ πρὸ τῆς κρίσεως ἀνελεῖν δίδωσι. σεμνυνομένȢ δὲ τȢ͂ Σόλωνος ὀρθῶς καὶ δικαίως, ὅτι καὶ τῶν πραγμάτων αὐτῷ διδόντων τυραννεῖν, καὶ τῶν πολιτῶν ȣ̓κ ἀκȣσίως δεχομένων, ἀπεῖπεν. ȣ̓χ ἧττον ὑπάρχει καλὸν τῷ Ποπλικόλᾳ, τὸ, λαβόντα τυραννικὴν ἀρχὴν, ποιῆσαι δημοτικωτέραν, καὶ μηδ' οἷς ἐξῆν ἔχοντα χρήσασθαι. καὶ τȣ͂το δ' ἔοικε συνιδεῖν πρότερος ὁ Σόλων, ὅτι δῆμος [1]

ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
Μήτε λίαν ἀνεθεὶς, μήτε πιεζόμενος.

III. Ἴδιον δὲ τȢ͂ Σόλωνος ἡ τῶν χρεῶν ἄνεσις, ᾗ μάλιστα τὴν ἐλευθερίαν ἐβεβαίωσε τοῖς πολίταις. ȣ̓δὲν γὰρ ὄφελος νόμων ἰσότητα παρεχόντων, ἣν ἀφαιρεῖται [2] τὰ χρέα τȣ̀ς πένητας· ἀλλ' [3] ὅπȣ μάλιστα χρῆσθαι τῇ ἐλευθερίᾳ δοκȣ͂σι, δȣλεύȣσι μάλιστα τοῖς πλȣσίοις, ἐν τῷ δικάζειν καὶ ἄρχειν καὶ λέγειν, ἐπιταττόμενοι καὶ ὑπηρετȣ͂ντες. τȣ́τȣ δὲ μεῖζον, ὅτι πάσῃ χρεῶν ἀποκοπῇ στάσεως ἑπομένης, ἐκείνῃ μόνῃ, καθάπερ φαρμάκῳ παραβόλῳ μὲν, ἰσχυρῷ δὲ χρησάμενος εὐκαίρως, καὶ τὴν ȣ̓͂σαν στάσιν ἔλυσε, τῇ περὶ αὐτὸν ἀρετῇ καὶ δόξῃ, τῆς τȢ͂ πράγματος ἀδοξίας καὶ διαβολῆς περιγενόμενος. τῆς δ' ὅλης πολιτείας, τῇ μὲν ἀρχῇ λαμπρότερος ὁ Σόλων· ἡγήσατο γὰρ καὶ ȣ̓κ ἠκολȣ́θησε, καὶ καθ' αὐτὸν, ȣ̓ μεθ' ἑτέρων, ἔπραξε τὰ πλεῖστα καὶ μέγιστα τῶν κοινῶν· τῷ τέλει δὲ ἅτερος εὐτυχὺς καὶ ζηλωτός. τὴν μὲν γὰρ Σόλωνος πολιτείαν αὐτὸς

1 V. ὁ τὸν δῆμον. Anon. adnotat: in verſu erat δῆμος δ', ſed Plutarchus ipſe immutavit.

2 Poſt ἣν add. B. 1. 2. μή. B. 1. 2. 3. Junt. Ald. ἀφαιρῆται.

3 R. ſubimportunum & haud optime conveniens videtur hæc particula. Mavult ἂν ſi.

αὐτὸς ἐπεῖδε Σόλων καταλυθεῖσαν, ἡ δὲ Ποπλικόλα μέχρι τῶν ἐμφυλίων πολέμων διεφύλαξεν ἐν κόσμῳ τὴν πόλιν· ὁ μὲν γὰρ ἅμα τῷ θέσθαι τοὺς νόμους, ἀπολιπὼν ἐν ξύλοις καὶ γράμμασιν ἐρήμους τοῦ βοηθοῦντος [1], ᾤχετ' ἀπιὼν ἐκ τῶν Ἀθηνῶν· ὁ δὲ μένων καὶ ἄρχων καὶ πολιτευόμενος, ἵδρυσε καὶ κατέστησεν εἰς ἀσφαλὲς τὴν πολιτείαν. ἔτι δ' ἐκείνῳ μὲν οὐδὲ μέλλοντι κωλῦσαι προαισθομένῳ Πεισίστρατος ὑπεῖξεν [2], ἀλλ' ἡττήθη τῆς τυραννίδος συνισταμένης· οὗτος δὲ βασιλείαν ἰσχύουσαν ἐκ πολλῶν ἤδη χρόνων καὶ κρατοῦσαν ἐξέβαλε καὶ κατέλυσεν, ἀρετὴν μὲν ἴσην καὶ προαίρεσιν ὁμοίαν παρασχόμενος, τύχῃ δὲ καὶ δυνάμει τελεσιουργῷ πρὸς τῇ ἀρετῇ [3] χρησάμενος.

IV. Τῶν μέντοι πολεμικῶν, Σόλωνι μὲν οὐδὲ τὰ πρὸς Μεγαρεῖς Δαΐμαχος ὁ Πλαταιεὺς μεμαρτύρηκεν, ὥσπερ ἡμεῖς διεληλύθαμεν· Ποπλικόλας δὲ τοὺς μεγίστους ἀγῶνας αὐτὸς καὶ μαχόμενος καὶ στρατηγῶν κατώρθωσε. καὶ μὴν καὶ [4] πρὸς τὰς πολιτικὰς πράξεις, ὁ μὲν



1 Junt. sola τοῦ τελευτήσαντος; & V. ex illa, ut videtur. Ex hac lectione R. susp. τελευτήσοντος, i. e. τέλος καὶ ἔργον ἐπιθήσοντος, cum τελευτᾷν sæpe idem ac τελεῖν, perficere valeat.

2 Locus, varietate lectionis haud parum vexatus. Vulgo legitur: ἔτι δ' ἐκείνῳ μὲν οὐδὲν μελ. κωλ. προαισθομένῳ, Πεισ. ὑπῆρξεν. B. 1. 2. 3. Junt. & Ald. dant οὐδέ; V. ita legit μὲν κωλῦσαι προαισθανομένῳ Πεισίστρατον ὑπῆρξεν; B. 1. 2. dant τὸν Πεισίστρατον; Anon. ὑπῆξεν. Quonam fundamento — an auctoritate codd. an conjecturæ cujusdam — lectio ὑπεῖξεν nitatur, nusquam indicatum lego. Sola versio Xylandrea ad eam videtur accommodata: *Præterea Solon cum quæ futura essent prævidens, Pisistratum impedire vellet, tamen ei ab hoc non est concessum.* R. in eo acquiescit, ut προαισθομ. explicet per εἰ προῄσθετο, aut διότι προῄσθετο.

3 Ita dedit R. de suo pro lect. vulg. πρὸς τὴν ἀρετήν.

4 Br. mavult μὴν ἔτι, quod dant omnes B. & V. — Junt. Ald. καὶ μὴν ὅ, τι πρός. Eæd. omittunt in l. seq. καὶ ante προσπ.

μὲν ἐν παιδιᾶς τινι τρόπῳ, καὶ προσποίημα μανίας ἀναλαβὼν, ὑπὲρ Σαλαμῖνος ἐρῶν προσῆλθεν [1]. ὁ δ' αὐτόθεν ἀναῤῥίψας τὸν ἐπὶ μεγίσων κίνδυνον, ἐπανέςη Ταρκυνίῳ, καὶ τὴν προδοσίαν ἐφώρασε. καὶ τοῦ κολασθῆναι καὶ μὴ διαφυγεῖν τοὺς πονηροὺς αἰτιώτατος γενόμενος, οὐ τὰ σώματα μόνον τῶν τυράννων ἐξέβαλε τῆς πόλεως, ἀλλὰ καὶ τὰς ἐλπίδας ἐξέκοψεν. οὕτω δὲ καὶ τοῖς δεχομένοις πράγμασιν ἀγῶνα καὶ θυμὸν καὶ ἀντίταξιν ἐῤῥωμένως καὶ ἀτενῶς ἀπαντήσας, ἔτι βέλτιον ἐχρήσατο τοῖς ὁμιλίας ἀπολέμου καὶ πειθοῦς ὑπεικούσης δεομένοις, Πορσήναν ἄμαχον ἄνδρα καὶ φοβερὸν ἐμμελῶς προσαγαγόμενος [2] καὶ μεταςήσας εἰς φιλίαν. καίτοι φήσει τις ἐνταῦθα, τὸν μὲν Σόλωνα προεμένοις ἀναλαβεῖν Ἀθηναίοις Σαλαμῖνα, Ποπλικόλαν δ' ἧς ἐκέκτηντο Ῥωμαῖοι χώρας ἀποςῆναι. δεῖ δὲ πρὸς τοὺς ὑποκειμένους καιροὺς τὰς πράξεις θεωρεῖν. ποικίλος γὰρ ὢν ὁ πολιτικὸς, ᾧ τρόπῳ τῶν ὄντων ἕκασον εὔληπτόν ἐςι, μεταχειρίσασθαι [3], καὶ μέρους ἀφέσει πολλάκις ἔσωσε τὸ πᾶν, καὶ μικρῶν [4] ἀποςὰς, μειζόνων ἔτυχεν. ὥσπερ ἐκεῖνος ὁ ἀνὴρ τότε τῆς μὲν ἀλλοτρίας χώρας ἀποςὰς, ἔσωσε τὴν ἑαυτοῦ βεβαίως ἅπασαν· οἷς δ' ἦν μέγα τὴν πόλιν διαφυλάξαι, προσεκτήσατο τὸ τῶν πολιορκούντων ςρατόπεδον. ἐπιτρέψας δὲ τῷ πολεμίῳ δικαςῇ γενέσθαι, καὶ περιγενόμενος, τῇ νίκῃ [5] προσέλαβεν, ὅσα δόντα ἀγα-

1 Sic dedit R. de fuo, pro vulg. προῆλθεν, ob anteced. πρὸς τὰς πολ. πρ.

2 B. omnes προσαγόμενος.

3 B. 1. 2. μεταχειρίσεται. Mox féq. ἀφέσει revocavit R. e Junt. & Ald. Confentiunt omnes B. & Anon. — Vulg. leg. ἀφαιρέσει.

4 Ita B. omnes, Anon. V. — Vulg. leg. μικρὸν.

5 Br. legendum cenfet τῇ δίκῃ, cum non prœlio Tarquinium Poplicola vicerit, fed Porfennæ judicio caufam adverfus eum obtinuerit. At R. ad περιγεν. vult fubaudiri τῇ δίκῃ, & per

αγαπητὸν ἦν νικῆσαι. καὶ γὰρ τὸν πόλεμον διέλυσε [1] καὶ τὴν παρασκευὴν τȣ̃ πολέμȣ κατέλιπεν [2] αὐτοῖς, διὰ πίςιν ἀρετῆς καὶ καλοκαγαθίας, ἣν ὁ ἄρχων ὑπὲρ ἁπάντων ἐνεποίησεν [3] αὐτῷ.

# ΘΕΜΙΣΤΟΚΛΗΣ.

Θεμιςοκλεῖ δὲ τὰ μὲν ἐκ γένȣς ἀμαυρότερα πρὸς δόξαν ὑπῆρχε· πατρὸς γὰρ ἦν Νεοκλέȣς ȣ̓ τῶν ἄγαν ἐπιφανῶν Ἀθήνησι, Φρεαρίȣ τὸν δῆμον [4] ἐκ τῆς Λεοντίδος φυλῆς· νόθος δὲ πρὸς μητρὸς, ὡς λέγȣσιν·

Ἀβρότονον Θρήϊσσα [5] γυνὴ γένος, ἀλλὰ τεκέσθαι
Τὸν μέγαν Ἕλλησιν φημὶ Θεμιςοκλέα.

Φανίας μέντοι τὴν μητέρα Θεμιςοκλέȣς, ȣ̓ Θρᾷτταν, ἀλλὰ Καρίνην, ȣ̓δ' Ἀβρότονον ὄνομα, ἀλλ' Εὐτέρπην ἀναγράφει. Νεάνθης δὲ καὶ πόλιν αὐτῇ τῆς Καρίας Ἁλικαρνασσὸν προστίθησι. δι' ὃ καὶ τῶν νόθων εἰς Κυνόσαργες συντελȣ́ντων [6], (τȣ̃το δ' ἐςὶν ἔξω πυλῶν γυμνάσιον Ἡρακλέȣς, ἐπεὶ κἀκεῖνος ȣ̓κ ἦν γνήσιος ἐν θεοῖς, ἀλλ' ἐνείχετο νοθείᾳ διὰ τὴν μητέρα θνητὴν ȣ̓̃σαν) ἔπειθέ τινας ὁ Θεμιςοκλῆς τῶν εὖ γεγονότων νεανίσκων, καταβαίνοντας εἰς Κυνόσαργες ἀλείφεσθαι μετ'



per comma feparat τῇ νίκῃ, cum προσέλαβεν aptius conjungendum. Νίκη, non eft h. l. victoria armorum, fed forenfis.

1 R. mavult διελύσατο.

2 Ita omnes B. V. Anon. & probat Dacer. ex Ms. — Vulgo κατέλυσεν.

3 Ita Aldina. Junt. dat fimplex ἐποίησεν.

4 B. omnes, V. & Fl. habent τῶν δήμων, quod Br. ἀττικώτερον cenfet, & Stephanus vult legi. Ald. τῶν δῆμον.

5 Ita non modo verfus, fed Perizon. ad Ælianum, & Salvinius, tefte Dacerio, fcribendum fuadent, & citat Athenæus. Vulgo Θρῆσσα. Pro γυνὴ feq. dat Anon. γενόμην.

6 B. L 2. τελȣ́ντων. Ante Κυνόσ. V. dat artic. τὸ.

μετ' αὐτȣ̃. καὶ τȣ́τȣ γενομένȣ, δοκεῖ πανȣ́ργως τὸν τῶν νόθων καὶ γνησίων διορισμὸν ἀνελεῖν. ὅτι μέντοι τȣ̃ Λυκομηδῶν γένȣς μετεῖχε, δῆλόν ἐςι [1]. τὸ γὰρ Φλυῆσι τελεςήριον, ὅπερ ἦν Λυκομηδῶν κοινὸν, ἐμπρηθὲν ὑπὸ τῶν βαρβάρων, αὐτὸς ἐπεσκεύασε καὶ γραφαῖς ἐκόσμησεν, ὡς Σιμωνίδης ἱςόρηκεν.

II. Ἔτι δὲ παῖς ὢν, ὁμολογεῖται φορᾶς μεςὸς εἶναι, καὶ τῇ μὲν φύσει συνετὸς, τῇ προαιρέσει δὲ μεγαλοπράγμων καὶ πολιτικός. ἐν γὰρ ταῖς ἀνέσεσι καὶ σχολαῖς ἀπὸ τῶν μαθημάτων γενόμενος, ȣ̓κ ἔπαιζεν, ȣ̓δ' ἐῤῥᾳθύμει, καθάπερ οἱ λοιποὶ [2] παῖδες, ἀλλ' εὑρίσκετο λόγȣς τινὰς μελετῶν καὶ συντατ]όμενος πρὸς ἑαυτόν. ἦσαν δ' οἱ λόγοι κατηγορία τινὸς, ἢ συνηγορία, τῶν παίδων. ὅθεν εἰώθει λέγειν ὁ διδάσκαλος, ὡς ȣ̓δὲν ἔσῃ παῖ [3] σὺ μικρὸν, ἀλλὰ μέγα πάντως ἀγαθὸν, ἢ κακόν. ἐπεὶ καὶ τῶν παιδεύσεων τὰς μὲν ἠθοποιȣ̀ς, ἢ πρὸς ἡδονήν τινα [4] καὶ χάριν ἐλευθέριον σπȣδαζομένας, ὀκνηρῶς καὶ ἀπροθύμως ἐξεμάνθανε· τῶν δ' εἰς σύνεσιν, ἢ πρᾶξιν [5], λεγομένων, δῆλος ἦν ȣ̓χ ὑπερορῶν παρ' ἡλικίαν, ὡς τῇ φύσει πιςεύων [6]. ὅθεν ὕςερον ἐν ταῖς ἐλευθέραις [7] καὶ ἀςείαις λεγομέναις διατριβαῖς, ὑπὸ τῶν πεπαιδεῦσθαι δοκȣ́ντων χλευαζόμενος, ἠναγκάζετο φορτικώτερον ἀμύνασθαι, λέγων, ὅτι λύραν μὲν

1 V. δῆλός ἐςι.

2 Teste H. Steph. etiam legitur οἱ πολλοί.

3 B. 1. 2. ὦ παῖ.

4 deest B. 1. 2. 3. Junt.

5 B. 1. 2. ἢ καὶ πρᾶξιν. Pro λεγομένων R. sententiam postulare censet aut γινομένων, aut τεταγμένων, aut συμβαλλομένων.

6 R. susp. sic distinguendum & exarandum h. l. ὑπερορῶν, παρ' ἡλικίαν πως (enclitice) τῇ φύσει πις. B. 1. 2. 3. ȣ̓χ ante ὑπερορ. deest.

7 V. ἐλευθερίαις vel ἐλευθερίοις.

μὲν ἁρμόσαθαι, καὶ μεταχειρίσαθαι ψαλτήριον ἐκ ἐπίςαται, πόλιν δὲ, μικρὰν καὶ ἄδοξον παραλαβὼν ἔνδοξον καὶ μεγάλην ἀπεργάσαθαι. καίτοι Στησίμβροτος Ἀναξαγόρȣ τε διακȣ̃σαι τὸν Θεμιςοκλέα Φησὶ, καὶ περὶ Μέλισσον [1] σπȣδάσαι τὸν Φυσικόν. ȣ̓κ εὖ τῶν χρόνων ἁπ]όμενος. Περικλεῖ γὰρ, ὃς πολὺ νεώτερος ἦν Θεμιςοκλέȣς, Μέλισσος μὲν ἀντεςρατήγει πολιορκȣ̃ντι Σαμίȣς, Ἀναξαγόρας δὲ συνδιέτριβε. μᾶλλον ȣ̃ν ἄν τις προσέχοι τοῖς Μνησιφίλȣ τὸν Θεμιςοκλέα τȣ̃ Φρεαρίȣ ζηλωτὴν γενέθαι λέγȣσιν, ȣ̓́τε ῥήτορος ὄντος, ȣ̓́τε τῶν Φυσικῶν κληθέντων Φιλοσόφων, ἀλλὰ τὴν [2] καλȣμένην σοφίαν, ȣ̓̃σαν δὲ δεινότητα πολιτικὴν [3], καὶ δραςήριον σύνεσιν, ἐπιτήδευμα πεποιημένȣ καὶ διασώζοντος ὥσπερ αἵρεσιν ἐκ διαδοχῆς ἀπὸ Σόλωνος· ἣν οἱ μετὰ ταῦτα δικανικαῖς μίξαντες [4] τέχναις, καὶ μεταγαγόντες ἀπὸ τῶν πράξεων τὴν ἄσκησιν ἐπὶ τȣ̀ς λόγȣς, σοφιςαὶ προσηγορεύθησαν. τȣ́τῳ μὲν ȣ̃ν [5] ἤδη πολιτευόμενος ἐπλησίαζεν. ἐν δὲ ταῖς πρώταις τῆς νεότητος ὁρμαῖς, ἀνώμαλος ἦν καὶ ἀςάθμητος, ἅτε [6] τῇ Φύσει καθ' αὑτὴν χρώμενος ἄνευ λόγȣ καὶ παιδείας ἐπ' ἀμφότερα μεγάλας ποιȣμένῃ μεταβολὰς τῶν ἐπιτηδευμάτων, καὶ πολλάκις ἐξανιςαμένῃ πρὸς τὸ χεῖρον, ὡς ὕςερον αὐτὸς ὡμολόγηκε, τȣ̀ς [7] τραχυτάτȣς πώλȣς ἀρίςȣς ἵππȣς γίνεθαι Φάσκων, ὅταν, ἧς προσήκει, τύχωσι



1 R. susp. καὶ τῶν περὶ Μέλισσον.

2 Teste H. Steph. in quibusdam scriptum est ἀλλὰ τὴν τότε, quod præfert.

3 V. B. 1. 2. 3. πολεμικήν.

4 Pro μίξ. quod ex Aldina in posteriores omnes promanavit, dat Junt. μίσαντες. Hinc R. suspicatur lectionem veram, primigeniam, fuisse aut σμήσαντες (a σμᾶν, abstergere, defricare, perpolire) aut κοσμήσαντες.

5 deest B. 1. 2.

6 deest B. 1. 2. 3. Junt.

7 Ita R. dedit pro lect. vulg. ὡμολόγει, καὶ τȣ̀ς τρ.

χωσι παιδείας καὶ καταρτύσεως [1]. ἃ δὲ τούτων ἐξαρτῶσιν ἔνιοι διηγήματα πλάττοντες, ἀποκήρυξιν μὲν ὑπὸ τοῦ πατρὸς αὐτοῦ, θάνατον δὲ τῆς μητρὸς ἑκούσιον, ἐπὶ τῇ τοῦ πατρὸς ἀτιμίᾳ περιλύπου γενομένης, δοκεῖ κατεψεῦσθαι. καὶ τοὐναντίον εἰσὶν οἱ λέγοντες, ὅτι τοῦ [2] τὰ κοινὰ πράττειν ἀποτρέπων αὐτὸν ὁ πατὴρ ἐπεδείκνυε πρὸς τῇ θαλάττῃ τὰς παλαιὰς τριήρεις ἐῤῥιμμένας καὶ παρεωραμένας, ὡς δὴ καὶ πρὸς τοὺς δημαγωγοὺς, ὅταν ἄχρηστοι γένωνται, τῶν πολλῶν ὁμοίως ἐχόντων.

III. Ταχὺ μέντοι καὶ νεανικῶς ἔοικεν ἅψασθαι τοῦ Θεμιστοκλέους τὰ πολιτικὰ πράγματα, καὶ σφόδρα ἡ πρὸς δόξαν ὁρμὴ κρατῆσαι. δἰ ἣν εὐθὺς ἐξ ἀρχῆς πρωτεύειν ἐφιέμενος, ἰταμῶς ὑφίστατο τὰς πρὸς τοὺς δυναμένους ἐν τῇ πόλει καὶ πρωτεύοντας ἀπεχθείας, μάλιστα δ' Ἀριστείδην τὸν Λυσιμάχου, τὴν ἐναντίαν ἀεὶ πορευόμενον [3] αὐτῷ. καίτοι δοκεῖ παντάπασιν ἡ πρὸς τοῦτον ἔχθρα μειρακιώδη λαβεῖν ἀρχήν. ἠράσθησαν γὰρ ἀμφότεροι τοῦ καλοῦ Στησίλεω, Τηΐου τὸ γένος ὄντος, ὡς Ἀρίστων ὁ φιλόσοφος ἱστόρηκεν. ἐκ δὲ τούτου διετέλουν καὶ περὶ τὰ δημόσια στασιάζοντες. οὐ μὴν ἀλλ' ἡ τῶν βίων καὶ ἡ τῶν τρόπων ἀνομοιότης ἔοικεν αὐξῆσαι τὴν διαφοράν. πρᾶος γὰρ ὢν φύσει καὶ καλοκαγαθικὸς τὸν τρόπον ὁ Ἀριστείδης, καὶ πολιτευόμενος οὐ πρὸς χάριν, οὐδὲ πρὸς δόξαν, ἀλλ' ἀπὸ τοῦ βελτίστου μετ' ἀσφαλείας καὶ δικαιοσύνης, ἠναγκάζετο τῷ Θεμιστοκλεῖ, τὸν δῆμον ἐπὶ πολλὰ κινοῦντι [4], καὶ μεγάλας ἐπιφέροντι καινοτομίας, ἐναντιοῦσθαι πολλάκις, ἐνιστάμενος αὐτοῦ πρὸς τὴν αὔξησιν. λέγεται γὰρ οὕτω παράφορος πρὸς δόξαν εἶναι, καὶ πρά-

1 Omnes B. habent καταρτίσεως, quod Lapus per institutionem reddit. Br. placet hæc lectio.

2 Artic. τοῦ addidit R. de suo.

3 Anon. πορευόμενος.

4 R. susp. ἐπὶ πολλὰ κενὰ (vel ἐπισφαλῆ) κινοῦντι.

πράξεων μεγάλων ὑπὸ φιλοτιμίας ἐραςῆς, ὥςε νέος ὢν ἔτι, τῆς ἐν Μαραθῶνι μάχης πρὸς τὰς βαρβάρας γενομένης, καὶ τῆς Μιλτιάδε ςρατηγίας διαβοηθείσης, σύννες ὁρᾶσθαι τὰ πολλὰ πρὸς ἑαυτῷ, καὶ τὰς νύκτας ἀγρυπνεῖν, καὶ τὰς πότες [1] παραιτεῖσθαι τὰς συνήθεις, καὶ λέγειν πρὸς τὰς ἐρωτῶντας καὶ θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολὴν, ὡς καθεύδειν αὐτὸν ἐκ ἐῴη τὸ τῷ Μιλτιάδε τρόπαιον. οἱ μὲν γὰρ ἄλλοι πέρας ᾤοντο τῷ πολέμε τὴν ἐν Μαραθῶνι τῶν βαρβάρων ἧτταν εἶναι, Θεμιςοκλῆς δ' ἀρχὴν μειζόνων ἀγώνων, ἐφ' ὃς ἑαυτὸν ὑπὲρ τῆς ὅλης Ἑλλάδος ἤλειφεν ἀεὶ, καὶ τὴν πόλιν ἤσκει, πόῤῥωθεν ἤδη προσδοκῶν τὸ μέλλον.

IV. Καὶ πρῶτον μὲν τὴν Λαυριωτικὴν πρόσοδον ἀπὸ τῶν ἀργυρείων μετάλλων ἔθος ἐχόντων Ἀθηναίων διανέμεσθαι, μόνος εἰπεῖν ἐτόλμησε παρελθὼν εἰς τὸν δῆμον, ὡς χρὴ τὴν διανομὴν ἐάσαντας, ἐκ τῶν χρημάτων τέτων κατασκευάσασθαι τριήρεις ἐπὶ τὸν πρὸς Αἰγινήτας πόλεμον. ἤκμαζε γὰρ ἔτος ἐν τῇ Ἑλλάδι μάλιςα καὶ κατεῖχον οἱ Αἰγινῆται [2] πλήθει νεῶν τὴν θάλασσαν. ᾗ καὶ ῥᾷον Θεμιςοκλῆς συνέπεισεν, ἐ Δαρεῖον, ἐδὲ Πέρσας (μακρὰν γὰρ ἦσαν ἔτοι, καὶ δέος ἐ πάνυ βέβαιον ὡς ἀφιξόμενοι παρεῖχον) ἐπισείων, ἀλλὰ τῇ πρὸς Αἰγινήτας ὀργῇ καὶ φιλονεικίᾳ τῶν πολιτῶν ἀποχρησάμενος εὐκαίρως ἐπὶ τὴν παρασκευήν. ἑκατὸν γὰρ ἀπὸ τῶν χρημάτων ἐκείνων ἐποιήθησαν τριήρεις, αἳ καὶ πρὸς Ξέρξην ἐναυμάχησαν. ἐκ δὲ τέτε κατὰ μικρὸν ὑπάγων καὶ καταβιβάζων [3] τὴν πόλιν πρὸς τὴν



1 Teste H. Steph. aliquot codd. habent τόπες; quod ipsi placet. Etiam Dacer. ex Ms. citat. Br. tuetur lectionem receptam ex locis parallelis Plut. de Themistocle vinoso & comessabundo loquentis. B. 1. τὰς πόνες.

2 Teste H. Steph. etiam legitur νησιῶται.

3 B. 2. καταβιάζων.

τὴν θάλασσαν, ὡς τὰ πεζὰ μὲν ἐδὲ τοῖς ὁμόροις [1] ἀξιομάχȣς ὄντας, τῇ δ' ἀπὸ τῶν νεῶν ἀλκῇ καὶ τȣ̀ς βαρβάρȣς ἀμύνασθαι, καὶ τῆς Ἑλλάδος ἄρχειν δυναμένȣς, ἀντὶ μονίμων ὁπλιτῶν, ὥς φησι Πλάτων, ναυάτας [2] καὶ θαλαττίȣς ἐποίησε· καὶ διαβολὴν καθ' αὐτȣ̃ παρέσχεν, ὡς ἄρα Θεμιστοκλῆς τὸ δόρυ καὶ τὴν ἀσπίδα τῶν πολιτῶν παρελόμενος, εἰς ὑπηρέσιον καὶ κώπην συνέστειλε τὸν τῶν Ἀθηναίων δῆμον. ἔπραξε δὲ ταῦτα Μιλτιάδȣ κρατήσας ἀντιλέγοντος, ὡς ἱστορεῖ Στησίμβροτος. εἰ μὲν δὴ τὴν ἀκρίβειαν καὶ τὸ καθαρὸν τȣ̃ πολιτεύματος ἔβλαψεν, ἢ μή, ταῦτα πράξας, ἔστω φιλοσοφώτερον ἐπισκοπεῖν. ὅτι δ' ἡ τότε σωτηρία τοῖς Ἕλλησιν ἐκ τῆς θαλάσσης ὑπῆρξε, καὶ τὴν Ἀθηναίων πόλιν λυθεῖσαν ἔστησαν [3] αἱ τριήρεις ἐκεῖναι, τά τ' ἄλλα, καὶ Ξέρξης αὐτὸς ἐμαρτύρησε. τῆς γὰρ πεζικῆς δυνάμεως ἀθραύστȣ διαμενȣ́σης, ἔφυγε μετὰ τὴν τῶν νεῶν [4] ἧτταν, ὡς ἐκ ὢν ἀξιόμαχος. καὶ Μαρδόνιον ἐμποδὼν εἶναι τοῖς Ἕλλησι τῆς διώξεως μᾶλλον, ἢ δȣλωσόμενον αὐτȣ̀ς [5], ὡς ἐμοὶ δοκεῖ, κατέλιπεν.

V. Εὔτονον [6] δὲ γεγονέναι χρηματιστὴν οἱ μέν φασι δι' ἐλευθεριότητα· καὶ γὰρ φιλοθύτην ὄντα καὶ λαμπρὸν ἐν ταῖς περὶ τȣ̀ς ξένȣς δαπάναις, ἀφθόνȣ δεῖσθαι χορηγίας. οἱ δὲ τȣ̈ναντίον γλισχρότητα πολλὴν καὶ μικρολογίαν κατηγορȣ̃σιν, ὡς καὶ τὰ πεμπόμενα τῶν

1 Ex emendatione Br. pro vulg. ὁμοίοις.

2 Br. mavult ναύτας; B. 2. 3. ναυβάτας.

3 Teste H. Steph. etiam scriptum est πόλιν αὖθις ἀνέστησαν. R. susp. πόλιν κατακαυθεῖσαν ἀνέστησαν, e cineribus resuscitarunt.

4 Ita dedit R. e Junt. & Ald. Vulgatis deest τῶν.

5 Ita Anon. — Vulg. αὐτοῖς. Br. etiam prætulit cum B. 2. δοκεῖ pro δοκεῖν, quod in quibusdam impressis legitur, uti in Frst.

6 Teste H. Steph. etiam legitur σύντονον. Br. susp. εὔτονον.

τῶν ἐδωδίμων πωλῦντος. ἐπεὶ δὲ Φιλίδης ὁ ἱπποτρόφος αἰτηθεὶς ὑπ' αὐτῦ πῶλον ὐκ ἔδωκεν, ἠπείλησε τὸν οἶκον αὐτῦ ταχὺ ποιήσειν δύρειον ἵππον· αἰνιξάμενος ἐγκλήματα συγγενικὰ καὶ δίκας τῷ ἀνθρώπῳ πρὸς οἰκείυς τινὰς ταράξειν. τῇ δὲ φιλοτιμίᾳ πάντας ὑπερέβαλεν, ὥς' ἔτι μὲν νέος ὢν καὶ ἀφανὴς, Ἐπικλέα τὸν ἐξ Ἑρμιόνης κιθαριςὴν, σπυδαζόμενον ὑπὸ τῶν Ἀθηναίων, ἐκλιπαρῆσαι μελετᾷν παρ' αὐτῷ, φιλοτιμύμενος πολλὺς τὴν οἰκίαν ζητεῖν καὶ φοιτᾷν παρ' αὐτῷ [1]. εἰς δ' Ὀλυμπίαν ἐλθὼν, καὶ διαμιλλώμενος τῷ Κίμωνι περὶ δεῖπνα καὶ σκηνὰς, καὶ τὴν ἄλλην λαμπρότητα καὶ παρασκευὴν, ὐκ ἤρεσκε τοῖς Ἕλλησιν. ἐκείνῳ μὲν γὰρ ὄντι νέῳ καὶ ἀπ' οἰκίας μεγάλης ᾤοντο δεῖν τὰ τοιαῦτα συγχωρεῖν· ὁ δὲ μήπω γνώριμος γεγονὼς, ἀλλὰ καὶ δοκῶν ἐξ ὐχ ὑπαρχόντων παρ' ἀξίαν ἐπαίρεσθαι, προσωφλίσκανεν ἀλαζονείαν. ἐνίκησε δὲ καὶ χορηγῶν τραγῳδοῖς, μεγάλην ἤδη τότε σπυδὴν καὶ φιλοτιμίαν τῦ ἀγῶνος ἔχοντος. καὶ πίνακα τῆς νίκης ἀνέθηκε, τοιαύτην ἐπιγραφὴν ἔχοντα· Θεμιςοκλῆς Φρεάριος ἐχορήγει, Φρύνιχος ἐδίδασκεν, Ἀδείμαντος ἦρχεν. ὐ μὴν ἀλλὰ τοῖς πολλοῖς ἐνήρμοττε, τῦτο μὲν ἑκάςυ τῶν πολιτῶν τὔνομα λέγων ἀπὸ ςόματος, τῦτο δὲ κριτὴν ἀσφαλῆ περὶ τὰ συμβόλαια παρέχων ἑαυτόν. ὥσπερ πυ καὶ [2] πρὸς Σιμωνίδην τὸν Κεῖον εἶπεν, αἰτύμενόν τι τῶν ὐ μετρίων παρ' αὐτῦ ςρατηγῦντος, ὡς ὔτ' ἐκεῖνος ἂν ἐγένετο ποιητὴς ἀγαθὸς ᾄδων παρὰ μέλος, ὔτ' αὐτὸς ἀςεῖος ἄρχων παρὰ νόμον χαριζόμενος. πάλιν δέ ποτε τὸν Σιμωνίδην ἐπισκώπτων ἔλεγε

1 R. mavult παρ' αὐτὸν, cum quod ipſa res id poſtulet, tum ad vitandam iterationis inſuavitatem.

2 Conjecerat Steph. ὥςε πυ, quod confirmat Salvinius, quia alioqui verbum aliquod deſit, ex. gr. λέγεται, vel tale quid. Pro καὶ dat Junt. τὸ. Pro vulg. εἰπεῖν ſeq. dedit R. εἶπεν, ut commode jam ſtare queat ὥσπερ.

ἔλεγε νῦν οὐκ ἔχειν, Κορινθίους μὲν λοιδοροῦντα μεγάλην οἰκοῦντας πόλιν, αὐτοῦ δὲ ποιούμενον εἰκόνας, οὕτως ὄντος αἰσχροῦ τὴν ὄψιν. αὐξόμενος δὲ, καὶ τοῖς πολλοῖς ἀρέσκων, τέλος κατεστασίασε καὶ μετέστησεν ἐξοστρακισθέντα τὸν Ἀριστείδην.

VI. Ἤδη δὲ τοῦ Μήδου καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα, καὶ τῶν Ἀθηναίων βουλευομένων περὶ στρατηγοῦ, τοὺς μὲν ἄλλους ἑκόντας ἐκστῆναι τῆς στρατηγίας λέγουσιν, ἐκπεπληγμένους τὸν κίνδυνον· Ἐπικύδην δὲ τὸν Εὐφημίδου, δημαγωγὸν ὄντα δεινὸν μὲν εἰπεῖν, μαλακὸν δὲ τὴν ψυχὴν, καὶ χρημάτων ἥττονα, τῆς ἀρχῆς ἐφίεσθαι, καὶ κρατήσειν ἐπίδοξον εἶναι τῇ χειροτονίᾳ. τὸν οὖν Θεμιστοκλέα, δείσαντα, μὴ τὰ πράγματα διαφθαρείη παντάπασι, τῆς ἡγεμονίας εἰς ἐκεῖνον ἐκπεσούσης [1], χρήμασι τὴν φιλοτιμίαν ἐξωνήσασθαι παρὰ τοῦ Ἐπικύδους. ἐπαινεῖται δ' αὐτοῦ καὶ τὸ περὶ τὸν δίγλωσσον ἔργον ἐν τοῖς πεμφθεῖσιν ὑπὸ βασιλέως ἐπὶ γῆς καὶ ὕδατος αἴτησιν. ἑρμηνέα γὰρ ὄντα συλλαβὼν διὰ ψηφίσματος ἀπέκτεινεν, ὅτι φωνὴν Ἑλληνίδα βαρβάροις προστάγμασιν ἐτόλμησε χρῆσαι [2]. ἔτι δὲ καὶ τὸ περὶ Ἄρθμιον τὸν Ζελείτην· Θεμιστοκλέους γὰρ εἰπόντος, καὶ τοῦτον εἰς τοὺς ἀτίμους, καὶ παῖδας αὐτοῦ καὶ γένος ἐνέγραψαν [3], ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς τοὺς Ἕλληνας ἐκόμισε. μέγιστον δὲ πάντων, τὸ καταλῦσαι τοὺς Ἑλληνικοὺς πολέμους, καὶ διαλλάξαι τὰς πόλεις ἀλλήλαις, πείσαντα τὰς ἔχθρας διὰ τὸν πόλεμον ἀναβαλέσθαι. πρὸς ὃ καὶ Χείλεων τὸν Ἀρκάδα μάλιστα συναγωνίσασθαι λέγουσι.

VII.

1 Ita dedit R. de ſuo pro vulg. ἐμπεσ. cum vox ἐκπίπτειν de rebus ſecius evenientibus, aut alio, quam quo par erat, & tu voluiſſes, delatis, uſurpetur.

2 B. 2. χρῆσθαι.

3 Junt. & Ald. dant ſimplex ἔγραψαν.

VII. Παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς μὲν ἐπεχείρει τοὺς πολίτας ἐμβιβάζειν εἰς τὰς τριήρεις, καὶ τὴν πόλιν ἔπεισεν ἐκλιπόντας, ὡς προσωτάτω τῆς Ἑλλάδος ἀπαντᾷν τῷ βαρβάρῳ κατὰ θάλασσαν. ἐνισταμένων δὲ πολλῶν, ἐξήγαγε πολλὴν στρατιὰν εἰς τὰ Τέμπη μετὰ Λακεδαιμονίων, ὡς αὐτόθι προσκινδυνεύσων τῆς Θετταλίας, οὔπω τότε μηδίζειν δοκούσης· ἐπεὶ δ' ἀνεχώρησαν ἐκεῖθεν ἄπρακτοι, καὶ Θετταλῶν βασιλεῖ προσγενομένων, ἐμήδιζε τὰ μέχρι Βοιωτίας, μᾶλλον ἤδη τῷ Θεμιστοκλεῖ προσεῖχον οἱ Ἀθηναῖοι περὶ τῆς θαλάσσης, καὶ πέμπεται μετὰ νεῶν ἐπ' Ἀρτεμίσιον τὰ στενὰ [1] φυλάξων. ἔνθα δὴ τῶν μὲν Ἑλλήνων Εὐρυβιάδην καὶ Λακεδαιμονίους ἡγεῖσθαι [2] κελευόντων, τῶν δ' Ἀθηναίων, ὅτι πλήθει τῶν νεῶν σύμπαντας ὁμοῦ τι τοὺς ἄλλους ὑπερέβαλλον, οὐκ ἀξιούντων ἑτέροις ἕπεσθαι, συνιδὼν τὸν κίνδυνον ὁ Θεμιστοκλῆς, αὐτός τε τὴν ἀρχὴν Εὐρυβιάδῃ παρῆκε, καὶ κατεπράϋνε τοὺς Ἀθηναίους, ὑπισχνούμενος, ἂν ἄνδρες ἀγαθοὶ γένωνται πρὸς τὸν πόλεμον, ἑκόντας αὐτοῖς παρέξειν εἰς τὰ λοιπὰ πειθομένους τοὺς Ἕλληνας. διόπερ [3] δοκεῖ τῆς σωτηρίας αἰτιώτατος γενέσθαι τῇ Ἑλλάδι, καὶ μάλιστα τοὺς Ἀθηναίους προαγαγεῖν εἰς δόξαν, ὡς ἀνδρείᾳ μὲν τῶν πολεμίων, εὐγνωμοσύνῃ δὲ τῶν συμμάχων περιγενομένους. ἐπεὶ δὲ τοῖς Ἀφέταις τοῦ βαρβαρικοῦ στόλου προσμίξαντος, ἐκπλαγεὶς Εὐρυβιάδης τῶν κατὰ στόμα νεῶν τὸ πλῆθος, ἄλλας δὲ πυνθανόμενος διακοσίας ὑπὲρ Σκιάθου κύκλῳ περιπλεῖν, ἐβούλετο τὴν ταχίστην εἴσω τῆς Ἑλλάδος κομισθεὶς ἅψασθαι Πελοποννήσου, καὶ τὸν πεζὸν στρατὸν ταῖς ναυσὶ προσ-

1 Quæ sequuntur a τὰ στενὰ inde usque ad Εὐρυβιάδην inclus. desunt B. 3.

2 B. 3. Λακεδαιμονίων ἄγειν.

3 H. Steph. disjunctim scribendum censuit δι' ὅπερ, cum hic non significet *quocirca, quapropter*, sed *ob quod factum*.

προσπεριβαλέσθαι [1], παντάπασιν ἀπρόσμαχον [2] ἡγέμενος τὴν κατὰ θάλατταν ἀλκὴν βασιλέως, δείσαντες οἱ Εὐβοεῖς, μὴ σφᾶς οἱ Ἕλληνες πρόωνται, κρύφα τῷ Θεμιστοκλεῖ διελέγοντο, Πελάγοντα μετὰ χρημάτων πολλῶν πέμψαντες. ἃ λαβὼν ἐκεῖνος, ὡς Ἡρόδοτος ἱστόρηκε, τοῖς περὶ τὸν Εὐρυβιάδην ἔδωκεν. ἐναντιουμένου δ' αὐτῷ μάλιστα [3] τῶν πολιτῶν Ἀρχιτέλους, ὃς ἦν μὲν ἐπὶ τῆς [4] ἱερᾶς νεὼς τριήραρχος, οὐκ ἔχων δὲ χρήματα τοῖς ναύταις χορηγεῖν, ἔσπευδεν ἀποπλεῦσαι. παρώξυνεν ἔτι μᾶλλον ὁ Θεμιστοκλῆς τοὺς πολίτας ἐπ' αὐτὸν, ὥστε τὸ δεῖπνον ἁρπάσαι συνδραμόντας. τοῦ δ' Ἀρχιτέλους ἀθυμοῦντος ἐπὶ τούτῳ καὶ βαρέως φέροντος, εἰσέπεμψε Θεμιστοκλῆς πρὸς αὐτὸν ἐν κίστῃ δεῖπνον ἄρτων καὶ κρεῶν, ὑποθεὶς κάτω τάλαντον ἀργυρίου, καὶ κελεύσας αὐτόν τε δειπνεῖν ἐν τῷ παρόντι, καὶ μεθ' ἡμέραν ἐπιμεληθῆναι τῶν τριηριτῶν· εἰ δὲ μὴ, καταβοήσειν αὐτοῦ πρὸς τοὺς πολίτας, ὡς ἔχοντος ἀργύριον παρὰ τῶν πολεμίων. ταῦτα μὲν οὖν Φανίας ὁ Λέσβιος εἴρηκεν.

VIII. Αἱ δὲ γενόμεναι τότε πρὸς τὰς τῶν βαρβάρων ναῦς περὶ τὰ στενὰ μάχαι, κρίσιν μὲν εἰς τὰ ὅλα μεγάλην οὐκ ἐποίησαν, τῇ δὲ πείρᾳ μάλιστα τοὺς Ἕλληνας ὤνησαν, ὑπὸ τῶν ἔργων παρὰ τοὺς κινδύνους διδαχθέντας [5], ὡς οὔτε πλήθη νεῶν, οὔτε κόσμοι καὶ λαμπρότητες ἐπισήμων, οὔτε κραυγαὶ κομπώδεις, ἢ βάρβαροι παιά-

1 R. mavult fimplicius compofitum περιβαλέσθαι, aut προπεριβ. h. e. περιβαλέσθαι οἱονεὶ πρόβλημά τι, circumjicere claffi, tanquam propugnaculum quoddam.

2 V. ἀπροσμάχητον.

3 Ex vet. cod. additum fuit h. adv. ab H. Steph. — deeft B. 3. & Junt.

4 Artic. addidit R. e Junt. & Ald. — Eundem etiam jam exhibet edit. Frft.

5 defunt B. 3. ab ὑπὸ τῶν — usque ad διδαχθ.

παιᾶνες, ἔχουσί τι δεινὸν ἀνδράσιν ἐπισαμένοις εἰς χεῖρας ἰέναι, καὶ μάχεσθαι τολμῶσιν. ἀλλὰ δεῖ [1] τῶν τοιούτων καταφρονοῦντας, ἐπ' αὐτὰ τὰ σώματα φέρεσθαι, καὶ πρὸς ἐκεῖνα διαγωνίζεσθαι συμπλακέντας. ὃ δὴ καὶ Πίνδαρος οὐ κακῶς ἔοικε συνιδὼν, ἐπὶ τῆς ἐπ' Ἀρτεμισίῳ μάχης εἰπεῖν, ὅτι [2]

Παῖδες Ἀθηναίων ἐβάλοντο φαεννὰν [3] κρηπῖδα
ἐλευθερίας.

ἀρχὴ γὰρ ὄντως τοῦ νικᾶν, τὸ θαῤῥεῖν. ἔσι δὲ τῆς Εὐβοίας τὸ Ἀρτεμίσιον ὑπὲρ τὴν Ἑσιαίαν αἰγιαλὸς εἰς βορέαν ἀναπεπ]αμένος· ἀντιτείνει δ' αὐτῷ μάλισα τῆς ὑπὸ Φιλοκ]ήτῃ [4] χώρας γενομένης Ὀλιζών. ἔχει [5] δὲ ναὸν οὐ μέγαν Ἀρτέμιδος ἐπίκλησιν Προσηώας, καὶ δένδρα περὶ αὐτῷ [6] πέφυκε, καὶ σῆλαι κύκλῳ λίθου λευκοῦ πεπήγασιν· ὁ δὲ λίθος τῇ χειρὶ τριβόμενος, καὶ χρόαν καὶ ὀσμὴν κροκίζουσαν ἀναδίδωσιν. ἐν μιᾷ δὲ τῶν σηλῶν ἐλεγεῖον ἦν τόδε γεγραμμένον·

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας
Παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
Ναυμαχίῃ δαμάσαντες, ἐπεὶ σρατὸς ὤλετο Μήδων,
Σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

δείκνυται δὲ τῆς ἀκ]ῆς τόπος ἐν πολλῇ τῇ πέριξ θινὶ κόνιν τεφρώδη καὶ μέλαιναν ἐκ βάθους ἀναδιδοὺς, ὥσπερ πυρίκαυτον, ἐν ᾧ τὰ ναυάγια καὶ τοὺς νεκροὺς καῦσαι δοκοῦσι.

IX. Τῶν μέντοι περὶ Θερμοπύλας εἰς τὸ Ἀρτεμίσιον ἀπαγγελθέντων, πυθόμενοι Λεωνίδαν τε κεῖσθαι, καὶ κρατεῖν Ξέρξην τῶν κατὰ γῆν παρόδων, εἴσω τῆς Ἑλλά-

1 B. 3. δή.
2 H. Steph. voluit ὅθι.
3 B. 3. φανερὰν.
4 V. Φιλοκ]ήτου. Idem paulo post Προσηώσαι pro Προσηώας.
5 B. 3. ἔχειν.
6 R. mavult aut παρ' αὐτῷ, aut περὶ αὐτόν.

Ἑλλάδος ἀνεκομίζοντο, τῶν Ἀθηναίων ἐπὶ πᾶσι τεταγμένων, καὶ δι' ἀρετὴν μέγα τοῖς πεπραγμένοις φρονέντων. παραπλέων δὲ τὴν χώραν ὁ Θεμιστοκλῆς, ᾗ κατάρσεις ἀναγκαίας καὶ καταφυγὰς ἑώρα τοῖς πολεμίοις, ἐνεχάραττε κατὰ τῶν λίθων ἐπιφανῆ γράμματα, τὰς μὲν εὑρίσκων ἀπὸ τύχης, τὰς δ' αὐτὸς ἱστὰς περὶ τὰ ναύλοχα καὶ τὰς ὑδρείας· ἐπισκήπτων Ἴωσι διὰ γραμμάτων [1], εἰ μὲν οἷόν τε, μετατάξασθαι πρὸς αὐτὰς, πατέρας ὄντας καὶ προκινδυνεύοντας ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας, εἰ δὲ μὴ, κακὰν τὸ βαρβαρικὸν ἐν ταῖς μάχαις καὶ συνταράττειν. ταῦτα δ' ἤλπιζεν ἢ μεταστήσειν τὰς Ἴωνας, ἢ ταράξειν, ὑπόπτας τοῖς βαρβάροις γενομένας. Ξέρξα δὲ διὰ τῆς Δωρίδος ἄνωθεν ἐμβαλόντος εἰς τὴν Φωκίδα, καὶ τὰ τῶν Φωκέων ἄστη πυρπολᾶντος, ἀ προσήμυνον οἱ Ἕλληνες, καίπερ τῶν Ἀθηναίων δεομένων εἰς τὴν Βοιωτίαν ἀπαντῆσαι πρὸ τῆς Ἀττικῆς, ὥσπερ αὐτοὶ κατὰ θάλασσαν ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν. μηδενὸς δ' ὑπακάοντος αὐτοῖς, ἀλλὰ τῆς Πελοποννήσα περιεχομένων, καὶ πᾶσαν ἐντὸς Ἰσθμᾶ τὴν δύναμιν ὡρμημένων συνάγειν, καὶ διατειχιζόντων τὸν Ἰσθμὸν εἰς θάλατταν ἐκ θαλάττης, ἅμα μὲν ὀργὴ τῆς προδοσίας εἶχε τὰς Ἀθηναίας, ἅμα δὲ δυσθυμία καὶ κατήφεια μεμονωμένας. μάχεσθαι μὲν γὰρ ἀ διενοᾶντο μυριάσι στρατᾶ τοσαύταις· ὃ δ' ἦν μόνον ἀναγκαῖον ἐν τῷ παρόντι, τὴν πόλιν ἀφέντας ἐμφῦναι [2] ταῖς ναυσὶν, [ὅπερ [3]] οἱ πολλοὶ χαλεπῶς ἤκαον, ὡς μήτε νίκης δεόμενοι, μήτε σωτηρίαν ἐπιστάμενοι, Θεῶν τε ἱερὰ καὶ πατέρων ἠρία προϊεμένων.

X.

1 R. mavult cum artic. διὰ τῶν γρ.

2 Anon. B. 3. ἐμβῆναι.

3 Ex hac voce R. colligit deesse aliquid, quia in textu servata, constructionem reddat inexplanabilem, aut eam prorsus tollendam censet. Hinc uncis eam admonitionis ergo inclusit.

X. Ἔνθα δὴ Θεμιϛοκλῆς ἀπορῶν τοῖς ἀνθρωπίνοις λογισμοῖς προσάγεϑαι τὸ πλῆθος, ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν ἄρας, σημεῖα δαιμόνια καὶ χρησμὸς ἐπῆγεν [1] αὐτοῖς. σημεῖον μὲν λαμβάνων τὸ τῦ δράκοντος [2], ὃς ἀφανὴς ἐκείναις ταῖς ἡμέραις ἐκ τῦ σηκῦ δοκεῖ γενέϑαι· καὶ τὰς καθ' ἡμέραν αὐτῷ προτιθεμένας [3] ἀπαρχὰς εὑρίσκοντες ἀψαύςυς οἱ ἱερεῖς, ἐξήγγελλον εἰς τὺς πολλὺς, Θεμιϛοκλέυς λόγον διδόντος [4], ὡς ἀπολέλοιπε τὴν πόλιν ἡ Θεὸς ὑφηγυμένη πρὸς τὴν θάλατταν αὐτοῖς. τῷ δὲ χρησμῷ πάλιν ἐδημαγώγει, λέγων μηδὲν ἄλλο δηλῦϑαι ξύλινον τεῖχος, ἢ τὰς ναῦς· διὸ καὶ τὴν Σαλαμῖνα θείαν, ὐχὶ δειλὴν, ὐδὲ σχετλίαν, καλεῖν τὸν Θεὸν, ὡς εὐτυχήματος μεγάλυ τοῖς Ἕλλησιν ἐπώνυμον ἐσομένην. κρατήσας δὲ τῇ γνώμῃ, ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέϑαι τῇ Ἀθηνᾷ τῇ Ἀθηναίων [5] μεδεύσῃ, τὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σώζειν [6] ἕκαϛον ὡς δυνατόν. κυρωθέντος δὲ τῦ ψηφίσματος, οἱ πλεῖϛοι τῶν Ἀθηναίων ὑπεξέθεντο γονέας καὶ γυναῖκας εἰς Τροιζῆνα, φιλοτίμως πάνυ τῶν Τροιζηνίων ὑποδεχομένων. καὶ γὰρ τρέφειν ἐψηφίσαντο δημοσίᾳ, δύο ὀβολὺς ἑκάϛῳ διδόντες, καὶ τῆς ὀπώρας λαμβάνειν τὺς παῖδας ἐξεῖναι πανταχόθεν, ἔτι δ' ὑπὲρ αὐτῶν διδασκάλοις τελεῖν μιθὺς. τὸ δὲ ψήφισμα Νικαγόρας ἔγραψεν. ὐκ ὄντων δὲ δημοσίων χρημάτων

1 R. ambigit, servandumne sit hoc verbum, an cum *ἐπῇδεν* commutandum, — *occinebat*, leniendi & sopiendi ergo.
2 Br. mavult *ἀπὸ τῦ δράκοντος*, Lapo vertente: signum ex dracone nactus.
3 Junt. *προστιθεμ.* quod Br. haud displicet.
4 R. susp. *διαδόντος.*
5 R. mavult *Ἀθηνῶν*, Athenarum reginæ.
6 Desunt B. 3. ab *εἰς τὰς Τρ.* usque ad *σώζειν.*

μάτων τοῖς Ἀθηναίοις, Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ἑκάστῳ τῶν στρατευομένων ὀκτὼ δραχμὰς, αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις· Κλείδημος δὲ καὶ τοῦτο Θεμιστοκλέους ποιεῖται στρατήγημα [1]. καταβαινόντων γὰρ εἰς Πειραιᾶ τῶν Ἀθηναίων φησὶν ἀπολέσθαι τὸ [2] Γοργόνειον ἀπὸ τῆς Θεοῦ τοῦ ἀγάλματος· τὸν οὖν Θεμιστοκλέα προσποιούμενον ζητεῖν, καὶ διερευνώμενον ἅπαντα, χρημάτων εὑρίσκειν πλῆθος ἐν ταῖς ἀποσκευαῖς ἀποκεκρυμμένον· ὧν εἰς μέσον κομισθέντων, εὐπορῆσαι τοὺς ἐμβαίνοντας εἰς τὰς ναῦς ἐφοδίων. ἐκπλεούσης δὲ τῆς πόλεως, τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης παρεῖχε, γονέας μὲν ἄλλῃ προπεμπόντων, αὐτῶν δ᾽ ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γονέων [3] καὶ περιβολὰς διαπεράντων εἰς τὴν νῆσον. καίτοι πολλοὶ μὲν διὰ γῆρας ἀπολιμπανόμενοι [4] τῶν πολιτῶν ἔλεον εἶχον. ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζώων ἐπικλῶσα γλυκυθυμία μετ᾽ ὠρυγῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσιν. ἐν οἷς ἱστορεῖται κύων Ξανθίππου τοῦ Περικλέους πατρὸς, οὐκ ἀναχόμενος [5] τὴν ἀπ᾽ αὐτοῦ μόνωσιν, ἐναλέσθαι τῇ θαλάττῃ, καὶ τῇ τριήρει παρανηχόμενος, ἐμπεσεῖν εἰς τὴν Σαλαμῖνα, καὶ λειποθυμήσας ἀποθανεῖν εὐθύς. οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν καὶ καλούμενον Κυνὸς σῆμα, τάφον εἶναι λέγουσι.

XI.

1 Antea legebatur, ut in Juntina: Θεμιστοκλ. γενέσθαι στρατ. ποι. — Hunc infin. ſuſtulit H. Steph. ſecutus veteres codd. illum omittentes. Pro ποιεῖται B. 3. dat πεποίηται.

2 Ita V. & B. 3. ſubaud. πρόσωπον. Lect. vulg. habet τὸν; qua ſervata, ſubaudiendum eſt ὀμφαλὸν, ſecundum R. ſive θυρεὸν, vel tale quid, ſecundum Xyl.

3 Br. mavult γυναικῶν, quod proxime proceſſerit γονέας, & δακρ. & οἰμ. foeminis magis conveniant.

4 V. B. 3 ἀπολειπόμενοι.

5 V. ἀνέχεσθαι.

XI. Ταῦτα δὴ μεγάλα τοῦ Θεμιστοκλέους. καὶ [1], τοὺς πολίτας αἰδόμενος ποθοῦντας Ἀριστείδην, καὶ δεδιότας, μὴ δι' ὀργὴν τῷ βαρβάρῳ προσθεὶς ἑαυτὸν, ἀνατρέψῃ τὰ πράγματα τῆς Ἑλλάδος· ἐξωστράκιστο γὰρ πρὸ τοῦ πολέμου καταστασιασθεὶς ὑπὸ Θεμιστοκλέους· γράφει ψήφισμα, τοῖς ἐπὶ χρόνῳ μεθεστῶσιν ἐξεῖναι κατελθοῦσι πράττειν καὶ λέγειν τὰ βέλτιστα τῇ Ἑλλάδι μετὰ τῶν ἄλλων πολιτῶν. Εὐρυβιάδου δὲ τὴν μὲν ἡγεμονίαν τῶν [2] νεῶν ἔχοντος διὰ τὸ τῆς Σπάρτης ἀξίωμα, μαλακοῦ δὲ περὶ τὸν κίνδυνον ὄντος, αἴρειν δὲ βουλομένου καὶ πλεῖν ἐπὶ τὸν Ἰσθμὸν, ὅπου καὶ τὸ πεζὸν ἤθροιστο τῶν Πελοποννησίων, ὁ Θεμιστοκλῆς ἀντέλεγεν. ὅτε καὶ τὰ μνημονευόμενα λεχθῆναί φασι. τοῦ γὰρ Εὐρυβιάδου πρὸς αὐτὸν εἰπόντος· Ὦ Θεμιστόκλεις, ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους ῥαπίζουσι· Ναὶ, εἶπεν ὁ Θεμιστοκλῆς, ἀλλὰ τοὺς ἀπολειφθέντας οὐ στεφανοῦσιν. ἐπαραμένου δὲ τὴν βακτηρίαν ὡς πατάξοντος, ὁ Θεμιστοκλῆς ἔφη· Πάταξον μὲν, ἄκουσον δέ. θαυμάσαντος δὲ τὴν πρᾳότητα τοῦ Εὐρυβιάδου, καὶ λέγειν κελεύσαντος, ὁ μὲν [3] Θεμιστοκλῆς ἀνῆγεν αὐτὸν ἐπὶ τὸν λόγον [4]. εἰπόν-



1 Br. supplendum censet ὃς ante καὶ quod finalis syllaba prioris vocis absorpserit. R. conjectura hæc est: καὶ (sc. μέγα τοῦ Θεμ. ἐστὶν) ὅτι τοὺς πολ.

2 B. 3. legit αὐτῶν.

3 Hæc partic. deest Junt.

4 R. susp. ἐπὶ τὸν σύλλογον, *ad conventum principum Græciæ*, Themistocles Eurybiadem reduxit. At equidem nil in textu video s. observo, unde colligere possim, Eurybiadem hunc conventum, quem R. supponit, deserere voluisse. Contrarium potius præcedentia: θαυμάσαντος, λέγειν κελεύσαντος, suggerere videntur. At quid de lectione recepta censendum, prorsus incongrua, qualicunque modo eam interpreteris? Liceat meam conjecturam aliorum judicio subjicere. Superfluas prorsus has voces & otiosas existimo, quæ male in hunc locum ex fine sequentis constructionis, ἐπιστρέψαι τὸν λόγον, irrepserunt. Facillime

εἰπόντος δέ τινος, ὡς ἀνὴρ ἄπολις ὐκ ὀρθῶς διδάσκει τὺς ἔχοντας ἐγκαταλιπεῖν καὶ προέσθαι τὰς πατρίδας, ὁ Θεμιςοκλῆς ἐπιςρέψας τὸν λόγον· Ἡμεῖς τοι, εἶπεν, ὦ μοχθηρὲ, τὰς μὲν οἰκίας καὶ τὰ τείχη καταλελοίπαμεν, ὐκ ἀξιῦντες ἀψύχων ἕνεκα δυλεύειν· πόλις δ' ἡμῖν ἐςι μεγίςη τῶν Ἑλληνίδων, αἱ διακόσιαι [1] τριήρεις, αἳ νῦν ὑμῖν [2] παρεςᾶσι βοηθοὶ σώζεσθαι δι' αὐτῶν βυλομένοις. εἰ δ' ἄπιτε δεύτερον ἡμᾶς προδόντες, αὐτίκα πεύσεταί τις Ἑλλήνων Ἀθηναίυς, καὶ πόλιν ἐλευθέραν, καὶ χώραν ὐ χείρονα κεκτημένυς, ἧς ἀπέβαλον. Ταῦτα τῦ Θεμιςοκλέυς εἰπόντος, ἔννοια καὶ δέος ἔσχε τὸν Εὐριβιάδην τῶν Ἀθηναίων, μὴ σφᾶς ἀπολιπόντες οἴχωνται. τῦ δ' Ἐρετριέως πειρωμένυ λέγειν [3] τι πρὸς αὐτόν. Ἦ [4] γὰρ, ἔφη, καὶ ὑμῖν περὶ πολέμυ τίς ἐςι λόγος, οἳ, καθάπερ αἱ τευθίδες, μάχαιραν μὲν ἔχετε, καρδίαν δ' ὐκ ἔχετε;

XII. Λέγεται δ' ὑπό τινων, τὸν μὲν Θεμιςοκλέα περὶ τύτων ἀπὸ τῦ καταςρώματος ἄνωθεν τῆς νεὼς διαλέγεσθαι, γλαῦκα δ' ὀφθῆναι διαπετομένην ἐπὶ τὰ δεξιὰ

lime hoc etiam nescio quomodo h. l. fieri potuisse, non dubito, quin lector benevolus, tot aliorum exemplorum memor, mihi concedat. Si porro vox ἀνάγειν eo sensu, quo haud raro occurrit, & idem valet, ac διδάσκειν s. πείθειν, sumitur, mihi quidem sensus planus plenusque videtur. Aliam quidem & a textu recepto diversam lectionem habuisse vel supposuisse Xylandrum, ex ejus versione satis apparet: Tum Eurybiades mite ingenium admiratus, dicere eum jussit. Ibi cum ad institutum de pugna ad Salaminam facienda sermonem revertisset, quidam hominem urbe carentem, non recte iis, qui patriam haberent, ejus deserendæ auctorem fieri dixit. Ad eum conversa oratione Themistocles: &c.

1 Teste H. Steph. in quibusdam est τριακόσιαι.
2 B. 3. Junt. ἡμῖν.
3 Hoc τι ex B. 3. est receptum. A vulg. abest.
4 V. e Junt. εἰ; uti paulo post οἷον καθάπερ.

ξιὰ τῶν νεῶν, καὶ τοῖς καρχησίοις ἐπικαθίζουσαν· διὸ [1] δὴ καὶ μάλιστα προσέθεντο τῇ γνώμῃ, καὶ παρεσκευάζοντο ναυμαχήσοντες. ἀλλ' ἐπεὶ τῶν πολεμίων ὁ στόλος τῇ Ἀττικῇ κατὰ τὸ Φαληρικὸν προσφερόμενος, τοὺς πέριξ ἀπέκρυψεν αἰγιαλοὺς, αὐτός τε βασιλεὺς μετὰ τοῦ πεζοῦ στρατοῦ καταβὰς ἐπὶ τὴν θάλατταν ἄθρους ὤφθη, τῶν δυνάμεων ὁμοῦ γενομένων, ἐξεῤῥύησαν οἱ τοῦ Θεμιστοκλέους λόγοι τῶν Ἑλλήνων, καὶ πάλιν ἐπάπταινον οἱ Πελοποννήσιοι πρὸς τὸν Ἰσθμὸν, εἴ τις ἄλλο τι λέγοι χαλεπαίνοντες. ἐδόκει δὲ τῆς νυκτὸς ἀποχωρεῖν, καὶ παρηγγέλλετο πλοῦς τοῖς κυβερνήταις. ἔνθα δὴ βαρέως φέρων ὁ Θεμιστοκλῆς, εἰ τὴν ἀπὸ τοῦ τόπου [2] καὶ τῶν στενῶν προέμενοι βοήθειαν οἱ Ἕλληνες διαλυθήσονται κατὰ πόλεις, ἐβουλεύετο καὶ συνετίθει τὴν περὶ τὸν Σίκινον πραγματείαν. ἦν δὲ τῷ γένει Πέρσης ὁ Σίκινος αἰχμάλωτος, εὔνους δὲ τῷ Θεμιστοκλεῖ, καὶ τῶν τέκνων αὐτοῦ παιδαγωγός. ὃν ἐκπέμπει πρὸς τὸν Πέρσην [3] κρύφα, κελεύσας λέγειν, ὅτι Θεμιστοκλῆς, ὁ τῶν Ἀθηναίων στρατηγὸς, αἱρούμενος τὰ βασιλέως, ἐξαγγέλλει πρῶτος αὐτῷ τοὺς Ἕλληνας ἀποδιδράσκοντας, καὶ διακελεύεται μὴ παρεῖναι φυγεῖν αὐτοῖς, ἀλλ' ἐν ᾧ ταράσσονται τῶν πεζῶν χωρὶς ὄντες, ἐπιθέσθαι καὶ διαφθεῖραι τὴν ναυτικὴν δύναμιν. ταῦτα δ' ὁ Ξέρξης ὡς ἀπ' εὐνοίας λελεγμένα δεξάμενος, ἥσθη, καὶ τέλος [4]



1 H. Steph. placet δι' ὃ, ut supra δι' ὅπερ. Seq. καὶ deest B. 3.

2 H. Steph. teste etiam legitur τῶν τόπων; seq. τῶν στενῶν dedit R. de suo pro vulg. στενωπῶν.

3 In aliis, teste H. Steph. τὸν Ξέρξην, eod. sensu.

4 Teste H. Steph. vet. codd. non habent τέλος; neque *denique* significans, conveniret cum voce εὐθύς. Br. per vocem τέλος *edictum*, *praeceptum* intelligi vult, cum οἱ ἐν τέλει denotet magistratus, loco ex Coriolan. Cap. 6. citato (μηδὲν τέλος ἐκφερούσης) cui eundem sensum adaptari posse censet. R. susp.

εὐθὺς ἐξέφερε πρὸς τὰς ἡγεμόνας τῶν νεῶν, τὰς μὲν ἄλλας πληρῦν καθ' ἡσυχίαν, διακοσίαις δ' ἀναχθέντας ἤδη περιβαλέσθαι τὸν πόρον ἐν κύκλῳ πάντα, καὶ διαζῶσαι τὰς νήσους, ὅπως ἐκφύγῃ μηδεὶς τῶν πολεμίων. τούτων δὲ πραττομένων, Ἀριστείδης ὁ Λυσιμάχου πρῶτος αἰσθόμενος ἧκεν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους, οὐκ ὢν φίλος, ἀλλὰ καὶ δι' ἐκεῖνον ἐξωστρακισμένος, ὥσπερ [1] εἴρηται· προελθόντι δὲ τῷ Θεμιστοκλεῖ φράζει τὴν κύκλωσιν. ὁ δὲ, τήν τ' ἄλλην καλοκαγαθίαν τοῦ ἀνδρὸς εἰδὼς, καὶ τῆς τότε παρουσίας ἀγάμενος, φράζει τὰ περὶ τὸν Σίκινον αὐτῷ, καὶ παρεκάλει τῶν Ἑλλήνων συνεπιλαμβάνεσθαι καὶ συμπροθυμεῖσθαι, πίστιν ἔχοντα μᾶλλον, ὅπως ἐν τοῖς στενοῖς ναυμαχήσωσιν. ὁ μὲν οὖν Ἀριστείδης ἐπαινέσας τὸν Θεμιστοκλέα, τοὺς ἄλλους ἐπῄει στρατηγοὺς καὶ τριηράρχους ἐπὶ τὴν μάχην παροξύνων. ἔτι δ' ὅμως ἀπιστούντων, ἐφάνη Τενεδία [2] [μία] τριήρης αὐτόμολος, ἧς ἐναυάρχει Παναίτιος, ἀπαγγέλλουσα κύκλωσιν· ὥστε καὶ θυμῷ [3] τοὺς Ἕλληνας κινῆσαι μετ' ἀνάγκης πρὸς τὸν κίνδυνον.

XIII. Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆστο τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός φησιν, ὑπὲρ τὸ Ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος· ὡς δ' Ἀκεστόδωρος, ἐν μεθορίῳ τῆς Μεγαρίδος, ὑπὲρ τῶν καλουμένων κεράτων, χρυ-

καὶ γελάσας εὐθὺς, statimque cum gaudio rem ad magnates extulit vel retulit. Pro καὶ γέλας B. 3. dat γέλος δ'. Post seq. τῶν νεῶν R. videtur deesse ὧν ἐδόκει, referendo ὧν ad νεῶν.

1 B. 3. ὡς; in seq. pro φράζει, λέγει; pro συνεπιλαμβάνεσθαι, ἐπιλαμβάνεσθαι.

2 Palmerius corrigit Τηνία, ab insula Teno. R. in seq. μία latere dicit νία exitum vocabuli Τηνία, eamque vocem delendam censet.

3 R mavult θυμὸν, adeo ut ira unacum necessitate Græcos moveret.

χρυσοῦν δίφρον θέμενος, καὶ γραμματεῖς πολλὰς παραστησάμενος, ὧν ἔργον ἦν ἀπογράφεσθαι κατὰ μάχην τὰ πραττόμενα. Θεμιστοκλεῖ δὲ παρὰ τὴν ναυαρχίδα τριήρη σφαγιαζομένῳ τρεῖς προσήχθησαν αἰχμάλωτοι, κάλλιστοι μὲν ἰδέσθαι τὴν ὄψιν, ἐσθῆσι δὲ καὶ χρυσῷ κεκοσμημένοι διαπρεπῶς. ἐλέγοντο δὲ Σανδαύκης παῖδες εἶναι, τῆς βασιλέως ἀδελφῆς καὶ Αὐτάρκτου. τούτους ἰδὼν Εὐφραντίδης ὁ μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν μέγα καὶ περιφανὲς πῦρ, ἅμα δὲ πταρμὸς ἐκ τῶν δεξιῶν ἐσήμηνε, τὸν Θεμιστοκλέα δεξιωσάμενος, ἐκέλευσε τῶν νεανίσκων κατάρξασθαι, καὶ καθιερῶσαι πάντας ὠμηστῇ [1] Διονύσῳ προσευξάμενον· οὕτω γὰρ ἅμα σωτηρίαν τε καὶ νίκην ἔσεσθαι τοῖς Ἕλλησιν. ἐκπλαγέντος δὲ τοῦ Θεμιστοκλέους ὡς μέγα τὸ μάντευμα καὶ δεινὸν, οἷον εἴωθεν ἐν μεγάλοις ἀγῶσι καὶ πράγμασι χαλεποῖς, μᾶλλον ἐκ τῶν παραλόγων, ἢ τῶν εὐλόγων, τὴν σωτηρίαν ἐλπίζοντες οἱ πολλοὶ, τὸν Θεὸν ἅμα κοινῇ κατεκαλοῦντο φωνῇ, καὶ τοὺς αἰχμαλώτους τῷ βωμῷ προσαγαγόντες, ἠνάγκασαν, ὡς ὁ μάντις ἐκέλευσε, τὴν θυσίαν συντελεσθῆναι. ταῦτα μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν Φανίας ὁ Λέσβιος εἴρηκε.

XIV. Περὶ δὲ τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν Αἰσχύλος ὁ ποιητὴς, ὡς ἂν εἰδὼς καὶ διαβεβαιούμενος, ἐν τραγῳδίᾳ Πέρσαις λέγει ταῦτα·

Ξέρξῃ [2] δὲ (καὶ γὰρ οἶδα) χιλιὰς μὲν ἦν
Νεῶν τὸ πλῆθος· αἱ δ' ὑπερκόμποι τάχει [3],
Ἑκατὸν δὶς ἦσαν, ἑπτά θ'· ὧδ' ἔχει λόγος.

τῶν δ' Ἀττικῶν, ἑκατὸν ὀγδοήκοντα τὸ πλῆθος οὐσῶν, ἑκάστη τοὺς ἀπὸ τοῦ καταστρώματος μαχομένους, ὀκτωκαί-



1 B. 3. ὡς μυστῇ.
2 B. 1. Ξέρξης; ibid. desunt καὶ γὰρ οἶδα.
3 B. 3. τάχα.

δεκα εἶχεν· ὧν τοξόται τέσσαρες ἦσαν, οἱ λοιποὶ δ' ὁπλῖται. δοκεῖ δ' ἐχ ἧτ]ον εὖ τὸν καιρὸν ὁ Θεμιςοκλῆς, ἢ τὸν τόπον, συνιδὼν καὶ φυλάξας, μὴ πρότερον ἀντιπρώρες καταςῆσαι ταῖς βαρβαρικαῖς τὰς τριήρεις, ἢ τὴν εἰωθυῖαν ὥραν παραγενέθαι, τὸ [1] πνεῦμα λαμπρὸν ἐκ πελάγες ἀεὶ καὶ κῦμα διὰ τῶν ςενῶν κατάγεσαν· ὃ τὰς μὲν Ἑλληνικὰς ἐκ ἔβλαπ]ε ναῦς, ἀλιτενεῖς [2] ἔσας καὶ ταπεινοτέρας, τὰς δὲ βαρβαρικὰς, ταῖς τε πρύμναις ἀνεςώσας, καὶ τοῖς [3] καταςρώμασιν ὑψορόφες καὶ βαρείας ἐπιφερομένας ἔσφαλλε προσπίπ]ον, καὶ παρεδίδε πλαγίας τοῖς Ἕλλησιν ὀξέως προσφερομένοις, καὶ τῷ Θεμιςοκλεῖ προσέχεσιν, ὡς ὁρῶντι μάλιςα τὸ συμφέρον· καὶ ὅτι κατ' ἐκεῖνον [4] ὁ Ξέρξε ναύαρχος Ἀριαμένης, ναῦν ἔχων μεγάλην, ὥσπερ ἀπὸ τείχες ἐτόξευε καὶ ἠκόντιζεν [5], ἀνὴρ ἀγαθὸς ὤν, καὶ τῶν βασιλέως ἀδελφῶν πολὺ κράτιςός τε καὶ δικαιότατος. τῦτον μὲν ἒν Ἀμεινίας ὁ Δεκελεὺς, καὶ Σωσικλῆς ὁ Πεδιεὺς ὁμῦ πλέοντες, ὡς αἱ νῆες ἀντίπρωροι προσπεσῦσαι καὶ συνερείσασαι τοῖς χαλκώμασιν ἐνεσχέθησαν, ἐπιβαίνοντα τῆς αὐτῶν τριήρες, ὑποςάντες καὶ τοῖς δόρασι τύπ]οντες, εἰς τὴν θάλασσαν ἐνέβαλον· καὶ τὸ σῶμα μετ' ἄλλων φερόμενον ναυαγίων Ἀρτεμισία γνωρίσασα πρὸς Ξέρξην ἀνήνεγκεν.

XV. Ἐν δὲ τέτῳ τῦ ἀγῶνος ὄντος, φῶς μὲν ἐκλάμψαι μέγα λέγεσιν Ἐλευσινόθεν, ἦχον δὲ καὶ φωνὴν τὸ

1 R. legi vult τὴν, quia si τὸ servetur, non solum καὶ τὸ κῦμα sed etiam κατάγειν legendum sit, qui infinitivus aptus foret ex εἰωθυῖαν, *solitam deducere.*

2 Ita ex emend. Br. pro vulg. ἀτενεῖς. Lapus vertit demissiores.

3 V. ταῖς.

4 Plena locutio hæc est: καὶ τῦτο δὲ τὰς Πέρσας ἔβλαπ]εν, ὅτι κατ' ἐκεῖνον τὸν καιρὸν —

5 B. 3. desunt καὶ ἠκοντ.

τὸ Θριάσιον κατέχειν πεδίον, ἄχρι τῆς θαλάττης, ὡς ἀνθρώπων ὁμȣ̃ πολλῶν τὸν μυστικὸν ἐξαγαγόντων ἴακχον. ἐκ δὲ τȣ̃ πλήθȣς τῶν Φθεγγομένων, κατὰ μικρὸν ἀπὸ γῆς ἀναφερόμενον νέφος ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς τριήρεις. ἕτεροι δὲ φάσματα καὶ εἴδωλα καθορᾶν ἔδοξαν ἐνόπλων ἀνδρῶν, ἀπ' Αἰγίνης [1] τὰς χεῖρας ἀνεχόντων πρὸ τῶν Ἑλληνικῶν τριηρῶν· ȣ̃ς εἴκαζον Αἰακίδας εἶναι, παρακεκλημένȣς εὐχαῖς πρὸ τῆς μάχης ἐπὶ τὴν βοήθειαν. πρῶτος μὲν ȣ̃ν λαμβάνει ναῦν Λυκομήδης, ἀνὴρ Ἀθηναῖος, τριηραρχῶν, ἧς τὰ παράσημα περικόψας ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ. οἱ δ' ἄλλοι τοῖς βαρβάροις ἐξισȣ́μενοι τὸ πλῆθος, ἐν στενῷ κατὰ μέρος προσφερομένȣς [2], καὶ περιπίπτοντας ἀλλήλοις, ἐτρέψαντο μέχρι δείλης ἀντισχόντας, ὡς εἴρηκε Σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην, ἧς ȣ̓θ' Ἕλλησιν, ȣ̓́τε βαρβάροις ἐνάλιον ἔργον εἴργασται λαμπρότερον, ἀνδρείᾳ μὲν καὶ προθυμίᾳ κοινῇ τῶν ναυμαχησάντων, γνώμῃ δὲ καὶ δεινότητι Θεμιστοκλέȣς.

XVI. Μετὰ δὲ τὴν ναυμαχίαν, Ξέρξης μὲν ἔτι θυμομαχῶν πρὸς τὴν ἀπότευξιν [3] ἐπεχείρει διὰ χωμάτων ἐπάγειν τὸ πεζὸν εἰς Σαλαμῖνα, τοῖς Ἕλλησιν ἐμφράξας τὸν διὰ μέσȣ πόρον. Θεμιστοκλῆς δ' ἀποπειρώμενος Ἀριστείδȣ, λόγῳ γνώμην ἐποιεῖτο λύειν τὸ ζεῦγμα ταῖς ναυσὶν ἐπιπλεύσαντας [4] εἰς Ἑλλήσποντον. Ὅπως, ἔφη, τὴν Ἀσίαν ἐν τῇ Εὐρώπῃ λάβωμεν. δυσχεραίνοντος δὲ τȣ̃ Ἀριστείδȣ, καὶ λέγοντος, ὅτι νῦν μὲν τρυ-

T 5 φῶντι

1 R. videtur deesse ἀνασχόντα, aut προσφερόμενα, aut simile quid.

2 Junt. dat προσφερομένοις, quod R. probasset, si proximum καὶ absuisset.

3 Teste H. Steph. etiam legitur ἀπόζευξιν.

4 R. mavult ἀποπλεύσαντας. Cur non ἀναπλεύσαντας, uti mox infra ἀναπλεῖν εἰς τὸν Ἑλλήσποντον ἐπὶ τὸ ζεῦγμα?

φῶντι τῷ βαρβάρῳ πεπολεμήκαμεν [1], ἂν δὲ κατακλείσωμεν εἰς τὴν Ἑλλάδα, καὶ καταστήσωμεν εἰς ἀνάγκην ὑπὸ δέους ἄνδρα τηλικούτων δυνάμεων κύριον, οὐκέτι καθήμενος ὑπὸ σκιάδι χρυσῇ θεάσεται τὴν μάχην ἐφ' ἡσυχίας, ἀλλὰ πάντα τολμῶν, καὶ πᾶσιν αὐτὸς παρὼν διὰ τὸν κίνδυνον, ἐπανορθώσεται τὰ παρειμένα, καὶ βουλεύσεται βέλτιον ὑπὲρ τῶν ὅλων. Οὐ τὴν οὖσαν οὖν, ἔφη, δεῖ γέφυραν, ὦ Θεμιστόκλεις, ἡμᾶς ἀναιρεῖν, ἀλλ' ἑτέραν, εἴπερ οἷόν τε, προσκατασκευάσαντας [2], ἐκβαλεῖν διὰ τάχους τὸν ἄνθρωπον ἐκ τῆς Εὐρώπης· Οὐκοῦν, εἶπεν ὁ Θεμιστοκλῆς, εἰ δοκεῖ ταῦτα συμφέρειν, ὥρα σκοπεῖν καὶ μηχανᾶσθαι πάντας [3] ἡμᾶς, ὅπως ἀπαλλαγήσεται [4] τὴν ταχίστην ἐκ τῆς Ἑλλάδος. ἐπεὶ δὲ ταῦτ' ἔδοξε, πέμπει τινὰ τῶν βασιλικῶν εὐνούχων ἐν τοῖς αἰχμαλώτοις ἀνευρὼν, Ἀρνάκην ὄνομα, φράζειν βασιλεῖ κελεύσας, ὅτι τοῖς μὲν Ἕλλησι δέδοκται, τῷ ναυτικῷ κεκρατηκότας, ἀναπλεῖν εἰς τὸν Ἑλλήσποντον ἐπὶ τὸ ζεῦγμα, καὶ λύειν τὴν γέφυραν· Θεμιστοκλῆς δὲ κηδόμενος βασιλέως, παραινεῖ σπεύδειν ἐπὶ τὴν ἑαυτοῦ θάλασσαν, καὶ περαιοῦσθαι, μέχρις αὐτὸς ἐμποιεῖ τινας διατριβὰς τοῖς συμμάχοις καὶ μελλήσεις πρὸς τὴν δίωξιν. Ταῦθ' ὁ βάρβαρος ἀκούσας, καὶ γενόμενος περίφοβος, διὰ τάχους ἐποιεῖτο τὴν ἀναχώρησιν. καὶ πεῖραν ἡ Θεμιστοκλέους καὶ Ἀριστείδου φρόνησις ἐν Μαρδονίῳ παρέσχεν, εἴγε πολλοστημορίῳ τῆς Ξέρξου δυνάμεως διαγωνισάμενοι Πλαταιάσιν [5], εἰς τὸν περὶ τῶν ὅλων κίνδυνον κατέστησαν.

XVII.

1 R. mavult compositum προσπεπολ.

2 V. κατασκευάσαντες.

3 Br. mavult πάντως, cum res non nisi inter Themistoclem & Aristidem solos agitata fuerit. Sed nonne ad omnes alios loquendo respicere, eosque complecti potuit, quorum intererat, Græciam, quocunque modo, unitis viribus ab hoste liberare?

4 Ita dedit R. suo arbitratu pro vulg. ἀπαλλαγήσηται.

5 V. e Junt. B. 3. Πλαταιεῦσιν.

XVII. Πόλεων μὲν ἓν τὴν Αἰγινητῶν ἀριςεῦσαί φησιν Ἡρόδοτος, Θεμιςοκλεῖ δὲ, καίπερ ἄκοντες [1] ὑπὸ φθόνε, τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες. ἐπεὶ γὰρ ἀναχωρήσαντες εἰς τὸν Ἰσθμὸν ἀπὸ τῦ βωμῦ τὴν ψῆφον ἔφερον οἱ ςρατηγοὶ, πρῶτον μὲν ἕκαςος ἑαυτὸν ἀπέφαινεν ἀρετῇ, δεύτερον δὲ μεθ' ἑαυτὸν, Θεμιςοκλέα. Λακεδαιμόνιοι δ' εἰς τὴν Σπάρτην αὐτὸν καταγαγόντες, Εὐρυβιάδῃ μὲν ἀνδρείας, ἐκείνῳ δὲ σοφίας ἀριςεῖον ἔδοσαν, θαλλῦ ςέφανον· καὶ τῶν κατὰ τὴν πόλιν ἁρμάτων τὸ πρωτεῦον ἐδωρήσαντο, καὶ τριακοσίυς τῶν νέων πομπὺς ἄχρι τῶν ὅρων συνεξέπεμψαν. λέγεται δ', Ὀλυμπίων τῶν ἐφεξῆς ἀγομένων, καὶ παρελθόντος εἰς τὸ ςάδιον τῦ Θεμιςοκλέυς, ἀμελήσαντας τῶν ἀγωνιςῶν τὺς παρόντας, ὅλην τὴν ἡμέραν ἐκεῖνον θεᾶσθαι [2], καὶ τοῖς ξένοις ἐπιδεικνύειν ἅμα θαυμάζοντας καὶ κροτῦντας. ὥςε καὶ αὐτὸν ἡσθέντα πρὸς τὺς φίλυς ὁμολογῆσαι τὸν καρπὸν ἀπέχειν τῶν ὑπὲρ τῆς Ἑλλάδος αὐτῷ πονηθέντων.

XVIII. Καὶ γὰρ ἦν τῇ φύσει φιλοτιμότατος, εἰ δεῖ τεκμαίρεσθαι διὰ τῶν ἀπομνημονευομένων. αἱρεθεὶς τε γὰρ ναύαρχος ὑπὲρ τῆς πόλεως, ὐδὲν ὖτε τῶν ἰδίων, ὖτε τῶν κοινῶν, κατὰ μέρος ἐχρημάτιζεν, ἀλλὰ πᾶν ἀνεβάλλετο τὸ προσπίπτον εἰς τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἐκπλεῖν ἔμελλεν, ἵν' ὁμῦ πολλὰ πράττων πράγματα, καὶ παντοδαποῖς ἀνθρώποις ὁμιλῶν, μέγας εἶναι δοκῇ, καὶ πλεῖςον δύνασθαι. τῶν τε νεκρῶν τὺς ἐκπεσόντας ἐπισκοπῶν παρὰ τὴν θάλασσαν, ὡς εἶδε περικείμενα ψέλλια χρυσᾶ καὶ ςρεπτὺς, αὐτὸς μὲν παρῆλθε, τῷ δ' ἑπομένῳ φίλῳ δείξας, εἶπεν· Ἀνελῦ σαυτῷ· σὺ γὰρ ὐκ εἶ Θεμιςοκλῆς. πρὸς δέ τινα τῶν καλῶν γεγονότων,

1 V. ἀκοντὶ (in cat. Variant. ed. Frft. ἄκοντι) vel ἄκοντες.

2 B. 3. θεάσασθαι; uti & ibid. & Junt. deest præced. τὴν.

των, Ἀντιφάτην, ὑπερηφάνως αὐτῷ κεχρημένον πρότερον, ὕστερον δὲ θεραπεύοντα διὰ τὴν δόξαν· Ὦ μειράκιον, εἶπεν, ὀψὲ μὲν, ἀμφότεροι δ' ἅμα, νῦν ἐσχήκαμεν. ἔλεγε δὲ, τοὺς Ἀθηναίους οὐ τιμᾶν αὐτὸν, οὐδὲ θαυμάζειν, ἀλλ' ὥσπερ πλατάνῳ χειμαζομένους μὲν ὑποτρέχειν καὶ κινδυνεύοντας, εὐδίας δὲ περὶ αὐτοὺς γενομένης, τίλλειν καὶ κολούειν. τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἔσχηκε δόξαν, ἀλλὰ διὰ τὴν πόλιν· Ἀληθεύων λέγεις, εἶπεν, ἀλλ' οὔτ' ἂν ἐγὼ, Σερίφιος ὢν, ἐγενόμην ἔνδοξος, οὔτε σὺ, Ἀθηναῖος. ἑτέρου δέ τινος τῶν στρατηγῶν, ὡς ἔδοξέ τι χρήσιμον διαπεπρᾶχθαι τῇ πόλει, θρασυνομένου πρὸς τὸν Θεμιστοκλέα, καὶ τὰς ἑαυτοῦ ταῖς ἐκείνου πράξεσιν ἀντιπαραβάλλοντος, ἔφη τῇ ἑορτῇ τὴν ὑστέραν [1] ἐρίσαι, λέγουσαν, ὡς ἐκείνη μὲν ἀσχολιῶν τε μεστὴ καὶ κοπώδης ἐστὶν, ἐν αὐτῇ δὲ πάντες ἀπολαύουσι τῶν παρεσκευασμένων σχολάζοντες· τὴν δ' ἑορτὴν [2] πρὸς ταῦτ' εἰπεῖν· Ἀληθῆ λέγεις· ἀλλ' ἐμοῦ μὴ γενομένης, σὺ οὐκ ἂν ἦσθα· κἀμοῦ τοίνυν, ἔφη, τότε μὴ γενομένου, ποῦ ἂν ἦτε νῦν ὑμεῖς; τὸν δ' υἱὸν ἐντρυφῶντα τῇ μητρὶ [3], καὶ δι' ἐκείνην αὐτῷ, σκώπτων ἔλεγε πλεῖστον τῶν Ἑλλήνων δύνασθαι· τοῖς μὲν γὰρ Ἕλλησιν ἐπιτάττειν Ἀθηναίους, Ἀθηναίοις δ' αὐτὸν, αὐτῷ δὲ τὴν ἐκείνου μητέρα, τῇ μητρὶ δ' ἐκεῖνον. ἴδιος δέ τις ἐν πᾶσι βουλόμενος εἶναι, χωρίον μὲν πιπράσκων, ἐκέλευε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει. τῶν δὲ μνωμένων αὐτοῦ τὴν θυγατέρα, τὸν ἐπιεικῆ τοῦ πλουσίου προκρίνας, ἔφη ζητεῖν ἄνδρα

1 Anon. τῇ ὑστέρᾳ τὴν ἑορτήν.

2 Anon. τὴν δὲ ὑστέραν.

3 Teste H. Steph. hic locus etiam ita est scriptus: τῷ δὲ υἱῷ ἐκτρυφώσης τῆς μητρὸς, quæ lectio ipsi minus placet. Id. pro statim seq. ἐκείνην mavult ἐκείνης, ut dicat, filium ἐντρυφᾶν τῇ μητρὶ, nec non τῷ πατρὶ διὰ τῆς μητρὸς.

δρα χρημάτων δεόμενον, μᾶλλον ἢ χρήματα ἀνδρός. ἐν μὲν οὖν τοῖς ἀποφθέγμασι τοιοῦτός τις ἦν.

XIX. Γενόμενος δ' ἀπὸ τῶν πράξεων ἐκείνων, εὐθὺς ἐπεχείρει τὴν πόλιν ἀνοικοδομεῖν καὶ τειχίζειν, ὡς μὲν ἱστορεῖ Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς Ἐφόρους· ὡς δ' οἱ πλεῖστοι, παρακρουσάμενος. ἧκε μὲν γὰρ [1] εἰς Σπάρτην, ὄνομα πρεσβείας ἐπιγραψάμενος. ἐγκαλούντων δὲ τῶν Σπαρτιατῶν, ὅτι τειχίζουσι τὸ ἄστυ, καὶ πολιάρχου κατηγοροῦντος, ἐπίτηδες ἐξ Αἰγίνης ἀποσταλέντος, ἠρνεῖτο, καὶ πέμπειν ἐκέλευεν εἰς Ἀθήνας τοὺς κατοψομένους· ἅμα μὲν ἐμβάλλων τῷ τειχισμῷ χρόνον ἐκ τῆς διατριβῆς, ἅμα δὲ βουλόμενος ἀνθ' αὐτοῦ τοὺς πεμπομένους ὑπάρχειν τοῖς Ἀθηναίοις. ὃ καὶ [2] συνέβη· γνόντες γὰρ οἱ Λακεδαιμόνιοι τὸ ἀληθὲς, οὐκ ἠδίκησαν αὐτὸν, ἀλλ' ἀδήλως χαλεπαίνοντες, ἀπέπεμψαν. ἐκ δὲ τούτου τὸν Πειραιᾶ κατεσκεύαζε, τὴν τῶν λιμένων εὐφυΐαν κατανοήσας, καὶ τὴν πόλιν ὅλην ἁρμοττόμενος πρὸς τὴν θάλασσαν, καὶ τρόπον τινὰ τοῖς παλαιοῖς βασιλεῦσι τῶν Ἀθηναίων ἀντιπολιτευόμενος. ἐκεῖνοι μὲν γὰρ [3], ὡς λέγεται, πραγματευόμενοι τοὺς πολίτας ἀποσπάσαι τῆς θαλάσσης, καὶ συνεθίσαι ζῆν μὴ πλέοντας, ἀλλὰ τὴν χώραν φυτεύοντας, τὸν περὶ τῆς Ἀθηνᾶς διέδοσαν λόγον, ὡς ἐρίσαντος [4] περὶ τῆς χώρας τοῦ Ποσειδῶνος, δείξασα τὴν μορίαν τοῖς δικασταῖς, ἐνίκησε. Θεμιστοκλῆς δ' οὐχ, ὡς Ἀριστοφάνης ὁ κωμικὸς λέγει, τῇ πόλει τὸν Πειραιᾶ προσέμαξεν [5], ἀλλὰ τὴν πόλιν ἐξῆψε τοῦ Πειραιῶς, καὶ τὴν γῆν τῆς θαλάττης·

ὃ

1 deest particula hæc Junt.

2 E Junt. & Ald. hoc restituit R. pro vulg. ὃ δὲ συνέβη. Eand. tamen lectionem jam exhibet Ed. Frst.

3 Iterum deest Juntinæ.

4 V. Anon. B. 3. ἐρίσαντα; Iid. paulo post τὸν Ποσειδῶ.

5 Ita dedit Anon. & ita Xyl. Dacer. & Br. legi voluerunt, loco Aristoph. collato. Vulg. προσέμιξεν.

ὃ καὶ τὸν δῆμον ηὔξησε κατὰ τῶν ἀρίστων, καὶ θράσους ἐνέπλησεν, εἰς ναύτας καὶ κελευστὰς καὶ κυβερνήτας τῆς δυνάμεως ἀφικομένης. διὸ καὶ τὸ βῆμα τὸ ἐν Πνυκὶ, πεποιημένον ὥστ' ἀποβλέπειν πρὸς τὴν θάλασσαν, ὕστερον οἱ τριάκοντα πρὸς τὴν χώραν ἀπέστρεψαν, οἰόμενοι, τὴν μὲν κατὰ θάλατταν ἀρχὴν, γένεσιν εἶναι δημοκρατίας, ὀλιγαρχίᾳ δ' ἧττον δυσχεραίνειν τοὺς γεωργοῦντας.

XX. Θεμιστοκλῆς δὲ καὶ μεῖζόν τι περὶ τῆς ναυτικῆς διενοήθη δυνάμεως. ἐπεὶ γὰρ ὁ τῶν Ἑλλήνων στόλος ἀπηλλαγμένου Ξέρξου κατῆρεν εἰς Παγασὰς, καὶ διεχείμαζε, δημηγορῶν ἐν τοῖς Ἀθηναίοις ἔφη τινὰ πρᾶξιν ἔχειν ὠφέλιμον μὲν αὐτοῖς καὶ σωτήριον, ἀπόῤῥητον δὲ πρὸς τοὺς πολλούς. τῶν δ' Ἀθηναίων Ἀριστείδῃ μόνῳ φράσαι κελευόντων, κἂν ἐκεῖνος δοκιμάσῃ, περαίνειν, ὁ μὲν Θεμιστοκλῆς ἔφραζε τῷ Ἀριστείδῃ, τὸ νεώριον ἐμπρῆσαι διανοεῖσθαι [1] τῶν Ἑλλήνων· ὁ δ' εἰς τὸν δῆμον παρελθὼν, ἔφη, τῆς πράξεως, ἣν διανοεῖται πράττειν ὁ Θεμιστοκλῆς, μηδεμίαν εἶναι μήτ' ἀλυσιτελεστέραν [2], μήτ' ἀδικωτέραν. οἱ μὲν οὖν Ἀθηναῖοι διὰ ταῦτα παύσασθαι τῷ Θεμιστοκλεῖ προσέταξαν. ἐν δὲ τοῖς Ἀμφικτυονικοῖς συνεδρίοις τῶν Λακεδαιμονίων εἰσηγου-

1 R. mavult διανενοῆσθαι.

2 Ita B. 3. Junt. — Vulg. μήτε λυσιτελεστέραν. Equidem non video, cur in hac lectione aliquid sit mutatum, cum, me judice, ex lectione jam recepta, aliquid absurdi aut incommodi oriatur. An hæc est sententia Aristidis de consilio Themistoclis, nullum esse eo neque inutilius, neque injustius? Omnino contradicit rei ipsius natura, & testimonium Ciceronis, de Offic. c. XI. ita referentis: dixitque, perutile esse consilium, quod Themistocles afferret, sed minime honestum. — An ullo modo, forsan per Græcismum, mihi incognitum, idem sensus erui poterit? — Tum sane necesse erit, ut sequentia, μήτ' ἀδικωτέραν, pari modo explices contra rei naturam, & testimonium Ciceronis.

ηγεμένων, ὅπως ἀπείργωνται τῆς Ἀμφικ]υονίας αἱ μὴ συμμαχήσασαι κατὰ τȣ̃ Μήδȣ πόλεις, φοβηθεὶς, μὴ Θετ]αλὰς καὶ Ἀργείȣς, ἔτι δὲ Θηβαίȣς, ἐκβαλόντες τȣ̃ συνεδρίȣ, παντελῶς ἐπικρατήσωσι τῶν ψήφων, καὶ γένηται τὸ δοκȣ̃ν ἐκείνοις, συνεῖπε ταῖς πόλεσι, καὶ μετέθηκε τὰς γνώμας τῶν Πυλαγόρων· διδάξας, ὡς τριάκοντα καὶ μία μόναι πόλεις εἰσὶν αἱ μεταχȣ̃σαι τȣ̃ πολέμȣ, καὶ τȣ́των αἱ πλείȣς παντάπασι μικραί. δεινὸν ȣ̃ν, εἰ, τῆς ἄλλης Ἑλλάδος ἐκσπόνδȣ γενομένης, ἐπὶ ταῖς μεγίσαις δυσὶν, ἢ τρισὶ πόλεσιν ἔσαι τὸ συνέδριον. ἐκ τȣ́τȣ μὲν ȣ̃ν μάλισα τοῖς Λακεδαιμονίοις προσέκρȣσε· διὸ καὶ τὸν Κίμωνα προήγοντο [1] ταῖς τιμαῖς, ἀντίπαλον ἐν τῇ πολιτείᾳ τῷ Θεμισοκλεῖ καθισάντες.

XXI. Ἦν δὲ καὶ τοῖς συμμάχοις ἐπαχθὴς, περιπλέων τε τὰς νήσȣς καὶ χρηματιζόμενος ἀπ' αὐτῶν· οἷα καὶ πρὸς Ἀνδρίȣς ἀργύριον αἰτȣ̃ντα φησὶν αὐτὸν Ἡρόδοτος εἰπεῖν τε καὶ ἀκȣ̃σαι. δύο γὰρ ἥκειν ἔφη θεȣ̀ς κομίζων, Πειθὼ καὶ Βίαν· οἱ δ' ἔφασαν εἶναι καὶ παρ' αὐτοῖς θεȣ̀ς μεγάλȣς δύο, Πενίαν καὶ Ἀπορίαν, ὑφ' ὧν κωλύεσθαι δȣ̃ναι χρήματα ἐκείνῳ. Τιμοκρέων δ' ὁ Ῥόδιος μελοποιὸς ἐν ᾄσματι καθάπ]εται πικρότερον τȣ̃ Θεμισοκλέȣς, ὡς ἄλλȣς μὲν ἐπὶ χρήμασι φυγάδας διαπραξαμένȣ κατελθεῖν, αὐτὸν δὲ ξένον ὄντα καὶ φίλον προεμένȣ δι' ἀργύριον [3]. λέγει δ' ȣ̃τως·

Ἀλλ'

1 R. aut mavult προῆγον, altius atque altius provehebant; aut in med. προήγοντο, ad ſe propius adducebant, ſibi arctius devinciebant.

2 deeſt Juntinæ.

3 R. quærit, num legend. δι' ἀναργυρίαν, aut δι' ἀπορίαν, ſatis tamen declarans, textum receptum defendi poſſe, & ſenſum commodum exhibere.

Ἀλλ' εἰ τύ γε Παυσανίαν, ἢ καὶ [1] τύγε Ξάντιππον
αἰνεῖς, ἢ τύ γε Λευτυχίδαν·
Ἐγὼ δ' Ἀριστείδαν ἐπαινέω [2], ἄνδρα ἱερᾶν ἀπ' Ἀθα-
νᾶν ἐλθεῖν ἕνα λῷστον·
Ἐπεὶ [3] δὲ Θεμιστοκλῆα ἤχθαρε Λατὼ ψεύσταν, ἄδι-
κον, προδόταν, ὃς Τιμοκρέοντα ξεῖνον ἐόντα,
Ἀργυρίοισι σκυβαλικοῖσι [4] πεισθεὶς, οὐ κατᾶγεν εἰς
πατρίδα Ἰάλυσον.
Λαβὼν δὲ τρία [5] ἀργυρίου τάλαντ' ἔβα πλέων εἰς
ὄλεθρον,
Τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ' ἐκδιώκων, τοὺς δὲ
καίνων [6],
Ἀργυρίων ὑπόπλεως. Ἰσθμοῖ [7] δ' ἐπανδόκευε γε-
λοίως ψυχρὰ κρέα παρέχων·
Οἱ δ' ἤσθιον, κ' ηὔχοντο μὴ ὥραν Θεμιστοκλέους γε-
νέσθαι.

Πολὺ δ' ἀσελγεστέρᾳ καὶ ἀναπεπταμένῃ μᾶλλον εἰς τὸν Θεμιστοκλέα κέχρηται βλασφημίᾳ [8] μετὰ τὴν φυγὴν αὐτοῦ καὶ τὴν καταδίκην ὁ Τιμοκρέων, ᾆσμα ποιήσας, οὗ ἐστιν ἀρχή·

Μοῦσα τοῦδε τοῦ μέλεος κλέος [9] ἀν' Ἕλλανας τίθει,
ὡς ἐοικὸς καὶ δίκαιον.

λέγε-

1 deest Junt. & Ald.
2 Teste H. Steph. etiam legitur ἐπαινέσω.
3 V. ἐπί.
4 Junt. dat βαλικοῖσι.
5 B. 3. τρί.
6 V. e Junt. B. 3. κενῶν. R. mavult τοὺς δὲ ante hanc vocem abesse, & tum sublato post καίνων commate, mutatoque accentu sic legi τοὺς δ' ἐκδιώκων, καινῶν ἀργυρίων ὑπόπλεως, recentibus, recens cusis, adhuc asperis & nitentibus numis argenteis onustus.
7 V. ἰσθμοῖς. Pro seq. ψυχρά. B. 3. ψύχεια.
8 Junt. δυσφημία.
9 deest hæc vox B. 3.

λέγεται δ' ὁ Τιμοκρέων ἐπὶ μηδισμῷ φυγεῖν, συγκαταψηφισαμένε τε Θεμιςοκλέες. ὡς ὖν ὁ Θεμιςοκλῆς αἰτίαν ἔχε μηδίζειν, ταῦτ' ἐποίησε πρὸς αὐτόν.

Οὐκ ἄρα Τιμοκρέων μῶνος Μήδοισιν ὅρκια τέμοι [1],
Ἀλλ' ἐντὶ κ' ἄλλοι δὴ πονηροὶ, ἐκ ἐγὼ μόνα κόλουρις·
Ἐντὶ καὶ ἄλλαι ἀλώπεκες.

XXII. Ἤδη δὲ καὶ τῶν πολιτῶν διὰ τὸ φθονεῖν ἡδέως τὰς διαβολὰς προσιεμένων, ἠναγκάζετο λυπηρὸς εἶναι τῶν αὐτε πράξεων ἐν τῷ δήμῳ πολλάκις μνημονεύων [2]. καὶ πρὸς τὲς δυσχεραίνοντας· Τί κοπιᾶτε, εἶπεν, ὑπὸ τῶν αὐτῶν πολλάκις εὖ πάσχοντες [3]; ἠνίασε δὲ τὲς πολλὲς καὶ τὸ τῆς Ἀρτέμιδος ἱερὸν εἰσάμενος, ἣν Ἀριςοβέλην μὲν προσηγόρευσεν, ὡς ἄριςα τῇ πόλει καὶ τοῖς Ἕλλησι βελευσάμενος· πλησίον δὲ τῆς οἰκίας κατεσκεύασεν ἐν Μελίτῃ τὸ ἱερὸν, ὁ νῦν τὰ σώματα τῶν θανατεμένων [4] οἱ δήμιοι προβάλλεσι, καὶ τὰ ἱμάτια καὶ τὲς βρόχες τῶν ἀπαγχομένων καὶ καθαιρεθέντων ἐκφέρεσιν. ἔκειτο δὲ καὶ τε Θεμιςοκλέες εἰκόνιον ἐν τῷ ναῷ τῆς Ἀριςοβέλης ἔτι καθ' ἡμᾶς. καὶ φαίνεταί τις ὁ τὴν ψυχὴν μόνην, ἀλλὰ καὶ τὴν ὄψιν ἡρωϊκὸς γενόμενος. τὸν μὲν ὖν ἐξοςρακισμὸν ἐποιήσαντο κατ' αὐτε, καθαιρεντες [5] τὸ ἀξίωμα καὶ τὴν ὑπεροχὴν,

1 Anon. ἴμνυε, quod Br. placet.

2 Ita ex conjectura Br. pro vulg. μνημονευομένων. B. 3. μνημονευόμεναι αἱ πρός.

3 R. hunc locum ita explicat: ὑπὸ (an ἀπὸ mavis) τῶν αὐτῶν (sc. ἀκεσμάτων vel ἀκροαμάτων) πολλάκις εὖ πάσχοντες (i. e. ἡδυπαθεντες). Quid vel cur gravamini, fatigamini ab auditione earundem narrationum sæpius identidem suaviter pasti. Schirach haud satis apte: Seyd ihrs etwan überdrüssig, öfters von einem Manne Gutes zu geniessen.

4 B. 3. θανεμένων. Pro seq. οἱ δήμιοι V. e Junt. & B. 3. δῆμοι.

5 Teste H. Steph. etiam scriptum est κολέοντες, quod ipse probat.

οχὴν, ὥσπερ εἰώθεσαν ἐπὶ πάντων, ὓς ᾤοντο τῇ δυνάμει βαρεῖς, καὶ πρὸς ἰσότητα δημοκρατικὴν ἀσυμμέτρυς εἶναι. κόλασις γὰρ ὐκ ἦν ὁ ἐξοςρακισμὸς, ἀλλὰ παραμυθία φθόνυ καὶ κȣφισμὸς, ἡδομένυ τῷ ταπεινȣ̃ν τὰς ὑπερέχοντας, καὶ τὴν δυσμένειαν εἰς ταύτην τὴν ἀτιμίαν ἀποπνέοντος.

XXIII. Ἐκπεσόντος δὲ τῆς πόλεως αὐτȣ̃ καὶ διατρίβοντος ἐν Ἄργει, τὰ περὶ Παυσανίαν συμπεσόντα καὶ κατ᾽ αὐτȣ̃ [1] παρέχε τοῖς ἐχθροῖς ἀφορμάς. ὁ δὲ γραψάμενος αὐτὸν προδοσίας, Λεωβότης ἦν Ἀλκμαίωνος, Ἀγραύληθεν, ἅμα συνεπαιτιωμένων τῶν Σπαρτιατῶν. ὁ γὰρ Παυσανίας, πράττων ἐκεῖνα δὴ τὰ περὶ τὴν προδοσίαν, πρότερον μὲν ἀπεκρύπτετο τὸν Θεμιςοκλέα, καίπερ ὄντα φίλον· ὡς δ᾽ εἶδεν ἐκπεπτωκότα τῆς πολιτείας καὶ φέροντα χαλεπῶς, ἐθάρσησεν ἐπὶ τὴν κοινωνίαν τῶν πραττομένων παρακαλεῖν, τὰ γράμματα τȣ̃ βασιλέως ἐπιδεικνύμενος αὐτῷ, καὶ παροξύνων ἐπὶ τὺς Ἕλληνας, ὡς πονηρὺς καὶ ἀχαρίςυς. ὁ δὲ τὴν μὲν δέησιν ἀπετρίψατο τȣ̃ Παυσανίυ, καὶ τὴν [2] κοινωνίαν ὅλως ἀπείπατο, πρὸς ὐδένα δὲ τὺς λόγυς ἐξήνεγκεν, ὐδὲ κατεμήνυσε τὴν πρᾶξιν· εἴτε παύσεσθαι προσδοκῶν αὐτὸν, εἴτ᾽ ἄλλως καταφανῆ γενήσεσθαι [3], σὺν ὐδενὶ λογισμῷ πραγμάτων ἀτόπων καὶ παραβόλων ὀρεγόμενον. ὕτω δὴ τȣ̃ Παυσανίυ θανατωθέντος, ἐπιςολαί τινες ἀνευρεθεῖσαι καὶ γράμματα περὶ τύτων, εἰς ὑποψίαν ἐνέβαλον τὸν Θεμιςοκλέα· καὶ κατεβόων μὲν αὐτȣ̃ Λακεδαιμόνιοι, κατηγόρυν δ᾽ οἱ φθονȣ̃ντες τῶν πολιτῶν, ὐ παρόντος, ἀλλὰ διὰ γραμμάτων ἀπολογυμένυ μάλι-

1 V. & B. 3. κατ᾽ ἐκείνυ, quod Br. placet, ut ad Themiſtoclem remotius antecedentem referatur. Καὶ, quod κατ᾽ αὐτȣ̃ præpoſitum eſt, dedit R. de ſuo.

2 Omittit hunc artic. Junt.

3 Junt. dat γενέσθαι.

μάλιςα ταῖς προτέραις κατηγορίαις [1]. διαβαλλόμενος γὰρ ὑπὸ τῶν ἐχθρῶν, πρὸς τὰς πολίτας ἔγραφεν, ὡς ἄρχειν μὲν ἀεὶ [2] ζητῶν, ἄρχεσθαι δὲ μὴ πεφυκὼς, μηδὲ βυλόμενος, ὑκ ἄν ποτε βαρβάροις καὶ πολεμίοις αὐτὸν ἀποδόσθαι [3] μετὰ τῆς Ἑλλάδος. ὐ μὴν ἀλλὰ συμπεισθεὶς ὑπὸ τῶν κατηγορύντων ὁ δῆμος, ἔπεμψεν ἄνδρας, οἷς εἴρητο συλλαμβάνειν καὶ ἀνάγειν [4] κριθησόμενον αὐτὸν ἐν τοῖς Ἕλλησιν.

XXIV. Προαισθόμενος δ' ἐκεῖνος, εἰς Κέρκυραν διεπέρασεν, ὔσης αὐτῷ πρὸς τὴν πόλιν εὐεργεσίας. γενόμενος γὰρ αὐτῶν κριτὴς, πρὸς Κορινθίυς ἐχόντων διαφορὰν, ἔλυσε τὴν ἔχθραν, εἴκοσι τάλαντα κρίνας τὺς Κορινθίυς καταβαλεῖν, καὶ Λευκάδα κοινῇ νέμειν, ἀμφοτέρων ἄποικον. ἐκεῖθεν δ' εἰς Ἤπειρον ἔφυγε· καὶ διωκόμενος ὑπὸ τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων, ἔῤῥιψεν αὐτὸν εἰς ἐλπίδας χαλεπὰς καὶ ἀπόρυς, καταφυγὼν πρὸς Ἄδμητον, ὃς βασιλεὺς μὲν ἦν Μολοττῶν, δεηθεὶς δέ τι τῶν Ἀθηναίων, καὶ προπηλακισθεὶς ὑπὸ τῦ Θεμιςοκλέυς, ὅτ' ἤκμαζεν ἐν τῇ πολιτείᾳ, δι' ὀργῆς εἶχεν αὐτὸν ἀεὶ, καὶ δῆλος ἦν, εἰ λάβοι, τιμωρησόμενος. ἐν δὲ τῇ τότε φυγῇ [5] μᾶλλον ὁ Θεμιςοκλῆς φοβηθεὶς συγγενῆ καὶ πρόσφατον φθόνον, ὀργῆς παλαιᾶς καὶ βασιλικῆς, ταύτῃ φέρων ὑπέθηκεν ἑαυτὸν, ἱκέτης τῦ Ἀδμήτυ καταςὰς, ἴδιόν τινα καὶ παρηλλαγμένον τρόπον. ἔχων γὰρ αὐτῦ τὸν υἱὸν, ὄντα παῖδα, πρὸς τὴν ἑςίαν προσέπεσε, ταύτην μεγίςην καὶ μόνην σχεδὸν ἀναντίῤῥητον ἡγυμένων ἱκεσίαν τῶν Μολοσσῶν. ἔνιοι μὲν ὖν Φθίαν τὴν γυναῖκα τῦ βασιλέως λέ-



1 R. mavult πρὸς τὰς προτέρας κατηγορίας.
2 deest Juntinæ.
3 R. videtur deesse τολμῶν.
4 Ita ex emendatione Br. pro vulg. ἐνάγειν.
5 Teste H. Steph. etiam legitur τύχῃ.

γουσιν ὑποθέσθαι τῷ Θεμιστοκλεῖ τὸ ἱκέτευμα τοῦτο, καὶ τὸν υἱὸν ἐπὶ τὴν ἑστίαν καθίσαι μετ᾽ αὐτοῦ· τινὲς δ᾽ αὐτὸν τὸν Ἄδμητον, ὡς ἀφοσιώσαιτο πρὸς τοὺς διώκοντας τὴν ἀνάγκην, δι᾽ ἣν οὐκ ἐκδίδωσι τὸν ἄνδρα, διαθεῖναι καὶ συντραγῳδῆσαι τὴν ἱκεσίαν. ἐκεῖ δ᾽ αὐτῷ [1] τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐκκλέψας ἐκ τῶν Ἀθηνῶν [2] Ἐπικράτης ὁ Ἀχαρνεὺς ἀπέστειλεν· ὃν ἐπὶ τούτῳ Κίμων ὕστερον κρίνας ἐθανάτωσεν, ὡς ἱστορεῖ Στησίμβροτος. εἶτ᾽ οὐκ οἶδ᾽ ὅπως ἐπιλαθόμενος τούτων, ἢ τὸν Θεμιστοκλέα ποιῶν ἐπιλαθόμενον, πλεῦσαί φησιν εἰς Σικελίαν, καὶ παρ᾽ Ἱέρωνος αἰτεῖν τοῦ τυράννου τὴν θυγατέρα πρὸς γάμον, ὑπισχνούμενος αὐτῷ τοὺς Ἕλληνας ὑπηκόους ποιήσειν· ἀποστρεψαμένου [3] δὲ τοῦ Ἱέρωνος, οὕτως εἰς τὴν Ἀσίαν ἀπᾶραι.

XXV. Ταῦτα δ᾽ οὐκ εἰκός ἐστιν οὕτω γενέσθαι. Θεόφραστος γὰρ ἐν τοῖς περὶ βασιλείας ἱστορεῖ τὸν Θεμιστοκλέα, πέμψαντος εἰς Ὀλυμπίαν Ἱέρωνος ἵππους ἀγωνιστὰς, καὶ σκηνήν τινα κατεσκευασμένην πολυτελῶς στήσαντος, εἰπεῖν ἐν τοῖς Ἕλλησι λόγον, ὡς χρὴ τὴν σκηνὴν διαρπάσαι τοῦ τυράννου, καὶ κωλῦσαι τοὺς ἵππους ἀγωνίσασθαι. Θουκυδίδης δέ φησι καὶ πλεῦσαι αὐτὸν, ἐπὶ τὴν ἑτέραν καταβάντα θάλασσαν ἀπὸ Πύδνης, οὐδενὸς εἰδότος, ὅστις εἴη, τῶν πλεόντων, μέχρις οὗ πνεύματι τῆς ὁλκάδος εἰς Νάξον καταφερομένης ὑπ᾽ Ἀθηναίων πολιορκουμένην τότε, φοβηθεὶς, ἀναδείξειεν [4] ἑαυτὸν τῷ τε ναυκλήρῳ καὶ τῷ κυβερνήτῃ· καὶ τὰ μὲν δεόμενος, τὰ δ᾽ ἀπειλῶν, καὶ λέγων, ὅτι κατηγορήσοι καὶ καταψεύσοιτο πρὸς τοὺς Ἀθηναίους, ὡς οὐκ ἀγνοοῦντες,

1 R. susp. ἐκεῖ δ᾽ ὄντι αὐτῷ.
2 B. 3. Junt. Ἀθηναίων.
3 Junt. dat ὑποτρεψαμένου, unde R. susp. ἀποτριψ. ab ἀποτρίβεσθαι. Vulg. promanavit ex Ald.
4 Vulg. male repetunt post h. v. εἰς Νάξον.

τες, ἀλλὰ χρήμασι πειθέντες ἐξαρχῆς, ἀναλάβοιεν αὐτὸν, ὅπως ἀναγκάσειε παραπλεῦσαι καὶ λαβέσθαι τῆς Ἀσίας. τῶν δὲ χρημάτων αὐτῷ πολλὰ μὲν ὑπεκκλαπέντα διὰ τῶν φίλων εἰς Ἀσίαν ἔπλει, τῶν δὲ φανερῶν γενομένων καὶ συναχθέντων εἰς τὸ δημόσιον, Θεόπομπος μὲν, ἑκατὸν τάλαντα [1], Θεόφραστος δ' ὀγδοήκοντα φησὶ γενέσθαι τὸ πλῆθος, οὐδὲ τριῶν ἄξια ταλάντων κεκτημένου τοῦ Θεμιστοκλέους, πρὶν ἅπτεσθαι τῆς πολιτείας.

XXVI. Ἐπεὶ δὲ κατέπλευσεν εἰς Κύμην, καὶ πολλοὺς ᾔσθετο τῶν ἐπὶ θαλάττῃ παραφυλάττοντας αὐτὸν λαβεῖν, μάλιστα δὲ τοὺς περὶ Ἐργοτέλη καὶ Πυθόδωρον· ἦν γὰρ ἡ θήρα λυσιτελὴς τοῖς τὸ κερδαίνειν ἀπὸ παντὸς ἀγαπῶσι, διακοσίων ἐπικεκηρυγμένων αὐτῷ ταλάντων ὑπὸ τοῦ βασιλέως· ἔφυγεν εἰς Αἰγὰς, Αἰολικὸν πολισμάτιον, ὑπὸ πάντων ἀγνοούμενος, πλὴν τοῦ ξένου Νικογένους, ὃς Αἰολέων πλείστην οὐσίαν ἐκέκτητο, καὶ τοῖς ἄνω δυνατοῖς γνώριμος ὑπῆρχε [2]. παρὰ τούτῳ κρυπτόμενος ἡμέρας ὀλίγας διέτριψεν, εἶτα μετὰ τὸ δεῖπνον ἐκ θυσίας τινὸς, Ὄλβιος, ὁ τῶν τέκνων τοῦ Νικογένους παιδαγωγὸς, ἔκφρων γενόμενος καὶ θεοφόρητος, ἀνεφώνησεν ἐν μέτρῳ [3] ταυτὶ,

Νυκτὶ φωνὴν [4], νυκτὶ βουλὴν, νυκτὶ τὴν νίκην δίδου.

καὶ μετὰ ταῦτα κοιμηθεὶς ὁ Θεμιστοκλῆς, ὄναρ ἔδοξεν ἰδεῖν δράκοντα κατὰ τῆς γαστρὸς αὐτοῦ περιελιττόμενον, καὶ προσανέρποντα τῷ τραχήλῳ, γενόμενον [5] δ' ἀετὸν ὡς ἥψατο τοῦ προσώπου, περιβαλόντα τὰς πτέρυγας, ἐξ-



1 B. 3. desunt Θεόπομ.—τάλαντα, uti & δὲ post Θεόφρ.

2 deest Junt.

3 Ita dedit R. de suo pro vulg. ἀνεφώνησε μέτρῳ, aliam adhuc conjecturam proferens: ἀνεφώνησεν ἔμμετρα ταυτί.

4 desunt B. 3 νυκτὶ φωνήν.

5 R. magis placeret παραγινομένου, ut illud insomnium fieret tolerabilius.

ἐξᾶραι καὶ κομίζειν πολλὴν ὁδὸν, εἶτα χρυσεία τινὸς κηρυκεία φανέντος, ἐπὶ τέτε ςῆσαι βεβαίως αὐτὸν, ἀμηχάνε δείματος καὶ ταραχῆς ἀπαλλαγέντα. πέμπεται γἒν ὑπὸ τἒ Νικογένες μηχανησαμένε τι τοιἒτον. τἒ βαρβαρικἒ γένες τὸ πολὺ καὶ μάλιςα τὸ Περσικὸν, εἰς ζηλοτυπίαν τὴν περὶ τὰς γυναῖκας ἄγριον φύσει καὶ χαλεπόν ἐςιν. ἐ γὰρ μόνον τὰς γαμετὰς, ἀλλὰ καὶ τὰς [1] ἀργυρωνήτες καὶ παλλακευομένας, ἰσχυρῶς παραφυλάττεσιν ὡς ὑπὸ μηδενὸς ὁρᾶσθαι τῶν ἐκτὸς, ἀλλ' οἴκοι μὲν διαιτᾶσθαι κατακεκλεισμένας, ἐν δὲ ταῖς ὁδοιπορίαις, ὑπὸ σκηνὰς κύκλῳ περιπεφραγμένας ἐπὶ τῶν ἁρμαμαξῶν ὀχεῖσθαι. τοιαύτης τῷ Θεμιςοκλεῖ κατασκευασθείσης ἀπήνης, καταδὺς ἐκομίζετο, τῶν περὶ αὐτὸν ἀεὶ τοῖς ἐντυγχάνεσι καὶ πυνθανομένοις λεγόντων, ὅτι γύναιον Ἑλληνικὸν ἄγεσιν ἀπ' Ἰωνίας, πρός τινα τῶν ἐπὶ θύραις βασιλέως.

XXVII. Θεκυδίδης μὲν ἒν, καὶ Χάρων ὁ Λαμψακηνὸς ἱςορἒσι, τεθνηκότος Ξέρξε, πρὸς τὸν υἱὸν αὐτἒ τῷ Θεμιςοκλεῖ γενέσθαι τὴν ἔντευξιν· Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ Θεκυδίδης συμφέρεσθαι, καίπερ ἐδ' αὐτὸς ἀτρέμα συνταττομένοις [2]. ὁ δ' ἒν Θεμιςοκλῆς γενόμενος παρ' αὐτὸ τὸ δεινὸν, ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ χιλιάρχῳ, λέγων, Ἕλλην μὲν εἶναι, βέλεσθαι δ' ἐντυχεῖν βασιλεῖ περὶ μεγίςων πραγμάτων,

1 desunt B. 3. ἀλλὰ καὶ τὰς.

2 R. dedit antecedens αὐτὸς de suo, pro lect. vulg. αὐτοῖς. Pro ἀτρέμα ipsi legendum videtur ἀτρεκᾶ vel ἀτρεκῶς, nisi vulgata explicetur per certo, indubitanter. Pro dat. partic. referendo ad χρονικοῖς sc. κανόσι, mavult συνταττόμενος, ut iste sensus prodeat: quamquam ne Thucydides ipse quidem auctor est satis certæ & spectatæ fidei, componens, i. e. tradens liquido explorata, & dubio vacantia.

των, καὶ πρὸς ἃ τυγχάνει μάλιστα σπȣδάζων ἐκεῖνος. ο δέ φησιν· Ὦ ξένε, νόμοι διαφέρȣσιν ἀνθρώπων· ἄλλα δ' ἄλλοις καλά· καλὸν δὲ πᾶσι τὰ οἰκεῖα κοσμεῖν καὶ σώζειν. ὑμᾶς μὲν ȣ̉ν ἐλευθερίαν μάλιστα θαυμάζειν καὶ ἰσότητα, λόγος· ἡμῖν δὲ πολλῶν νόμων καὶ καλῶν ὄντων, κάλλιστος ȣ̉τός ἐστι, τιμᾶν [1] βασιλέα, καὶ προσκυνεῖν εἰκόνα Θεȣ̃ τȣ̃ τὰ πάντα σώζοντος. εἰ μὲν ȣ̉ν ἐπαινῶν τὰ ἡμέτερα, προσκυνήσεις [2], ἔστι καὶ σοὶ βασιλέα θεάσασθαι καὶ προσειπεῖν, εἰ δ' ἄλλο τι φρονεῖς, ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς αὐτόν. βασιλεῖ γὰρ ȣ̉ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυνήσαντος. Ταῦτα ὁ Θεμιστοκλῆς ἀκȣ́σας λέγει πρὸς αὐτόν. Ἀλλ' ἔγωγε τὴν βασιλέως, ὦ Ἀρτάβανε, φήμην καὶ δύναμιν αὐξήσων ἀφῖγμαι, καὶ αὐτός τε πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ Θεῷ τῷ μεγαλύναντι [3] Πέρσας ȣ̈τω δοκεῖ, καὶ δι' ἐμὲ πλείονες τῶν νῦν βασιλέα [4] προσκυνήσȣσιν. ὥστε τȣ̃το μηδὲν ἐμποδὼν ἔστω τοῖς λόγοις, ȣ̈ς βȣ́λομαι πρὸς ἐκεῖνον εἰπεῖν. Τίνα δ', εἶπεν ὁ Ἀρτάβανος, Ἑλλήνων ἀφῖχθαί σε φῶμεν; ȣ̉ γὰρ ἰδιώτῃ [5] τὴν γνώμην ἔοικας. καὶ ὁ Θεμιστοκλῆς· Τȣ̃τ' ȣ̉κέτ' ἄν, ἔφη, πύθοιτό τις, Ἀρτάβανε, πρότερος βασιλέως. ȣ̈τω μὲν ὁ Φανίας φησίν. ὁ δ' Ἐρατοσθένης ἐν τοῖς περὶ πλȣ́τȣ προσιστόρησε, διὰ γυναικὸς Ἐρετρικῆς, ἣν ὁ χιλίαρχος εἶχε, τῷ Θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν ἔντευξιν γενέσθαι καὶ σύστασιν.



1 Sic Junt. fine artic. quem vulg. præponunt.

2 Junt. προσκυνήσῃς. Seqq. ἔστι καὶ σοὶ, ita collocavit R. — Vulg. dant: ἔστι σοι καὶ. Pro βασιλέα B. 3. βασιλέως; nec non l. feq. φρονοίης pro φρονεῖς.

3 V. μεγαλύνοντι.

4 B. 3. Fl. & Ald. βασιλέων, unde Br. fufp. vocem intercidiſſe; qua reſtituta legendum, βασιλέα βασιλέων, quo titulo gaudebant reges Perſarum.

5 V. ἰδιώτης. Eid. deeſt ἔφη, mox ſequens, ante πύθοιτο.

XXVIII. Ἐπειδὴ οὖν εἰσήχθη πρὸς βασιλέα, καὶ προσκυνήσας ἔστη σιωπῇ προστάξαντος τῷ ἑρμηνεῖ τοῦ βασιλέως ἐρωτῆσαι, τίς ἐστι, καὶ τοῦ ἑρμηνέως ἐρωτήσαντος εἶπεν· Ἥκω σοι, βασιλεῦ, Θεμιστοκλῆς ὁ Ἀθηναῖος ἐγὼ, Φυγὰς ὑφ' Ἑλλήνων διωχθεὶς, ᾧ πολλὰ μὲν ὀφείλουσι κακὰ Πέρσαι, πλείω δ' ἀγαθὰ κωλύσαντι τὴν δίωξιν, ὅτε τῆς Ἑλλάδος ἐν ἀσφαλεῖ γενομένης, παρέσχε τὰ οἴκοι σωζόμενα χαρίσασθαί τι καὶ ὑμῖν. ἐμοὶ μὲν οὖν πάντα πρέποντα ταῖς παρούσαις συμφοραῖς ἐστι, καὶ παρεσκευασμένος ἀφῖγμαι δέξασθαί τε χάριν εὐμενῶς διαλλαττομένου, καὶ παραιτεῖσθαι μνησικακοῦντος ὀργήν. σὺ δὲ τοὺς ἐμοὺς ἐχθροὺς μάρτυρας θέμενος, ὧν εὐεργέτησα Πέρσας, ἀπόχρησαι ταῖς ἐμαῖς τύχαις πρὸς ἐπίδειξιν ἀρετῆς μᾶλλον, ἢ πρὸς ἀποπλήρωσιν ὀργῆς. σώσεις μὲν γὰρ ἱκέτην σὸν, ἀπολεῖς δ' Ἑλλήνων πολέμιον γενόμενον [1]. Ταῦτ' εἰπὼν ὁ Θεμιστοκλῆς, ἐπεθείασε τῷ λόγῳ προσδιελθὼν τὴν ὄψιν, ἣν εἶδεν ἐν [2] Νικογένους, καὶ τὸ μάντευμα τοῦ Δωδωναίου Διὸς, ὡς κελευσθεὶς πρὸς τὸν ὁμώνυμον τοῦ Θεοῦ βαδίζειν, συμφρονήσειε πρὸς ἐκεῖνον ἀναπέμπεσθαι· μεγάλους γὰρ ἀμφοτέρους εἶναί τε καὶ λέγεσθαι βασιλέας. ἀκούσας δ' ὁ Πέρσης, ἐκείνῳ μὲν οὐδὲν ἀπεκρίνατο, καίπερ θαυμάσας τὸ φρόνημα καὶ τὴν τόλμαν αὐτοῦ· μακαρίσαι [3] δὲ πρὸς τοὺς φίλους ἑαυτὸν, ὡς ἐπ' εὐτυχίᾳ μεγίστῃ, καὶ κατευξάμενος ἀεὶ τοῖς πολεμίοις τοιαύτας φρένας διδόναι τὸν Ἀριμάνιον, ὅπως ἐλαύνωσι τοὺς ἀρίστους ἐξ ἑαυτῶν, θῦσαι τοῖς Θεοῖς λέγεται, καὶ πρὸς πόσιν εὐθὺς τραπέσθαι, καὶ νύκτωρ ὑπὸ χαρᾶς διὰ μέσων τῶν ὕπνων βοῆσαι τρίς· Ἔχω Θεμιστοκλέα τὸν Ἀθηναῖον.

XXIX.

1 deest Junt. & B. 3.
2 B. 3. ἐκ.
3 Anon. μακαρίσας, quod præfert Br. ob seq. κατευξάμενος

XXIX. Ἅμα δ' ἡμέρᾳ συγκαλέσας τοὺς φίλους, εἰσήγαγεν αὐτὸν, μηδὲν ἐλπίζοντα χρηςὸν, ἐξ ὧν ἑώρα τοὺς ἐπὶ θύραις [1], ὡς ἐπύθοντο τοὔνομα παρόντος αὐτοῦ, χαλεπῶς διακειμένους καὶ κακῶς λέγοντας. ἔτι δὲ Ῥωξάνης ὁ χιλίαρχος, ὡς κατ' αὐτὸν ἦν ὁ Θεμιςοκλῆς προσιὼν, καθημένου βασιλέως, καὶ τῶν ἄλλων σιωπώντων, ἀτρέμα ςενάξας εἶπεν· Ὄφις Ἕλλην ὁ ποικίλος, ὁ βασιλέως σε δαίμων δεῦρο ἤγαγεν. οὐ μὴν ἀλλ' εἰς ὄψιν ἐλθόντος [2] αὐτοῦ, καὶ πάλιν προσκυνήσαντος, ἀσπασάμενος καὶ προσειπὼν φιλοφρόνως ὁ βασιλεὺς, ἤδη μὲν ἔφησεν αὐτῷ διακόσια τάλαντα ὀφείλειν· κομίσαντα γὰρ αὐτὸν, ἀπολήψεσθαι δικαίως τὸ ἐπικηρυχθὲν τῷ ἀγαγόντι. πολλῷ δὲ πλείω τούτων ὑπισχνεῖτο, καὶ παρεθάῤῥυνε· καὶ λέγειν ἐκέλευε [3] περὶ τῶν Ἑλληνικῶν, ἃ βούλοιτο, παῤῥησιαζόμενον. ὁ δὲ Θεμιςοκλῆς ἀπεκρίνατο, τὸν λόγον ἐοικέναι τοῦ ἀνθρώπου τοῖς ποικίλοις ςρώμασιν. ὡς γὰρ ἐκεῖνα, καὶ τοῦτον, ἐκτεινόμενον μὲν ἐπιδείκνυσθαι τὰ εἴδη, συςελλόμενον δὲ κρύπτειν καὶ διαφθείρειν. ὅθεν αὐτῷ χρόνου δεῖν. ἐπεὶ δ' ἡσθέντος τοῦ βασιλέως τῇ εἰκασίᾳ, καὶ λαμβάνειν κελεύσαντος, ἐνιαυτὸν αἰτησάμενος, καὶ τὴν Περσίδα γλῶτταν ἀποχρώντως ἐκμαθὼν, ἐνετύγχανε βασιλεῖ δι' αὐτοῦ, τοῖς μὲν ἐκτὸς δόξαν παρέσχε περὶ τῶν Ἑλληνικῶν πραγμάτων διειλέχθαι· πολλῶν δὲ καινοτομουμένων περὶ τὴν αὐλὴν καὶ τοὺς φίλους τοῦ βασιλέως ἐν ἐκείνῳ τῷ καιρῷ, φθόνον ἔσχε παρὰ τοῖς δυνατοῖς, ὡς καὶ περὶ ἐκείνων παῤῥησίᾳ χρήσασθαι πρὸς αὐτὸν ἀποτετολμηκώς. οὐδὲν γὰρ ἦσαν αἱ τιμαὶ [4] ταῖς τῶν ἄλλων ἐοικυῖαι ξε-



1 Ita dedit R. de suo pro vulg. ἐπὶ θύραις.

2 R. susp. ἐλθόντα, & in seq. προσκυνήσαντα. — αὐτοῦ refer. ad regem.

3 Ita Junt. — Vulg. ἐκέλευσε.

4 R. susp. αἱ αὐτοῦ τιμαί. — Pro ἀλλὰ καὶ, statim seq. B. 3. ἀλλὰ sine καί.

ξένων, ἀλλὰ καὶ κυνηγεσίων βασιλεῖ μετέχε καὶ τῶν οἴκοι διατριβῶν, ὥςε καὶ μητρὶ τȣ̃ βασιλέως εἰς ὄψιν ἐλθεῖν, καὶ γενέϑαι συνήϑης· διακȣ̃σαι δὲ καὶ τῶν μαγικῶν λόγων, τȣ̃ βασιλέως κελεύσαντος. ἐπειδὴ δὲ Δημάρατος ὁ Σπαρτιάτης, αἰτήσαϑαι δωρεὰν κελευθεὶς, ᾐτήσατο τὴν κίδαριν, ὥσπερ οἱ βασιλεῖς, ἐπαράμενος εἰσελάσαι διὰ Σάρδεων, Μιϑροπαύςης μὲν ἀνεψιὸς ὢν βασιλέως εἶπε, τȣ̃ Δημαράτȣ τῆς χειρὸς ἁψάμενος· Αὕτη μὲν ἡ κίδαρις ȣ̓κ ἔχει ἐγκέφαλον, ὃν ἐπικαλύψει. σὺ δ' ȣ̓κ ἔσῃ Ζεὺς, ἂν λάβῃς κεραυνόν. ἀπωσαμένȣ δὲ τὸν Δημάρατον ὀργῇ διὰ τὸ αἴτημα τȣ̃ βασιλέως, καὶ δοκȣ̃ντος ἀπαραιτήτως ἔχειν πρὸς αὐτὸν, ὁ Θεμιςοκλῆς δεηϑεὶς ἔπεισε καὶ διήλλαξε. λέγεται δὲ, καὶ τȣ̀ς ὕςερον βασιλεῖς, ἐφ' ὧν μᾶλλον αἱ Περσικαὶ πράξεις ταῖς Ἑλληνικαῖς συνανεκράϑησαν [1], ὁσάκις δεηϑεῖεν ἀνδρὸς Ἕλληνος, ἐπαγγέλλεϑαι καὶ γράφειν ἑκάςον [2], ὡς μείζων ἔσοιτο παρ' αὐτῷ Θεμιςοκλέȣς. αὐτὸν δὲ Θεμιςοκλέα φασὶν [3], ἤδη μέγαν ὄντα καὶ ϑεραπευόμενον ὑπὸ πολλῶν, λαμπρᾶς ποτε τραπέζης παρατεϑείσης, πρὸς τȣ̀ς παῖδας εἰπεῖν· Ὦ παῖδες, ἀπωλόμεϑ' ἂν, εἰ μὴ ἀπωλόμεϑα. πόλεις δ' αὐτῷ τρεῖς μὲν οἱ πλεῖςοι δοϑῆναι λέγȣσιν, εἰς ἄρτον καὶ οἶνον καὶ ὄψον, Μαγνησίαν καὶ Λάμψακον καὶ Μυȣ̃ντα. δύο δ' ἄλλας προστίϑησιν ὁ Κυζικηνὸς Νεάνϑης καὶ Φανίας, Περκώτην καὶ Παλαίσκηψιν εἰς ςρωμνὴν καὶ ἀμπεχονην.

XXX. Καταβαίνοντι δ' αὐτῷ πρὸς τὰς Ἑλληνικὰς πράξεις ἐπὶ ϑάλατ]αν, Πέρσης ἀνὴρ, Ἐπιξύης ὄνομα, σατραπεύων τῆς ἄνω Φρυγίας, ἐπεβȣ́λευσε, παρ-

1 V. ἀνεκράϑησαν.

2 R. mavult πρὸς ἕκαςον.

3 V. e Junt. Anon. Vulg. φησὶν. Mox ſequens ὄντα revocavit R. e Junt. & Ald. Jam legis in ed. Frſt.

παρεσκευακὼς ἔκπαλαι Πισίδας ἀποκτενοῦντας, ὅταν ἐν τῇ καλουμένῃ πόλει Λεοντοκεφάλῳ γενόμενος καταλυθῇ. τῷ δὲ λέγεται καθεύδοντι μεσημβρίας τὴν Μητέρα τῶν Θεῶν ὄναρ φανεῖσαν εἰπεῖν· Ὦ Θεμιστόκλεις, ὑστέρει κεφαλῆς λεόντων, ἵνα μὴ λέοντι περιπέσῃς. ἐγὼ δ' ἀντὶ τούτου σε αἰτῶ θεράπαιναν Μνησιπτολέμαν. διαταραχθεὶς οὖν ὁ Θεμιστοκλῆς, προσευξάμενος τῇ Θεῷ, τὴν μὲν λεωφόρον ἀφῆκεν, ἑτέρᾳ δὲ περιελθὼν, καὶ παραλλάξας τὸν τόπον ἐκεῖνον, ἤδη νυκτὸς οὔσης κατηυλίσατο. τῶν δὲ τὴν σκηνὴν κομιζόντων ὑποζυγίων ἑνὸς εἰς [τὸν [1]] ποταμὸν ἐμπεσόντος, οἱ τοῦ Θεμιστοκλέους οἰκέται τὰς αὐλαίας διαβρόχους γενομένας ἐκπετάσαντες ἀνέψυχον· οἱ δὲ Πισίδαι τὰ ξίφη λαβόντες ἐν τούτῳ προσεφέροντο, καὶ τὰ ψυχόμενα πρὸς τὴν σελήνην οὐκ ἀκριβῶς ἰδόντες, ᾠήθησαν εἶναι τὴν σκηνὴν τὴν Θεμιστοκλέους, κἀκεῖνον ἔνδον εὑρήσειν ἀναπαυόμενον. ὡς δ' ἐγγὺς γενόμενοι τὴν αὐλαίαν ἀνέστελλον, ἐπιπίπτουσιν αὐτοῖς οἱ παραφυλάσσοντες, καὶ συλλαμβάνουσι. διαφυγὼν δὲ τὸν κίνδυνον οὕτω, καὶ θαυμάσας τὴν ἐπιφάνειαν τῆς Θεοῦ, ναὸν κατεσκεύασεν ἐν Μαγνησίᾳ Δινδυμένης, καὶ τὴν θυγατέρα Μνησιπτολέμαν ἱέρειαν ἀπέδειξεν.

XXXI. Ὡς δ' ἦλθεν εἰς Σάρδεις, καὶ σχολὴν ἄγων ἐθεάσατο τῶν ἱερῶν τὴν κατασκευὴν, καὶ τῶν ἀναθημάτων τὸ πλῆθος, ἐν δὲ [2] καὶ ἐν Μητρὸς ἱερῷ τὴν καλουμένην ὑδροφόρον κόρην χαλκῆν, μέγεθος δίπηχυν, ἣν αὐτὸς, ἔτι [3] τῶν Ἀθήνησιν ὑδάτων ἐπιστάτης ὢν, εὐ-

1 deest B. 3. & Junt. & Ald.

2 Ita dedit R. de suo, pro vulg. πλῆθος εἶδε, καί. Subaudiendum est autem τούτοις τοῖς ἀναθήμασι καὶ, etiam, ἐθεάσατο.

3 Ita ex emend. R. — Vulg. ὅτι, quod H. Steph. vel tollendum censuit, ut supervacaneum, vel quo retento, partic. ὢν mutari voluit in verbum ἦν. Br. legit ποτὲ, ut puto, non πότε, uti est impressum in edit. Reisk.

εὑρὼν τὲς ὑφῃρημένες τὸ ὕδωρ καὶ παροχετευσαντας, ἀνέθηκεν ἐκ τῆς ζημίας ποιησάμενος· εἴτε δὴ παθών τι πρὸς τὴν αἰχμαλωσίαν τȣ̃ ἀναθήματος [1], εἴτε βȣλόμενος ἐνδείξαθαι τοῖς Ἀθηναίοις, ὅσην ἔχει τιμὴν καὶ δύναμιν ἐν τοῖς βασιλέως πράγμασι, λόγον τῷ Λυδίας σατράπῃ προσήνεγκεν, αἰτȣ́μενος ἀποςεῖλαι τὴν κόρην εἰς τὰς Ἀθήνας. χαλεπαίνοντος δὲ τȣ̃ βαρβάρȣ, καὶ βασιλεῖ γράψειν φήσαντος ἐπιςολὴν, φοβηθεὶς [2] ὁ Θεμιςοκλῆς, εἰς τὴν γυναικωνῖτιν κατέφυγε, καὶ τὰς παλλακίδας αὐτȣ̃ θεραπεύσας χρήμασιν, ἐκεῖνόν τε κατεπρ'ϋνε τῆς ὀργῆς, καὶ πρὸς τ' ἄλλα [3] παρεῖχεν ἑαυτὸν εὐλαβέςερον, ἤδη καὶ τὸν φθόνον τῶν βαρβάρων δεδοικώς. ȣ̓ γὰρ πλανώμενος περὶ τὴν Ἀσίαν, ὥς φησι Θεόπομπος, ἀλλ' ἐν Μαγνησίᾳ μὲν οἰκῶν, καρπȣ́μενος δὲ δωρεὰς μεγάλας, καὶ τιμώμενος ὅμοια Περσῶν τοῖς ἀρίςοις, ἐπὶ πολὺν χρόνον ἀδεῶς διῆγεν, ȣ̓ πάνυ τι [4] τοῖς Ἑλληνικοῖς πράγμασι προσέχοντος τȣ̃ βασιλέως, ὑπ' ἀσχολιῶν περὶ τὰς ἄνω πράξεις. ὡς δ' Αἴγυπτός τ' ἀφιςαμένη βοηθȣ́ντων Ἀθηναίων, καὶ τριήρεις Ἑλληνικαὶ μέχρι Κύπρȣ καὶ Κιλικίας ἀναπλεύσασαι, καὶ Κίμων θαλασσοκρατῶν ἐπέτρεψεν [5] αὐτὸν ἀντεπιχειρεῖν τοῖς Ἕλλησι, καὶ κωλύειν αὐξανομένȣς ἐπ' αὐτὸν, ἤδη δὲ καὶ δυνάμεις ἐκινȣ̃ντο καὶ ςρατηγοὶ διεπέμποντο, καὶ κατέβαινον εἰς Μαγνησίαν ἀγγελίαι πρὸς [6] Θεμιςοκλέα, τῶν Ἑλληνικῶν ἐξάπτεσθαι κελεύοντος βασιλέως, καὶ βεβαιȣ̃ν τὰς ὑποσχέσεις· ȣ̓́τε [7] δι' ὀργήν τινα παροξυνθεὶς κατὰ τῶν πολιτῶν, ȣ̓́τ' ἐπαρθεὶς

1 desunt εἴτε δὴ παθών — ἀναθήματος B. 3.

2 R. susp. γράψειν φήσαντος, τὴν ἀπειλὴν φοβηθεὶς.

3 Ita B. 3. — Vulg. τὰ ἄλλα.

4 B. 3. τοι.

5 Hanc lectionem R. revocavit ex Junt. pro vulg. ἐπέςρεψεν, quod ex Ald. manavit.

6 V. addit artic τόν.

7 R. susp. ὑποσχέσεις, ὁ δὲ ȣ̓́τε δι' ὀργήν — &c.

θεὶς τιμῇ τοσαύτῃ καὶ δυνάμει πρὸς τὸν πόλεμον, ἀλλ' ἴσως μὲν ἐκ ἐφικτὸν ἡγέμενος τὸ ἔργον, ἄλλως τε [1] μεγάλες τῆς Ἑλλάδος ἐχέσης στρατηγὲς τότε, καὶ Κίμωνος ὑπερφυῶς εὐημερῦντος ἐν τοῖς Ἑλληνικοῖς [2]. τὸ δὲ πλεῖστον, αἰδοῖ τῆς τε δόξης τῶν πράξεων ἑαυτῦ, καὶ τῶν τροπαίων [3] ἐκείνων, ἄριστα βελευσάμενος ἐπιθεῖναι τῷ βίῳ τὴν τελευτὴν πρέπεσαν, ἔθυσε τοῖς Θεοῖς, καὶ τὲς φίλες συναγαγὼν, καὶ δεξιωσάμενος, ὡς μὲν ὁ πολὺς λόγος, αἷμα ταύρειον πιὼν, ὡς δ' ἔνιοι, φάρμακον ἐφήμερον προσενεγκάμενος, ἐν Μαγνησίᾳ κατέστρεψε, πέντε πρὸς τοῖς ἑξήκοντα βεβιωκὼς ἔτη, καὶ τὰ πλεῖστα τέτων ἐν πολιτείαις καὶ ἡγεμονίαις. τὴν δ' αἰτίαν τῦ θανάτε καὶ τὸν τρόπον πυθόμενον βασιλέα λέγεσιν ἔτι μᾶλλον θαυμάσαι τὸν ἄνδρα, καὶ τοῖς φίλοις αὐτῦ καὶ οἰκείοις χρώμενον διατελεῖν φιλανθρώπως.

XXXII. Ἀπέλιπε δὲ Θεμιστοκλῆς παῖδας, ἐκ μὲν Ἀρχίππης τῆς Λυσάνδρε τῦ Ἀλωπεκῆθεν, Ἀρχέπτολιν καὶ Πολύευκτον, καὶ Κλεόφαντον· ὖ καὶ Πλάτων ὁ φιλόσοφος ὡς ἱππέως ἀρίστε, τἄλλα δ' ὐδενὸς ἀξίε γενομένε μνημονεύει. τῶν δὲ πρεσβυτάτων, Νεοκλῆς μὲν, ἔτι παῖς ὢν [4], ὑφ' ἵππε δηχθεὶς ἀπέθανε, Διοκλέα δὲ Λύσανδρος ὁ πάππος υἱὸν ἐποιήσατο. θυγατέρας δὲ πλείες ἔσχεν, ὧν Μνησιπτολέμαν μὲν, ἐκ τῆς ἐπιγαμηθείσης γενομένην, Ἀρχέπτολις ὁ ἀδελφὸς, ὐκ ὢν ὁμομήτριος, ἔγημεν· Ἰταλίαν δὲ Πανθείδης ὁ Χῖος, Σύβαριν δὲ Νικομήδης Ἀθηναῖος· Νικομάχην δὲ Φρασικλῆς ὁ ἀδελφιδῦς [5] Θεμιστοκλέες, ἤδη τετελευτηκότος ἐκεί-

1 R. mavult ἄλλως τε, καὶ, cum aliis de causis, tum quod excellentes tum essent imperatores.

2 Teste H. Steph. etiam legitur πολεμικοῖς.

3 B. 3. Junt. τρόπων.

4 B. 3. Junt. ὢν deest.

5 Teste H. Steph. legitur etiam ἀδελφός.

ἐκείνȣ, πλεύσας εἰς Μαγνησίαν, ἔλαβε παρὰ τῶν ἀδελφῶν, νεωτάτην δὲ πάντων τῶν τέκνων Ἀσίαν ἔθρεψε. καὶ τάφον μὲν αὐτȣ͂ λαμπρὸν ἐν τῇ ἀγορᾷ Μάγνητες ἔχȣσι· περὶ δὲ τῶν λειψάνων ȣ̓͂τ' Ἀνδοκίδῃ προσέχειν ἄξιον, ἐν τῷ.[1] πρὸς τȣ̀ς ἑταίρȣς λέγοντι, φωράσαντας τὰ λείψανα διαῤῥίψαι τȣ̀ς Ἀθηναίȣς. ψεύδεται γὰρ ἐπὶ τὸν δῆμον παροξύνων τȣ̀ς ὀλιγαρχικȣ́ς. ὅ τε Φύλαρχος ὥσπερ ἐν τραγῳδίᾳ τῇ ἱϛορίᾳ μονονȣ̓ μηχανὴν ἄρας, καὶ προαγαγὼν Νεοκλέα τινὰ καὶ Δημόπολιν, υἱȣ̀ς Θεμιϛοκλέȣς, ἀγῶνα βȣ́λεται κινεῖν καὶ πάθος, ὃ ȣ̓δ' ἂν ὁ τυχὼν ἀγνοήσειεν ὅτι πέπλαϛαι. Διόδωρος δ' ὁ περιηγητὴς ἐν τοῖς περὶ τῶν μνημάτων εἴρηκεν, ὡς ὑπονοῶν μᾶλλον, ἢ γινώσκων· ὅτι περὶ τὸν λιμένα τȣ͂ Πειραιῶς ἀπὸ τȣ͂ κατὰ τὸν Ἄλκιμον ἀκρωτηρίȣ, πρόκειταί τις οἷον ἀγκὼν, καὶ κάμψαντι τȣ͂τον ἐντὸς, ᾗ τὸ ὑπεύδιον τῆς θαλάττης, κρηπίς ἐϛιν εὐμεγέθης, καὶ τὸ περὶ αὐτὴν βωμοειδὲς, τάφος τȣ͂ Θεμιϛοκλέȣς. οἴεται δὲ καὶ Πλάτωνα τὸν κωμικὸν αὐτῷ μαρτυρεῖν ἐν τȣ́τοις·

Ὁ σὸς δὲ τύμβος ἐν καλῷ [2] κεχωσμένος
Τοῖς ἐμπόροις πρόσρησις ἔϛαι πανταχȣ͂,
Τȣ́ς τ' ἐκπλέοντας εἰσπλέοντάς τ' ὄψεται [3],
Χὠπόταν ἅμιλλα [4] τῶν νεῶν, θεάσεται.

τοῖς δ' ἀπὸ γένȣς τȣ͂ Θεμιϛοκλέȣς καὶ τιμαί τινες ἐν Μαγνησίᾳ φυλαττόμεναι μέχρι τῶν ἡμετέρων χρόνων ἦσαν, ἃς ἐκαρπȣ͂το Θεμιϛοκλῆς Ἀθηναῖος, ἡμέτερος συνήθης καὶ φίλος παρ' Ἀμμωνίῳ τῷ φιλοσόφῳ γενόμενος.

ΚΑΜΙΛ-

1 Ita legendum cenſuit Br. cum B. 3. Fl. Ald. Junt. — Subaud. λόγῳ. Vulg. τῷ πρ. τ. ἑτ.

2 B. 3. ἐν χαλκῷ.

3 B. 3. κ' ἰσπλέοντας ὄψεται. Junt. τȣ̀ς τ' ἐκπλέοντας ὄψεται κ' εἰσπλέοντας.

4 χὠπόταν voluit Br. cum B. 3. & Fl. pro vulg. χὠπότε. R. mavult plur. ἅμιλλαι, ſcil. ὦσι vel γίγνωνται.

# ΚΑΜΙΛΛΟΣ.

ΠΕΡΙ δὲ Φϐρίϐ Καμίλλϐ πολλῶν καὶ μεγάλων λεγομένων, ἴδιον εἶναι δοκεῖ μάλιϛα καὶ παράδοξον, ὅτι πλεῖϛα μὲν ἐν ἡγεμονίαις καὶ μέγιϛα κατορθώσας, δικτάτωρ δὲ πεντάκις αἱρεθεὶς, θριαμβεύσας δὲ τετράκις, κτίϛης δὲ τῆς Ῥώμης ἀναγραφεὶς δεύτερος, ὐδ' ἅπαξ ὑπάτευσε. τϐτϐ δ' αἴτιον ἡ τῆς τότε πολιτείας κατάϛασις, ἐκ διαφορᾶς τϐ δήμϐ πρὸς τὴν σύγκλητον, ὑπάτϐς μὲν ἐρίσαντος μὴ ἀποδεικνῦναι, χιλιάρχϐς δὲ χειροτονϐντος ἐπὶ τὴν ἡγεμονίαν, ὧν καίπερ ἀπ' ἐξϐσίας καὶ δυνάμεως ὑπατικῆς ἅπαντα πραττόντων, ἧττον ἦν ἐπαχθὴς ἡ ἀρχὴ, διὰ τὸ πλῆθος. τὸ γὰρ ἓξ ἄνδρας, ἀλλὰ μὴ δύο τοῖς πράγμασιν ἐφεϛάναι [1], παρεμυθεῖτο τϐς βαρυνομένϐς τὴν ὀλιγαρχίαν. κατὰ τϐτο δὴ καιρϐ μάλιϛα τῇ δόξῃ καὶ τοῖς πράγμασιν ἀκμάσας ὁ Κάμιλλος, ὕπατος μὲν ὐκ ἠξίωσεν ἄκοντι τῷ δήμῳ γενέσθαι· καίπερ ἐν τῷ διὰ μέσϐ δεξαμένης ὑπατικὰς ἀρχαιρεσίας τῆς πολιτείας πολλάκις· ἐν δὲ ταῖς ἄλλαις ἡγεμονίαις πολλαῖς [2] καὶ παντοδαπαῖς γενομέναις τοιϐτον αὑτὸν παρέχεν, ὥϛε τὴν μὲν ἐξϐσίαν καὶ μοναρχϐντος εἶναι κοινὴν, τὴν δὲ δόξαν ἰδίαν καὶ μεθ' ἑτέρων ϛρατηγϐντος· ὧν τϐ μὲν ἡ μετριότης αἴτιον ἀνεπιφθόνως ἄρχοντος, τϐ δ' ἡ φρόνησις, δι' ἣν ὁμολογϐμένως ἐπρώτευεν.

II. Οὔπω δὲ τότε περὶ τὸν [τῶν [3]] Φϐρίων οἶκον ὔσης μεγάλης ἐπιφανείας, αὐτὸς ἐφ' ἑαυτϐ [4] πρῶτος εἰς δόξαν προῆλθεν, ἐν τῇ μεγάλῃ μάχῃ πρὸς Αἰκανϐς

1 V. ἐφιϛάναι.

2 R. hanc vocem e Junt. & Ald. revocaſſe dicit. Eam exhibet Ed. Frſt.

3 deeſt Juntinæ.

4 Ita R. dedit ex Ald. & Junt. pro vulg. ἀφ'. ἑαυτ.

κανὸς καὶ Οὐολέσκες ὑπὸ δικτάτωρι [1] Ποςεμίῳ Τεβέρτῳ ςρατευόμενος. προϊππεύων γὰρ τε ςρατε, καὶ πληγῇ περιπεσὼν εἰς τὸν μηρὸν, ἐκ ἀνῆκεν, ἀλλ' ἐγκείμενον τῷ τραύματι παρέλκων τὸ ἀκόντισμα, καὶ συμπλεκόμενος τοῖς ἀρίςοις τῶν πολεμίων, τροπὴν ἐποίησεν. ἐκ δὲ τέτε τῶν τ' ἄλλων γερῶν ἔτυχε, καὶ τιμητὴς ἀπεδείχθη, μέγα τῆς ἀρχῆς ἀξίωμα ταύτης ἐπὶ τῶν τότε χρόνων ἐχέσης. μνημονεύεται δ' αὐτε τιμητε ὄντος καλὸν μὲν ἔργον, τὸ τὲς ἀγάμες, λόγοις τε πείθοντα, καὶ ζημίαις ἀπειλεντα, συγκαταζεῦξαι ταῖς χηρευέσαις γυναιξί· πολλαὶ δ' ἦσαν αὗται διὰ τὲς πολέμες. ἀναγκαῖον δὲ καὶ τὸ τὲς ὀρφανὲς ὑποτελεῖς ποιῆσαι, πρότερον ἀνεισφόρες ὄντας. αἰτίαι δ' ἦσαν αἱ συνεχεῖς ςρατεῖαι, μεγάλων ἀναλωμάτων δεόμεναι· καὶ μάλιςα κατήπειγεν ἡ Βηΐων πολιορκία· τέτες ἔνιοι Οὐενετανὲς καλεσιν [1]. ἦν δὲ πρόσχημα τῆς Τυῤῥηνίας ἡ πόλις, ὅπλων μὲν ἀριθμῷ, καὶ πλήθει [2] τῶν ςρατευομένων ἐκ ἀποδέεσα τῆς Ῥώμης, πλέτῳ δὲ καὶ βίων ἁβρότητι καὶ τρυφαῖς καὶ πολυτελείαις ἀγαλλομένη, πολλὲς [3] καὶ καλὲς ἀγῶνας ἠγωνίσατο, περὶ δόξης καὶ δυναςείας πολεμεσα Ῥωμαίοις. ἐν δὲ τῷ τότε χρόνῳ τῆς μὲν φιλοτιμίας ἀφειςήκει, συντριβεῖσα μεγάλαις μάχαις· ἐπαράμενοι δὲ τείχη μακρὰ [4] καὶ καρτερὰ, καὶ τὴν πόλιν ὅπλων καὶ βελῶν καὶ σίτε καὶ παρασκευῆς ἁπάσης ἐμπλήσαντες, ἀδεῶς ὑπέμενον τὴν πολιορκίαν, μακρὰν μὲν ἔσαν, ἐχ ἧττον δὲ τοῖς πολιορκεσιν ἐργώδη καὶ χαλεπὴν γενομένην. εἰθισμένοι γὰρ ἐ πολὺν χρόνον ἅμα

1 B. 3. λέγεσιν. Hanc propositionem in sua versione prorsus omisit Schirach, eam suspectam existimans.

2 R. mavult ὅπλων μὲν πλήθει, καὶ ἀριθμῷ τῶν ςρατ. Post πόλις Br. deesse videtur ἦ aut αὕτη aut aliud quippiam.

3 R. susp. καὶ πρότερον μὲν πολλὲς κ. τ.

4 Teste H. Steph. etiam scriptum est τείχη μεγάλα.

ἅμα ὥρᾳ θέρους ἔξω [1] στρατεύειν, οἴκοι δὲ διαχειμάζειν, τότε πρῶτον ἠναγκάσθησαν ὑπὸ τῶν χιλιάρχων, Φρούρια κατασκευασάμενοι καὶ τὸ στρατόπεδον τειχίσαντες, ἐν τῇ πολεμίᾳ χειμῶνα καὶ θέρος συνάπτειν, ἤδη σχεδὸν ἔτους ἑβδόμου τῷ πολέμῳ τελευτῶντος. ὥστε καὶ τοὺς ἄρχοντας ἐν αἰτίᾳ γενέσθαι, καὶ μαλακῶς πολιορκεῖν δοκοῦντας ἀφαιρεθῆναι τὴν ἀρχὴν, ἑτέρων αἱρεθέντων ἐπὶ τὸν πόλεμον· ὧν ἦν καὶ Κάμιλλος, τότε χιλιαρχῶν τὸ δεύτερον. ἔπραξε δὲ περὶ τὴν πολιορκίαν οὐδὲν ἐν ἐκείνῳ τῷ χρόνῳ, λαχὼν Φαλερίοις καὶ Καπηνάταις πολεμεῖν, οἳ δι' ἀσχολίαν πολλὰ τὴν χώραν τότε καθυβρίσαντες, καὶ παρὰ πάντα τὸν Τυῤῥηνικὸν πόλεμον ἐνοχλήσαντες, ἐπιέσθησαν ὑπὸ τοῦ Καμίλλου, καὶ συνεστάλησαν εἰς τὰ τείχη, πολλοὺς ἀποβαλόντες.

III. Ἐκ τούτου τὸ [2] περὶ τὴν Ἀλβανίδα λίμνην πάθος ἀκμάζοντι τῷ πολέμῳ συνενεχθὲν, οὐδενὸς ἧττον τῶν ἀπίστων πυθέσθαι θαυμάτων, αἰτίας κοινῆς ἀπορίᾳ, καὶ λόγου Φυσικὴν ἔχοντος ἀρχὴν, ἐφόβησεν. ἦν μὲν γὰρ ὥρα μετοπωρινὴ, καὶ τὸ θέρος ἔληγεν, οὔτε ὑπομβρον, οὔτε πνεύμασι νοτίοις χαλεπὸν ἐπιδήλως γενόμενον. πολλὰς δὲ λίμνας καὶ ποταμοὺς καὶ νάματα παντοδαπὰ τῆς Ἰταλίας ἐχούσης, τὰ μὲν ἐξέλιπε κομιδῇ, τὰ δ' ἀντεῖχε γλίσχρως καὶ μόλις. οἱ δὲ ποταμοὶ πάντες ὥσπερ ἀεὶ κοῖλοι καὶ ταπεινοὶ διὰ θέρους ἐῤῥύησαν. τὸ δὲ τῆς Ἀλβανίδος λίμνης, ἀρχὴν ἔχον ἐν ἑαυτῷ καὶ τελευτὴν, ὄρεσιν εὐγείοις περιεχόμενον, ἀπ' οὐδενὸς αἰτίου, πλὴν εἴ τι [3] θεῖον, αὐξόμενον ἐπιδήλως διωγκοῦτο,

1 deest B. 3. Junt. Ald. — R. hanc vocem cum ἐξιόντες censet mutandam, aut alias sic leg. οὐ πολὺν χρόνον, ἀλλὰ μόνον ὥρᾳ θέρους, στρατεύειν.

2 deest artic. Junt. & Ald.

3 Junt. πλὴν ὅ τι.

κῦτο, καὶ προσίςατο ταῖς ὑπωρείαις, καὶ τῶν ἀνωτάτω λόφων [1] ὁμαλῶς ἐπέψαυεν, ἄνευ σάλυ καὶ κλύδωνος ἐξανιςάμενον. καὶ πρῶτον μὲν ἦν ποιμένων θαῦμα καὶ βοτήρων· ἐπεὶ δὲ τῦ διείργοντος ἀπὸ τῆς κάτω χώρας οἷον ἰσθμῦ τὴν λίμνην ὑπεκραγέντος ὑπὸ τῦ πλήθυς καὶ βάρυς, μέγα ῥεῦμα κατέβαινε διὰ τῶν ἀρυμένων καὶ φυτευομένων ἐπὶ τὴν θάλατταν, ὐ μόνον αὐτοῖς παρεῖχε Ῥωμαίοις ἔκπληξιν, ἀλλὰ καὶ πᾶσιν ἐδόκει τοῖς τὴν Ἰταλίαν κατοικῦσι μηδενὸς μικρῦ σημεῖον εἶναι. πλεῖςος δ' αὐτῦ λόγος ἦν ἐν τῷ ςρατοπέδῳ τῷ πολιορκῦντι τὺς Βηΐυς, ὥςε κἀκείνοις ἔκπυςον γενέσθαι τὸ περὶ τὴν λίμνην πάθος.

IV. Οἷα δ' ἐν πολιορκίᾳ διὰ χρόνυ μῆκος ἐπιμιξίας τε πολλὰς ἐχύσῃ καὶ κοινολογίας πρὸς τὺς πολεμίυς, ἐγεγόνει τινὶ Ῥωμαίῳ συνήθεια καὶ παῤῥησία [2] πρὸς ἕνα τῶν πολεμίων [3], ἄνθρωπον ἔμπειρόν τε λογίων παλαιῶν, καί τι πλέον εἰδέναι τῶν ἄλλων ἀπὸ μαντικῆς δοκῦντα. τῦτον ὖν ὁ Ῥωμαῖος, ὡς ἤκυσε τὴν ἐπίδοσιν τῆς λίμνης, ὁρῶν ὑπερηδόμενόν τε καὶ καταγελῶντα τῆς πολιορκίας [4], ὐ ταῦτα μόνα ἔφη ἐνηνοχέναι

1 V. τῷ ἀνωτάτῳ λόφῳ. Pro mox seq. ἐπέψαυεν idem ἀπέψαυεν. B. 8. ἔψαυεν.

2 Ita dat B. 3. Anon. Fl. & Ald. quod jam probavit H. Steph. pro vulg. παρυσία; & R. bene explicat per fiduciam congressuum familiarium & libertatem in dicendo, secretiores quasque cogitationes haud cunctanter expromentem.

3 B. 3. Fl. & Ald. πολιτῶν. Mox sequens λογίων dedit R. de suo pro vulg. λόγων, cum hic non de memoriis vetusta fama proditis, sed de vaticiniis agatur.

4 R. videtur deesse ἐθαύμαζεν. ὁ δὲ — aut simile quidpiam. Romanus videns Veientanum exsultantem mirabatur, h. e. haud celabat eum, se mirari Veientani hac de re gaudium. Ille vero, Veientanus — inquit. &c. Ita sane omnis sermonis contextus facillime evolvitur. Mirum, quantum interpretes in tri-

χέναι θαυμαςὰ τὸν παρόντα χρόνον, ἀλλ' ἕτερα τέτων ἀτοπώτερα σημεῖα Ῥωμαίοις γεγονέναι· περὶ ὧν ἐθέλειν ἐκείνῳ κοινωσάμενος, εἴ τι δύναιτο θέσθαι τῶν ἰδίων ἄμεινον, ἐν τοῖς κοινοῖς νοσῦσιν, ὑπακέσαντος δὲ τῦ ἀνθρώπε προθύμως, καὶ διδόντος ἑαυτὸν εἰς κοινολογίαν, ὡς ἀπορρήτων τινῶν ἀκροατὴν ἐσόμενον, κατὰ μικρὸν ὕτω διαλεγόμενος, καὶ [1] ὑπάγων αὐτὸν, ὡς ποῤῥωτέρῳ τῶν πυλῶν ἐγεγόνεισαν, αἴρει τε μετέωρον εὐρωςότερος ὢν, καὶ πλειόνων ἀπὸ τῦ [2] ςρατοπέδε συνδραμόντων, χειρωσάμενος καὶ κρατήσας, παρέδωκε τοῖς ςρατηγοῖς. ἐν τέτῳ δ' ἀνάγκης γεγονὼς ὁ ἄνθρωπος, καὶ μαθὼν ἄρα τὸ πεπρωμένον ὡς ἄφυκτον εἴη, λόγια προὔφαινεν ἀπόῤῥητα περὶ τῆς ἑαυτῦ πατρίδος, ὡς ἐκ ἔςης ἁλωσίμε πρότερον, ἢ τὴν Ἀλβανίδα λίμνην ἐκχυθεῖσαν, καὶ Φερομένην εἰς ὁδὲς ἑτέρας, ὤσαντες ὀπίσω καὶ περισπάσαντες [3] οἱ πολέμιοι, κωλύσεσι μίγνυσθαι τῇ θαλάττῃ. ταῦτα τῇ συγκλήτῳ πυθομένῃ, καὶ διαπορέσῃ [4], καλῶς ἔχειν ἔδοξε πέμψαντας εἰς Δελφὲς ἔρεσθαι τὸν Θεόν. οἱ δὲ πεμφθέντες, ἄνδρες ἔνδοξοι καὶ μεγάλοι, Κόσσος Λικίνιος καὶ [5] Οὐαλέριος Ποτῖτος, καὶ Φάβιος Ἄμβεςος, πλῷ τε χρησάμενοι καὶ τῶν παρὰ τῦ Θεῦ τυχόντες, ἧκον ἄλλας τε μαντείας κομίζοντες, αἳ πατρίων τινῶν περὶ τὰς καλεμένας



tribuendis aut Romano aut Veientano hujus loci sermonibus errent, omniaque confundant. Ipse *Schirach* vestigia premit vett. latinarum interpretationum.

1 deest B. 3. quod R. probat, explicens διαλεγ. ὑπάγ. per διὰ τῦ διαλέγεσθαι vel μεταξὺ τῦ διαλέγεσθαι ὑπάγ. inter colloquendum seducens Romanus Veientanum.

2 deest B. 3. Junt. Ald. Pro συνδραμόντων B. 3. δραμόντων.

3 R. quærit, num περιχώσαντες, obicibus, repagulis objectis.

4 Hinc usque ad πεμφθέντες desunt B. 3.

5 deest hæc partic. B. 3.

νας Λατίνας ἑορτὰς ὀλιγωρίαν ἔφραζον αὐτοῖς, καὶ τὸ τῆς [1] Ἀλβανίδος ὕδωρ ἐκέλευον, εἴργοντας ὡς ἀνυςόν ἐςι τῆς θαλάσσης ἀνωθὲν [2] εἰς τὸν ἀρχαῖον πόρον, ἢ τῦτο μὴ δυναμένες, ὀρύγμασι καὶ τάφροις παράγειν εἰς τὸ πεδίον καὶ καταναλίσκειν. ἀπαγγελθέντων δὲ τύτων, οἱ μὲν ἱερεῖς τὰ περὶ τὰς θυσίας ἔπραττον, ὁ δὲ δῆμος ἐχώρει πρὸς τὰ ἔργα, καὶ τὸ ὕδωρ ἐξέτρεπεν.

V. Ἡ δὲ σύγκλητος εἰς τὸ δέκατον ἔτος τῦ πολέμυ καταλύσασα τὰς ἄλλας ἀρχὰς [3], δικτάτωρα Κάμιλλον ἀπέδειξεν· ἵππαρχον δ' ἐκεῖνος αὑτῷ προσελόμενος Κορνήλιον Σκηπίωνα, πρῶτον μὲν εὐχὰς ἐποιήσατο, ὑπὲρ τῆς ἀρχῆς [4] ἐπὶ τῷ πολέμῳ τέλος εὐκλεὲς λαβόντι τὰς μεγάλας θέας ἄξειν, καὶ νεὼν Θεᾶς, ἣν Μητέρα Ματῦταν καλῦσι Ῥωμαῖοι, καθιερώσειν. ταύτην ἄν τις ἀπὸ τῶν δρωμένων ἱερῶν μάλιςα Λευκοθέαν νομίσειεν εἶναι. καὶ γὰρ θεράπαιναν εἰς τὸν σηκὸν εἰσάγυσαι ῥαπίζυσιν, εἶτ' ἐξελαύνυσι, καὶ τὰ τῶν ἀδελφῶν τέκνα πρὸ τῶν ἰδίων ἐναγκαλίζονται, καὶ δρῶσι περὶ τὴν θυσίαν, ὃ ταῖς Διονύσυ τροφοῖς [5], καὶ τοῖς διὰ τὴν παλλακὴν πάθεσι τῆς Ἰνῦς προσέοικε. μετὰ δὲ τὰς εὐχὰς Κάμιλλος εἰς τὴν Φαλίσκων ἐνέβαλε, καὶ μάχῃ μεγάλῃ τύτυς τε καὶ Καπηνάτας, προσβοηθήσαντας αὐτοῖς, ἐνίκησεν· ἔπειτα πρὸς τὴν πολιορκίαν τραπόμενος τῶν Βηΐων, καὶ τὸν ἐκ προσβολῆς ἀγῶνα χαλεπὸν καὶ δύσεργον ὁρῶν, ὑπονόμυς ἔτεμνε, τῶν

1 Posteriorem articulum addidit R. e Junt. & Ald.

2 Ita R. de suo dedit a v. ἀνωθεῖν, retrudere, zurükschieben, pro vulg. ἄνωθεν. V. e Junt. ἀν' οἰςόν. B. 3. ἀνωςόν.

3 deest ἀρχὰς B. 3. & ἄλλας deest Juntinæ & Aldinæ.

4 Sic R. dedit, partim de suo, præpositionem addens, partim e Junt. & Ald. ubi est ἐποιήσατο τῆς ἀρχῆς, vota pro imperio Rom. faciebat. In vulgatis legitur post H. Steph. ἐποιήσατο τοῖς Θεοῖς.

5 Anon. τροφαῖς.

τῶν περὶ [1] τὴν πόλιν χωρίων ἐνδιδόντων τοῖς ὀρύγμασι, καὶ καταδεχομένων εἰς βάθος ἄγειν ἄδηλον τοῖς πολεμίοις τὰ ἔργα. διὸ προϊούσης ὁδῷ τῆς ἐλπίδος, αὐτὸς μὲν ἔξωθεν προσέβαλλεν ἐκκαλούμενος ἐπὶ τὰ τείχη τοὺς πολεμίους· ἄλλοι δ' ἀδήλως ὑποπορευόμενοι διὰ τῶν ὑπονόμων, ἔλαθον ἐντὸς γενόμενοι τῆς ἄκρας, κατὰ τὸ Ἥρας ἱερὸν, ὃ μέγιστον ἦν ἐν [2] τῇ πόλει, καὶ μάλιστα τιμώμενον. ἐνταῦθα λέγεται τυχεῖν κατ' ἐκεῖνο καιροῦ τὸν ἡγεμόνα τῶν Τυῤῥηνῶν ἐπὶ τοῖς [3] ἱεροῖς· τὸν δὲ μάντιν εἰς τὰ σπλάγχνα κατιδόντα, καὶ μέγα φθεγξάμενον, εἰπεῖν, ὅτι νίκην ὁ Θεὸς δίδωσι τῷ κατακολουθήσαντι [4] τοῖς ἱεροῖς ἐκείνοις. ταύτης δὲ τῆς φωνῆς τοὺς ἐν τοῖς ὑπονόμοις Ῥωμαίους ἐπακούσαντας, ταχὺ διασπάσαι τὸ ἔδαφος· καὶ μετὰ βοῆς καὶ ψόφου τῶν ὅπλων ἀναδύντας, ἐκπλαγέντων τῶν πολεμίων καὶ φυγόντων, ἁρπάσαντας τὰ σπλάγχνα, κομίσαι πρὸς τὸν Κάμιλλον. ἀλλὰ ταῦτα μὲν ἴσως ἐοικέναι δόξει μυθεύμασιν. ἁλούσης δὲ τῆς πόλεως κατὰ κράτος, καὶ τῶν Ῥωμαίων ἀγόντων καὶ φερόντων ἄπειρόν τινα πλοῦτον, ἐφορῶν ὁ Κάμιλλος ἀπὸ τῆς ἄκρας τὰ πραττόμενα, πρῶτον μὲν ἑστὼς ἐδάκρυσεν, εἶτα μακαρισθεὶς ὑπὸ τῶν παρόντων, ἀνέσχε τὰς χεῖρας τοῖς Θεοῖς, καὶ προσευχόμενος εἶπε· Ζεῦ μέγιστε, καὶ Θεοὶ χρηστῶν ἐπίσκοποι καὶ πονηρῶν ἔργων, αὐτοί που σύνιστε Ῥωμαίοις, ὡς οὐ παρὰ δίκην, ἀλλὰ κατ' ἀνάγκην ἀμυνόμενοι, μετερχόμε-



1 V. παρά.

2 Hanc præpos. addidit R. e Junt. & Ald. Eam jam dedit Frst.

3 Artic. dedit R. de suo. Vulgo ἐπὶ ἱεροῖς.

4 Xylander Daceriusque putarunt, Plutarchum hanc vocem ignorantia latinæ linguæ adhibuisse, male Livii verba: *qui hostiæ exta prosecuisset*, exprimendo, & pro *prosecutus esset*, sumendo. At κατακολουθεῖν idem est ac sacra peragere, Plutarchumque Livii fuisse interpretem, falso supponitur. Pro hac voce Anon. dat καλλιερήσαντι.

χόμεθα δυσμενῶν ἀνδρῶν καὶ παρανόμων πόλιν. εἰ δ' ἄρα τις, ἔφη, καὶ ἡμῖν ἀντίστροφος ὀφείλεται τῆς παρούσης [1] νέμεσις εὐπραξίας, εὔχομαι, ταύτην ὑπέρ τε πόλεως καὶ στρατοῦ Ῥωμαίων εἰς ἐμαυτὸν ἐλαχίστῳ κακῷ [2] τελευτῆσαι. ταῦτ' εἰπὼν, καθάπερ ἐστὶ Ῥωμαίοις ἔθος ἐπευξαμένοις καὶ προσκυνήσασιν ἐπὶ δεξιὰ ἐξελίττειν, ἐσφάλη περιστρεφόμενος. διαταραχθέντων δὲ τῶν παρόντων, πάλιν ἀναλαβὼν ἑαυτὸν ἐκ τοῦ πτώματος, εἶπεν, ὡς γέγονεν αὐτῷ κατ' εὐχὴν σφάλμα μικρὸν, ἐπ' εὐτυχίᾳ μεγίστῃ [3].

VI. Διαπορθήσας δὲ τὴν πόλιν, ἔγνω τὸ ἄγαλμα τῆς Ἥρας μεταφέρειν εἰς Ῥώμην, ὥσπερ ηὔξατο. καὶ συνελθόντων ἐπὶ τούτῳ τῶν [4] τεχνιτῶν, ὁ μὲν ἔθυε καὶ προσηύχετο τῇ Θεῷ δέχεσθαι τὴν προθυμίαν αὐτῶν, εὐμενῆ τε γενέσθαι σύνοικον τοῖς λαχοῦσι τὴν Ῥώμην Θεοῖς. τὸ δ' ἄγαλμα φασὶν ὑποφθεγξάμενον εἰπεῖν, ὅτι καὶ βούλεται καὶ συγκαταινεῖ. Λιούιος δέ φησιν εὔχεσθαι μὲν τὸν Κάμιλλον ἁπτόμενον τῆς Θεοῦ καὶ παρακαλεῖν, ἀποκρίνασθαι δέ τινας τῶν παρόντων, ὅτι καὶ βούλεται καὶ συγκαταινεῖ, καὶ συνακολουθεῖ προθύμως. οἱ δ' ἰσχυριζόμενοι καὶ τῷ παραδόξῳ βοηθοῦντες, μεγίστην μὲν ἔχουσι συνήγορον τὴν τύχην τῆς πόλεως, ἣν ἀπὸ σμικρᾶς καὶ καταφρονουμένης ἀρχῆς ἐπὶ μέγα δόξης καὶ δυνάμεως προελθεῖν [5], δίχα Θεοῦ πολλαῖς καὶ μεγάλαις ἐπιφανείαις ἑκάστοτε συμπαρόντος, ἀμήχανον.

ἀ

1 desunt ὀφειλ. τῆς παρ. B. 3.

2 Etiam hoc in loco multum reprehendere solent Interpp. & Critici Plutarchum, quod Livium male transtulerit, ita secundum quasdam edd. dantem: ut eam invidiam lenire suo privato incommodo, quam minimo publico populi Romani liceret.

3 V. Anon. μεγάλῃ.

4 Hunc art. revocavit R. e Junt. & Ald. Eund. dat Frst.

5 V. B. 3. ἐλθεῖν.

ὀ μὴν ἀλλὰ καὶ συνάγουσιν ὁμοειδῆ τινα, τοῦτο μὲν ἱδρῶτας ἀγαλμάτων πολλάκις ἐκχυθέντας, τοῦτο δὲ στεναγμοὺς ἀκουσθέντας, ἀποστροφάς τε δεικνύντες [1], καὶ καταμύσεις ξοάνων, ἃς ἱστορήκασιν οὐκ ὀλίγοι τῶν πρότερον· πολλὰ δὲ τῶν καθ' ἡμᾶς ἀκηκοότες ἀνθρώπων λέγειν ἔχομεν ἄξια θαύματος, ὧν οὐκ ἄν τις εἰκῇ καταφρονήσειεν. ἀλλὰ τοῖς τοιούτοις καὶ τὸ πιστεύειν σφόδρα, καὶ τὸ λίαν ἀπιστεῖν, ἐπισφαλές ἐστι, διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν, ὅρον οὐκ ἔχουσαν, οὐδὲ κρατοῦσαν αὑτῆς, ἀλλ' ἐκφερομένην [2] ὅπου μὲν εἰς δεισιδαιμονίαν καὶ τύφον [3], ὅπου δ' εἰς ὀλιγωρίαν τῶν θείων καὶ περιφρόνησιν. ἡ δ' εὐλάβεια, καὶ τὸ μηδὲν ἄγαν, ἄριστον.

VII. Ὁ δὲ Κάμιλλος, εἴτε μεγέθει τοῦ ἔργου, πόλιν ἀντίπαλον τῆς Ῥώμης ἔτει δεκάτῳ τῆς πολιορκίας καθῃρηκώς, εἴθ' ὑπὸ τῶν εὐδαιμονιζόντων αὐτὸν, εἰς ὄγκον ἐξαρθεὶς καὶ φρόνημα νομίμου καὶ πολιτικῆς ἀρχῆς ἐπαχθέστερον, τά τ' ἄλλα σοβαρῶς ἐθριάμβευσε, καὶ τέθριππον ὑποζευξάμενος λευκόπωλον ἐπέβη, καὶ διεξήλασε τῆς Ῥώμης, οὐδενὸς τοῦτο ποιήσαντος ἡγεμόνος πρότερον [4], οὐδ' ὕστερον. ἱερὸν γὰρ ἡγοῦνται τὸ τοιοῦτον ὄχημα, τῷ βασιλεῖ καὶ πατρὶ τῶν Θεῶν ἐπιπεφημισμένον. ἔκ τε δὴ τούτου διεβλήθη πρὸς τοὺς πολίτας οὐκ εἰθισμένους ἐντρυφᾶσθαι, καὶ δευτέραν ἔλαβεν αἰτίαν, ἐνιστάμενος νόμῳ διοικίζοντι [5] τὴν πόλιν. εἰσηγου-



1 Ita V. & Anon. — Vulg. δεικνύντας. Iid. codd. cum B. 3. postea dederunt καταμύσεις, pro vulg. καταμυήσεις.

2 Junt. Ald. ἐκφερομένην.

3 Anon. κατήφειαν, quod Dacer. prætulit. τύφος autem h. l. est stupiditas mentis, vecordia, qua mens plane obbrutescit & occœcatur, belluæ quam homini fit similior. Idem est ac si dixisset τυφώδη δεισιδαιμονίαν, brutam, belluinam superstitionem. R.

4 B. 3. οὐ πρότερον.

5 R. mavult τῷ διοικ.

ἠγοῦντο γὰρ οἱ δήμαρχοι τόν τε δῆμον καὶ τὴν σύγκλητον εἰς μέρη δύο νεμηθῆναι, καὶ τοὺς μὲν αὐτόθι κατοικεῖν, τοὺς δὲ κλήρῳ λαχόντας, εἰς τὴν αἰχμάλωτον μεταστῆναι πόλιν, ὡς εὐπορωτέρων ἐσομένων, καὶ δυσὶ μεγάλοις καὶ καλοῖς ἄστεσι τήν τε χώραν ὁμοῦ καὶ τὴν ἄλλην εὐδαιμονίαν φυλαξόντων [1]. ὁ μὲν οὖν δῆμος ἤδη πολὺς γεγονὼς καὶ ἀχρήματος, ἄσμενος [2] ἐδέξατο, καὶ συνεχὴς ἦν τοῖς περὶ τὸ βῆμα θορύβοις αἰτῶν τὴν ψῆφον· ἡ δὲ βουλή, καὶ τῶν ἄλλων οἱ κράτιστοι πολιτῶν, οὐ διαίρεσιν, ἀλλ' ἀναίρεσιν ἡγούμενοι τῆς Ῥώμης πολιτεύεσθαι τοὺς δημάρχους, καὶ δυσανασχετοῦντες, ἐπὶ τὸν Κάμιλλον κατέφυγον. κἀκεῖνος ὀῤῥωδῶν τὸν ἀγῶνα, προφάσεις ἐνέβαλε τῷ δήμῳ καὶ ἀσχολίας, δι' ὧν ἀεὶ τὸν νόμον ἐξέκρουεν. ἦν μὲν οὖν διὰ ταῦτα λυπηρός. ἡ δὲ φανερωτάτη καὶ μεγίστη τῶν ἀπεχθειῶν αὐτῷ πρὸς τὸν δῆμον ἐκ τῆς δεκάτης τῶν λαφύρων ὑπῆρξεν, οὐκ ἄλογον, εἰ καὶ μὴ πάνυ [3] δικαίαν ἀρχὴν τῶν πολλῶν λαβόντων. ηὔξατο μὲν γάρ, ἐπὶ τοὺς Βηΐους, ὡς ἔοικε, βαδίζων, εἰ τὴν πόλιν ἕλοι, τῷ Θεῷ [4] τούτῳ τὴν δεκάτην καθιερώσειν. ἁλούσης δὲ τῆς πόλεως καὶ διαρπαθείσης, εἴτ' ὀκνήσας ἐνοχλῆσαι τοῖς πολίταις, εἴτε λήθη τις αὐτὸν ὑπὸ τῶν παρόντων πραγμάτων ἔλαβε τῆς εὐχῆς

1 Junt. Ald. φυλαξάντων.

2 Ita R. bene, me judice, dedit de suo ἀχρήματος, ἄσμενος pro vulg. lect. καὶ χρηματισάμενος ἐδέξ. Schirach tamen vett. interpp. sequitur: Das Volk, welches sich sehr vermehrt hatte, und reich geworden war — &c.

3 Junt. Ald. εἰ μὴ καὶ πάνυ.

4 Ita V. & Anon. Vulgo legitur ἕλοιτο Θεῷ; pro statim seq. τούτῳ quærit R. annon legendum πάντων, rerum bello captarum omnium Br. ex hoc pronomine vult colligere, Plutarchum hæc scripsisse, & forsan totum Vitarum opus, Delphis sub ipsum templi conspectum: ut hoc δεικτικῶς loquatur Θεῷ τούτῳ, huic Deo, cujus ad aras ego per multos annos ministravi, ut alibi de se testatur.

χῆς, περιεῖδεν ὠφεληθέντας. ὕςερον δὲ χρόνῳ τῆς ἀρχῆς ἐκείνης ἤδη πεπαυμένος, ἀνήνεγκε περὶ τέτων εἰς τὴν σύγκλητον· οἵ τε μάντεις ἤγγελλον ἐπὶ τοῖς ἱεροῖς προφαίνεσθαι Θεῶν μῆνιν, ἱλασμῦ καὶ χαριςηρίων δεομένην.

VIII. Ψηφισαμένης δὲ τῆς βελῆς τὴν μὲν ὠφέλειαν, χαλεπὸν γὰρ ἦν ἀνάδαςον μὴ γενέσθαι, τὲς δὲ λαβόντας αὐτὲς σὺν ὅρκῳ τὴν δεκάτην παραφέρειν εἰς μέσον, ἐγίνετο πολλὰ λυπηρὰ καὶ βίαια περὶ τὲς ςρατιώτας, ἀνθρώπες πένητας καὶ πολλὰ πεπονηκότας [1], ἀναγκαζομένες, ὧν ἐκέκτηντο καὶ κατεκέχρηντο, μέρος εἰσφέρειν τοσῦτον. θορυβεμένῳ δ' ὑπ' αὐτῶν τῷ Καμίλλῳ, καὶ προφάσεως ἀπορῦντι βελτίονος, εἰς τὸν ἀτοπώτατον τῶν λόγων συνέβαινε καταφεύγειν, ὁμολογῦντι ἐπιλαθέσθαι τῆς εὐχῆς. οἱ δ' ἐχαλέπαινον, εἰ τὰ τῶν πολεμίων δεκατεύσειν εὐξάμενος τότε, νῦν δεκατεύει τὰ τῶν πολιτῶν. ὁ μὴν ἀλλὰ πάντων, ὅσον ἔδει μέρος, εἰσενεγκόντων, ἔδοξε κρατῆρα χρυσῦν κατασκευάσαντας, εἰς Δελφὲς ἀποςεῖλαι. χρυσίε δ' ἦν σπάνις ἐν τῇ πόλει, καὶ τῶν ἀρχόντων, ὅθεν ἂν ποριθείη, σκοπέντων, αἱ γυναῖκες αὐταὶ καθ' αὑτὰς βελευσάμεναι, τὸν ὄντα χρυσῦν ἑκάςη περὶ τὸ σῶμα κόσμον ἐπέδωκαν [2] εἰς τὸ ἀνάθημα, ςαθμῷ [3] χρυσίε γενόμενον ὀκτὼ ταλάντων. καὶ ταύταις μὲν ἡ σύγκλητος ἀποδιδῦσα τιμὴν πρέπεσαν [4], ἐψηφίσατο μετὰ θάνατον, ὥσπερ ἐπὶ τοῖς ἀνδράσι, καὶ ταῖς γυναιξὶ λέγεσθαι τὸν ἄξιον ἔπαινον. ὁ γὰρ ἦν εἰθισμένον πρότερον ἐγκωμιάζεσθαι γυναῖκα δημοσίᾳ, τελευτήσασαν. ἑλόμενοι δὲ

 τρεῖς

1 B. 3. πεποιηκότας.

2 V. ἐπέθηκαν.

3 B. 3. & Flor. addunt δὲ, unde Br. δὴ commode ſatis legi poſſe cenſet.

4 K. mavult τιμὴν τὴν πρέπεσαν.

τρεῖς ἄνδρας ἐκ τῶν ἀρίστων θεωροὺς, καὶ ναῦν μακρὰν εὐανδροῦντι πληρώματι καὶ κόσμῳ πανηγυρικῷ κατασκευάσαντες ἐξέπεμψαν. ἦν δ' ἄρα καὶ χειμὼν, καὶ γαλήνη θαλάσσης ἀργαλέον, ὡς [1] ἐκείνοις συνέτυχε τότε παρ' οὐδὲν ἐλθόντας ἀπολέσθαι, διαφυγεῖν αὖθις ἀπροσδοκήτως τὸν κίνδυνον. ἐπέπλευσαν γὰρ αὐτοῖς Λιπαρέων τριήρεις περὶ τὰς Αἰόλου νήσους [2], τοῦ πνεύματος ἐκλιπόντος, ὡς λῃσταῖς. δεομένων δὲ καὶ προϊσχομένων χεῖρας, ἐμβολῆς μὲν ἔσχοντο, τὴν δὲ ναῦν ἀναψάμενοι καὶ καταγαγόντες, ἐπεκήρυττον ἅμα καὶ τὰ χρήματα καὶ τὰ σώματα, πειρατικὰ κρίναντες εἶναι. μόλις δ' ἑνὸς ἀνδρὸς ἀρετῇ καὶ δυνάμει Τιμησιθέου τοῦ στρατηγοῦ πεισθέντες, μεθῆκαν. ὁ δὲ καὶ προσκαθελκύσας ἴδια πλοῖα παρέπεμψε, καὶ συγκαθιέρωσε τὸ ἀνάθημα· δι' ὃ καὶ τιμὰς ἔσχεν, ἃς εἰκὸς ἦν ἐν Ῥώμῃ.

IX. Τῶν δὲ δημάρχων αὖθις ἐπεγειρόντων τὸν περὶ τοῦ διοικισμοῦ νόμον, ὁ πρὸς Φαλίσκους πόλεμος ἐν καιρῷ παραφανεὶς, ἔδωκε τοῖς πρώτοις ἀνδράσιν ἀρχαιρεσιάσαι κατὰ γνώμην. καὶ Κάμιλλον ἀπέδειξε [3] μεθ' ἑτέ-

1 Mendofum hunc locum jam Xyl. judicavit. Dacer. fic legit: θαλάσσης ἀργαλέον, ἀλλ' ὅμως ἐκείνοις συνέτυχε: voculis iftis ἀλλ' ὅμως ex Ms. mutuatis. Eas dat Anon. — Br. ita rem expeditam cenfet: ἦν δ' ἄρ. κ. χ. κ. γ. θαλ. ἀργαλέον ἴσως ἐκείνοις, οἷς συνέτυχε, addens, pro ἴσως forfan ὁμοίως legendum effe. Reiskii fententia de hoc loco ita fe habet: „Pro ὡς malim ὅπου. Ifta verba ἦν δ' ἄρα — ἀργαλέον funt gnomica. Placuit nempe fatali rerum neceffitati jubere, ut ipfa adeo maris tranquillitas & coeli ferenitas, non minus effet molefta atque exitiofa, quam tempeftates fæviffimæ, ubi (h. e. cum) illis, Romanis tum Delphos miffis, ita eveniret, ut —"

2 B. 3. νῆσον.

3 Hanc lectionem R. e Junt. & Ald. revocavit, pro vulg. ἐπέδειξε, bellum adverfus Falifcos declaravit Camillum tribunum mili-

ἑτέρων πέντε χιλίαρχον, ὡς τῶν πραγμάτων ἡγεμόνος δεομένων ἀξίωμα καὶ δόξαν μετ' ἐμπειρίας ἔχοντος. ψηφισαμένε δὲ τῦ δήμε, λαβὼν δύναμιν ὁ Κάμιλλος, εἰς τὴν Φαλίσκων ἐνέβαλε· καὶ πόλιν ἐρυμνὴν καὶ κατεσκευασμένην [1] πᾶσιν εἰς πόλεμον καλῶς, Φαλερίες ἐπολιόρκει· τὸ μὲν ἑλεῖν ἐ μικρὸν ἔργον, ἐδὲ χρόνε τῦ τυχόντος ἡγέμενος, ἄλλως δὲ τρίβειν τὲς πολίτας καὶ περισπᾷν βελόμενος, ὡς μὴ σχολάζοιεν, οἴκοι καθήμενοι, δημαγωγεῖσθαι καὶ στασιάζειν. ἐπιεικῶς γὰρ ἀεὶ φαρμάκῳ τέτῳ χρώμενοι διετέλεν, ὥσπερ ἰατροὶ, τὰ ταρακτικὰ πάθη τῆς πολιτείας ἔξω τρέποντες.

X. Οὕτως δὲ τῆς πολιορκίας κατεφρόνεν οἱ Φαλέριοι, τῷ πανταχόθεν ἐξωχυρῶσθαι πιστεύοντες, ὥστε πλὴν τῶν τὰ τείχη φυλαττόντων, τὲς ἄλλες ἐν ἱματίοις κατὰ τὴν πόλιν ἀναστρέφεσθαι· τὲς δὲ παῖδας αὐτῶν εἴς τε τὰ διδασκαλεῖα φοιτᾷν, καὶ περὶ τὰ τείχη περιπατήσοντας καὶ γυμνασομένες [2] ὑπὸ τῦ διδασκάλε καταβιβάζεσθαι. κοινῷ γὰρ ἐχρῶντο τῷ διδασκάλῳ, ὥσπερ Ἕλληνες, οἱ Φαλέριοι, βελόμενοι συντρέφεσθαι καὶ συναγελάζεσθαι μετ' ἀλλήλων εὐθὺς ἐξ ἀρχῆς τὲς παῖδας. ἔτος ἔν ὁ διδάσκαλος ἐπιβελεύων τοῖς Φαλερίοις διὰ τῶν παίδων, ἐξῆγεν αὐτὲς ἡμέρας ἑκάστης ὑπὸ τὸ τεῖχος, ἐγγὺς τὸ πρῶτον, εἶτ' ἀπῆγεν αὖθις [3] εἴσω γυμνασαμένες. ἐκ δὲ τέτε κατὰ μικρὸν ὑπάγων [4] εἴθισε θαῤῥεῖν, ὡς πολλῆς ἔσης ἀδείας· καὶ τέλος ἔχων

militum, h. e. in caufa fuit, ut declararetur. — Dacer. legit ἐπίδειξαν, feu ἀποδεῖξαι, ut antea ἀρχαιρεσιάσαι, quod ex Ms. profert, & dat Anon.

1 deeft καὶ B. 3. Junt. & Ald. quæ etiam παρεσκευασμ. dant.

2 Junt. Ald. dant περιπατήσαντας, & B. 3. γυμνασαμένες; & pro mox feq. καταβιβάζεσθαι V. & B. 3. καταβιάζεσθαι.

3 deeft B. 3. Loco ejus eft in Junt. & Ald. αὐτὲς.

4 Poft h. vocem R. videtur deeffe ποῤῥοτέρω.

ἔχων ἅπαντας, εἰς τὰς προφύλακας τῶν Ῥωμαίων ἐνέβαλε, καὶ παρέδωκεν, ἄγειν κελεύσας πρὸς τὸν Κάμιλλον. ἀχθεὶς δὲ καὶ καταστὰς εἰς μέσον, ἔλεγε παιδευτὴς μὲν εἶναι καὶ διδάσκαλος, τὴν δὲ πρὸς ἐκεῖνον χάριν ἀντὶ τούτων ἑλόμενος τῶν δικαίων, ἥκειν αὐτῷ τὴν πόλιν ἐν τοῖς παισὶ κομίζων. δεινὸν οὖν ἀκούσαντι τὸ ἔργον ἐφάνη Καμίλλῳ· καὶ πρὸς τοὺς παρόντας εἰπών· ὡς χαλεπὸν μέν ἐστι πόλεμος, καὶ διὰ πολλῆς ἀδικίας καὶ βιαίων περαινόμενος ἔργων, εἰσὶ δὲ καὶ πολέμων ὅμως τινὲς νόμοι τοῖς ἀγαθοῖς ἀνδράσι· καὶ τὸ νικᾷν οὐχ οὕτω διωκτέον, ὥστε μὴ [1] φεύγειν τὰς ἐκ κακῶν ἢ ἀσεβῶν ἔργων χάριτας· (ἀρετῇ γὰρ οἰκείᾳ τὸν μέγαν στρατηγὸν, οὐκ ἀλλοτρίᾳ θαῤῥοῦντα κακίᾳ, χρῆναι στρατεύειν [2].) προσέταξε τοῖς ὑπηρέταις, τοῦ μὲν ἀνθρώπου καταῤῥηγνῦναι τὰ ἱμάτια, καὶ τὰς χεῖρας ὀπίσω περιάγειν, τοῖς δὲ παισὶ διδόναι ῥάβδους καὶ μάστιγας, ὅπως κολάζοντες τὸν προδότην, ἐλαύνωσιν εἰς τὴν πόλιν. ἄρτι δὲ τῶν Φαλερίων ᾐσθημένων τὴν τοῦ διδασκάλου προδοσίαν, καὶ τὴν μὲν πόλιν, οἷον εἰκὸς, ἐπὶ συμφορᾷ τηλικαύτῃ θρήνου [3] κατέχοντος, ἀνδρῶν δὲ δοκίμων καὶ γυναικῶν ἐπὶ τὰ τείχη καὶ τὰς πύλας σὺν οὐδενὶ λογισμῷ φερομένων, προσῆγον οἱ παῖδες, τὸν διδάσκαλον γυμνὸν καὶ δεδεμένον προπηλακίζοντες, τὸν δὲ Κάμιλλον σωτῆρα καὶ Θεὸν καὶ πατέρα ἀνακαλοῦντες· ὥστε μὴ μόνον τοῖς γονεῦσι τῶν παίδων, ἀλλὰ καὶ τοῖς ἄλλοις πολίταις ταῦθ᾽ ὁρῶσι θαῦμά τε [4] καὶ πόθον ἐμπεσεῖν τῆς τοῦ Καμίλλου δικαιοσύνης· καὶ συνδραμόντες εἰς ἐκκλησίαν πρέσβεις ἔπεμψαν, ἐκείνῳ τὰ καθ᾽

1 B. 3. Junt. ὡς τὸ μή.

2 R. mavult στρατηγεῖν.

3 V. θήνου.

4 Lect. vulg. est θαυμάσαι, pro qua jam H. Steph. θαῦμα scribendum censuit. Dacer. θαῦμά τε ex Ms. probat, & ita Anon. — θαυμάζειν dant Junt. Ald. & B. 3.

καθ' ἑαυτὰς ἐπιτρέποντες, ἃς ὁ Κάμιλλος ἀπέςειλεν εἰς Ῥώμην. ἐν δὲ τῇ βουλῇ καταςάντες εἶπον, ὅτι Ῥωμαῖοι τῆς νίκης τὴν δικαιοσύνην προτιμήσαντες, ἐδίδαξαν αὐτοὺς τὴν ἧσσαν ἀγαπῆσαι πρὸ τῆς ἐλευθερίας, οὐ τοσοῦτον τῇ δυνάμει λείπεσθαι δοκοῦντας, ὅσον ἡττᾶσθαι τῆς ἀρετῆς ὁμολογοῦντας. ἀποδούσης δὲ τῆς βουλῆς πάλιν ἐκείνῳ τὸ κρῖναι καὶ διαιτῆσαι ταῦτα, χρήματα λαβὼν παρὰ [1] τῶν Φαλερίων, καὶ φιλίαν πρὸς ἅπαντας Φαλίσκους θέμενος, ἀνεχώρησεν.

XI. Οἱ δὲ ςρατιῶται, διαρπάσειν προσδοκήσαντες τοὺς Φαλερίους, ὡς ἐπανῆλθον εἰς Ῥώμην κεναῖς χερσὶ, κατηγόρουν τοῦ Καμίλλου πρὸς τοὺς ἄλλους πολίτας ὡς μισοδήμου, καὶ φθονήσαντος ὠφεληθῆναι [2] τοῖς πένησιν. ἐπεὶ δὲ τὸν περὶ τοῦ διοικισμοῦ νόμον οἱ δήμαρχοι προθέντες αὖθις ἐπὶ τὴν ψῆφον ἐκάλουν τὸν δῆμον, ὁ δὲ Κάμιλλος οὐδεμιᾶς ἀπεχθείας, οὐδὲ παῤῥησίας φεισάμενος, ἐφάνη μάλιςα πάντων ἐκβιαζόμενος τοὺς πολλοὺς, τὸν μὲν νόμον ἄκοντες ἀπεψηφίσαντο, τὸν δὲ Κάμιλλον δι' ὀργῆς εἶχον. ὥςε καὶ δυςυχήσαντος αὐτοῦ περὶ τὰ οἰκεῖα, τῶν γὰρ υἱῶν ἀπέβαλε τὸν ἕτερον νοσήσαντα, μηδὲν οἴκτῳ τῆς ὀργῆς ὑφέσθαι. καίτοι τὸ πάθος οὐ μετρίως ἤνεγκεν ἥμερος ἀνὴρ καὶ χρηςὸς, ἀλλὰ τῆς δίκης προγεγραμμένης αὐτῷ, διὰ πένθος οἰκούρει, καθειργμένος μετὰ τῶν γυναικῶν.

XII. Ὁ μὲν οὖν κατήγορος ἦν Λεύκιος Ἀπουλήϊος, ἔγκλημα δὲ κλοπῆς [3] περὶ τὰ Τυῤῥηνικὰ χρήματα. καὶ δῆτα καὶ θύραι τινὲς ἐλέγοντο χαλκαῖ παρ' αὐτῷ φανῆναι τῶν αἰχμαλώτων. ὁ δὲ δῆμος ἐξηρέθιςο, καὶ δῆλος ἦν ἐκ πάσης προφάσεως κατ' αὐτοῦ τῇ ψήφῳ χρησόμενος. οὕτως οὖν συναγαγὼν τούς τε φίλους καὶ τοὺς συςρα-

1 V. περί.
2 R. mavult τοῦ ὠφελ.
3 Br. mavult κλοπή.

συστρατευσαμένους καὶ τοὺς συνάρξαντας, ἐκ ὀλίγους τὸ πλῆθος ὄντας, ἐδεῖτο μὴ περιϊδεῖν αὐτὸν ἀδίκως ἐπ' αἰτίαις πονηραῖς ὄφλοντα, καὶ καταγέλαστον ὑπὸ τῶν ἐχθρῶν γενόμενον. ἐπεὶ δ' οἱ φίλοι βουλευσάμενοι καὶ διαλεχθέντες ἑαυτοῖς, ἀπεκρίναντο, πρὸς μὲν τὴν κρίσιν αὐτῷ μηδὲν οἴεσθαι βοηθήσειν, τὴν δὲ ζημίαν ὀφείλοντι συνεκτίσειν, οὐκ ἀναχόμενος, ἔγνω μεταστῆναι καὶ φυγεῖν ἐκ τῆς πόλεως πρὸς ὀργήν. ἀσπασάμενος οὖν τὴν γυναῖκα καὶ τὸν υἱὸν, ἀπὸ τῆς οἰκίας προήει [1] σιωπῇ μέχρι τῆς πύλης· ἐκεῖ δ' ἐπέστη, καὶ μεταστραφεὶς ὀπίσω, καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὸ Καπιτώλιον, ἐπηύξατο τοῖς Θεοῖς, εἰ μὴ δικαίως, ἀλλ' ὕβρει δήμου καὶ φθόνῳ προπηλακιζόμενος ἐκπίπτει, ταχὺ Ῥωμαίους μετανοῆσαι, καὶ πᾶσιν ἀνθρώποις φανεροὺς γενέσθαι δεομένους αὐτοῦ, καὶ ποθοῦντας Κάμιλλον.

XIII. Ἐκεῖνος μὲν οὖν, ὥσπερ [2] ὁ Ἀχιλλεὺς, ἀρὰς θέμενος ἐπὶ τοὺς πολίτας, καὶ μεταστὰς, ὦφλε τὴν δίκην ἐρήμην, τίμημα μυρίων καὶ πεντακισχιλίων ἀσσαρίων ἔχουσαν. ὃ γίνεται πρὸς ἀργυρίου λόγον, χίλιαι δραχμαὶ καὶ πεντακόσιαι. ἀσσάριον γὰρ ἦν τὸ ἀργύριον [3], καὶ τὸ δεκάχαλκον οὕτως ἐκαλεῖτο δηνάριον. οὐδεὶς δ' ἐστὶ

1 B. 3. & Junt. πρόεισι.

2 Xyl. suspicatus est, οὐχ extritum ante ὥσπερ ab imprudente rei librario, quia non eodem modo Camillus erga Patriam, quo Achilles erga suos se gessit. At, ut recte Br. observat, uterque ἀρὰς posuit in suos, adeoque particula negativa nihil opus est.

3 Hunc locum mendosum esse, docent Scaliger & Rualdus. Uterque legendum censet: ἀσσαρίων γὰρ ι ἦν τὸ ἀργύριον, assium vel assariorum X. erat argenteus denarius. Eandem lect. exhibet Anon. — R. colligit sic ferme Plutarchum reliquisse scriptum: ἀσσάριον γὰρ ἦν δραχμῆς τὸ δέκατον, νόμισμα χαλκοῦν, ἐκ ἀργυροῦν. καὶ τὸ δεκ. οὕτ. ἐκαλ. δην. Quam emendationem Schirach prolixiorem & audacius formatam judicavit.

δ' ἐςὶ Ῥωμαίων, ὃς ἐ νομίζει τὰς εὐχὰς τȣ̃ Καμίλλȣ ταχὺ τὴν Δίκην ὑπολαβεῖν, καὶ γενέϑαι αὐτῷ τιμωρίαν τῆς ἀδικίας, ἐχ ἡδεῖαν, ἀλλ' ἀνιαρὰν [1], ὀνομαςὴν δὲ καὶ περιβόητον. τοσαύτη περιῆλθε τὴν Ῥώμην νέμεσις, καὶ τοσȣ̃τον ἄγων Φόβον [2] καὶ κίνδυνον ἅμα μετ' αἰσχύνης ἐφάνη καιρὸς ἐπὶ τὴν πόλιν, εἴτε τῆς τύχης ȣ̃τω συνελθȣ́σης, εἴτε καὶ Θεῶν τινος ἔργον ἐςὶ μὴ παραμελεῖν ἀρετῆς ἀχαριςȣμένης.

XIV. Πρῶτον μὲν ȣ̃ν ἔδοξε σημεῖον γεγονέναι κακȣ̃ μεγάλȣ προσιόντος, ἡ Ἰȣλίȣ τȣ̃ τιμητȣ̃ τελευτή [3]. μάλιςα γὰρ δὴ Ῥωμαῖοι σέβονται καὶ νομίζȣσιν ἱερὰν τὴν τῶν τιμητῶν ἀρχήν. δεύτερον δὲ, πρὸ τῆς Καμίλλȣ φυγῆς, ἀνὴρ ἐκ ἐπιφανὴς μὲν, ȣ̉δ' ἐκ τῆς βȣλῆς, ἐπιεικὴς δὲ καὶ χρηςὸς εἶναι δοκῶν, Μάρκος Κεδίκιος, ἀνήνεγκε πρὸς τȣ̀ς χιλιάρχȣς πρᾶγμα φροντίδος [4] ἄξιον. ἔφη γὰρ ἐν τῇ παρῳχημένῃ νυκ]ὶ καθ' ὁδὸν βαδί-

1 Subaudi αὐτῷ, Camillo. R. ſuſpicatur, poſt ἀνιαρ. deeſſe εἰς ]ὰ μάλιςα, inprimis luctuoſam & peracerbam.

2 Ita dedit R. de ſuo pro vulg. φθόνον, quod e Junt. promanavit & φθόρον, quod dat Ald. & B. 3. — Dacer. ex Ms. præfert φόνον, quod dat Anon.

3 Locus, qui interpp. multum vexaverat, antea hanc exhibens lectionem: προσιόντος Ἰȣλίȣ μηνὸς, ἡ ]ȣ̃ ]ιμητȣ̃ ]ελευτή. R. ſatis plane rem explicat: „Errorem, in vulgaribus libris hic verſantem, virorum doctorum ſagacitas jam dudum ſuſtulit, quos de vitii origine literula η poterat admonere. Percrebrum in libris græcis hoc eſt genus erroris, cum librarii oſcitantes, admiſſa menda, ſeſe reprehendentes, neque tamen audentes raſura membranas fœdare, ad mendam adſcribunt emendationem, præmiſſa admonitoria particula ἤ. Quod idem hic quoque loci factum eſſe ſuſpicor. Feſtinatione lapſus librarius, cum exaraſſet Ἰȣλίȣ μηνὸς, mature ſentiebat, non de menſe Julio hic agi, ſed de viro, cenſore. Cavens itaque litura munditiem membranarum commaculare, relinquebat quidem μηνὸς vitioſum, veruntamen, veluti quoddam antipharmacum ei ſubjiciebat ἢ ]ȣ̃ ]ιμητȣ̃."

4 V. ἅμα φροντίδος.

βαδίζων, ἣν καινὴν ὀνομάζουσι, κληθεὶς ὑπό τινος, φθεγξαμένου μέγα, στραφῆναι, καὶ θεάσασθαι μὲν οὐδένα, φωνῆς δὲ μείζονος, ἢ κατ' ἀνθρωπίνην, ἀκοῦσαι, τάδε λεγούσης· Ἄγε Μάρκε Κεδίκιε, λέγε πρὸς τοὺς ἄρχοντας ἕωθεν ἐλθὼν, ὀλίγου χρόνου Γαλάτας προσδέχεσθαι. Ταῦτ' ἀκούσαντες οἱ χιλίαρχοι, γέλωτα καὶ παιδιὰν ἐποιοῦντο. καὶ μετ' ὀλίγον συνέβη τὰ περὶ Κάμιλλον.

XV. Οἱ δὲ Γαλάται τοῦ Κελτικοῦ γένους ὄντες, ὑπὸ πλήθους λέγονται τὴν αὐτῶν ἀπολιπόντες, οὐκ οὖσαν αὐτάρκη τρέφειν ἅπαντας, ἐπὶ ζήτησιν ἑτέρας ὁρμῆσαι. μυριάδες δὲ πολλαὶ γενόμενοι [1] νέων ἀνδρῶν καὶ μαχίμων, ἔτι δὲ πλείους παίδων καὶ γυναικῶν ἄγοντες, οἱ μὲν ἐπὶ τὸν βόρειον Ὠκεανὸν, ὑπερβαλόντες τὰ Ῥιπαῖα ὄρη, ῥυῆναι, καὶ τὰ ἔσχατα τῆς Εὐρώπης κατασχεῖν, οἱ δὲ μεταξὺ Πυῤῥήνης ὄρους καὶ τῶν Ἄλπεων ἱδρυθέντες, ἐγγὺς Σεννώνων καὶ Κελτορίων [2] κατοικεῖν χρόνον πολύν. ὀψὲ δ' οἴνου γευσάμενοι τότε πρῶτον ἐξ Ἰταλίας διακομισθέντος, οὕτως ἄρα θαυμάσαι τὸ πόμα, καὶ πρὸς τὴν καινότητα τῆς ἡδονῆς ἔκφρονες γενέσθαι πάντες [3], ὥστ' ἀράμενοι τὰ ὅπλα, καὶ τοὺς γονέας [4] ἀναλαβόντες, ἐπὶ τὰς Ἄλπεις φέρεσθαι, καὶ ζητεῖν ἐκείνην τὴν γῆν, ἣ τοιοῦτον καρπὸν ἀναδίδωσι, τὴν δ' ἄλλην ἄκαρπον ἡγεῖσθαι καὶ ἀνήμερον. ὁ δ' εἰσαγαγὼν τὸν οἶνον παρ' αὐτοὺς, καὶ παροξύνας ἐπὶ τὴν Ἰταλίαν μάλιστα καὶ πρῶτος, Ἄῤῥων λέγεται γενέσθαι Τυῤῥηνὸς, ἀνὴρ ἐπιφανὴς, καὶ φύσει μὲν οὐ πονηρὸς, συμ-

1 Ita R. dedit pro vulg. γενόμεναι, refer. ad Γάλαται, uti mox seq. ἄγοντες.

2 Hoc gentis cujusdam nomen prorſus eſt incognitum, forſan negligentia librariorum corruptum. Br. ſuſp. Κελτῶν legendum, cum de Celtis Livius rem narret. R. videtur Plutarchus Santonas in Galliis & Cantabros deſignare.

3 Junt. & Ald. ἔκφρονας γ. πάντας.

4 Artic. ante h. v. dedit R.

συμφορᾷ δὲ τοιαύτῃ χρησάμενος. ἦν ἐπίτροπος παιδὸς ὀρφανῦ, πλέτῳ τε πρώτυ τῶν πολιτῶν, καὶ θαυμαζομένυ κατ' εἶδος, ὄνομα Λυκύμωνος. ὗτος ἐκ νέυ παρὰ τῷ Ἄῤῥωνι δίαιταν εἶχε, καὶ μειράκιον ὤν, ὐκ ἀπέλειπε [1] τὴν οἰκίαν, ἀλλὰ προσεποιεῖτο χαίρειν συνὼν ἐκείνῳ. καὶ πολὺν χρόνον ἐλάνθανε διεφθαρκὼς αὐτῦ τὴν γυναῖκα, καὶ διεφθαρμένος ὑπ' ἐκείνης· ἤδη δὲ πόῤῥω τῦ πάθυς ἀμφοτέρων γεγονότων, καὶ μήτ' ἀφεῖναι τὴν ἐπιθυμίαν, μήτε κρύπτειν ἔτι δυναμένων, ὁ μὲν νεανίσκος ἐπεχείρει φανερῶς ἀποσπάσας ἔχειν τὴν ἄνθρωπον· ὁ δ' ἀνὴρ ἐπὶ δίκην ἐλθὼν, καὶ κρατύμενος πλήθει φίλων καὶ χρημάτων καὶ δαπάναις ὑπὸ τῦ Λυκύμωνος, ἐξέλιπε τὴν ἑαυτῦ· καὶ πυθόμενος τὰ τῶν Γαλατῶν, ἧκεν ὡς αὐτὺς, καὶ καθηγήσατο τῆς εἰς τὴν Ἰταλίαν ςρατείας.

XVI. Οἱ δ' ἐμβαλόντες, εὐθὺς ἐκράτυν τῆς χώρας, ὅσην τὸ παλαιὸν οἱ Τυῤῥηνοὶ κατεῖχον, ἀπὸ τῶν Ἄλπεων ἐπ' ἀμφοτέρας καθήκυσαν τὰς θαλάσσας· ὡς καὶ τὔνομα μαρτυρεῖ τῷ λόγῳ. τὴν μὲν γὰρ βόρειον θάλασσαν, Ἀδρίαν καλῦσιν, ἀπὸ Τυῤῥηνικῆς πόλεως Ἀδρίας· τὴν δὲ πρὸς νότον κεκλιμένην, ἄντικρυς Τυῤῥηνικὸν πέλαγος. πᾶσα δ' ἐςὶ δενδρόφυτος αὕτη, καὶ θρέμμασιν εὔβοτος, καὶ κατάῤῥυτος ποταμοῖς. καὶ πόλεις εἶχεν ὀκτωκαίδεκα καλὰς καὶ μεγάλας, καὶ κατεσκευασμένας πρός τε χρηματισμὸν ἐργατικῶς, καὶ πρὸς δίαιταν πανηγυρικῶς, ἃς οἱ Γαλάται, τὺς Τυῤῥηνὺς ἐκβαλόντες, αὐτοὶ κατέχον. ἀλλὰ ταῦτα μὲν ἐπράχθη συχνῷ τινι χρόνῳ πρότερον.

XVII. Οἱ δὲ Γαλάται πρὸς πόλιν τότε Τυῤῥηνίδα Κλύσιον ςρατεύσαντες, ἐπολιόρκυν. οἱ δὲ Κλυσῖνοι καταφυγόντες ἐπὶ τὺς Ῥωμαίυς, ᾐτήσαντο πρέσβεις παρ' αὐ-

1 Junt. ἀπέλιπε.

αὐτῶν καὶ γράμματα πρὸς τὰς βαρβάρους. ἐπέμφθησαν δὲ τοῦ Φαβίων γένους τρεῖς ἄνδρες εὐδόκιμοι, καὶ τιμὰς μεγάλας ἔχοντες ἐν τῇ πόλει. τούτους ἐδέξαντο μὲν οἱ Γαλάται φιλανθρώπως, διὰ τὸ τῆς Ῥώμης ὄνομα, καὶ παυσάμενοι τῆς πρὸς τὰ τείχη μάχης εἰς λόγους συνῆλθον. πυνθανομένων δ' αὐτῶν, ὅ τι παθόντες ὑπὸ Κλουσίνων ἥκοιεν ἐπὶ τὴν πόλιν, γελάσας ὁ βασιλεὺς τῶν Γαλατῶν Βρέννος· Ἀδικοῦσιν ἡμᾶς, ἔφη, Κλουσῖνοι, γῆν καὶ χώραν ὀλίγην μὲν γεωργεῖν δυνάμενοι, πολλὴν δὲ κατέχειν ἀξιοῦντες, καὶ μὴ μεταδιδόντες ἡμῖν ξένοις οὖσι καὶ πολλοῖς καὶ πένησι. ταῦτα [1] δ' ἄρα καὶ ὑμᾶς ἠδίκουν, ὦ Ῥωμαῖοι, πρότερον μὲν Ἀλβανοὶ καὶ Φιδηνάται, καὶ Ἀρδεάται, νῦν δὲ Οὐήϊοι καὶ Καπηνάται, καὶ πολλοὶ Φαλίσκων καὶ Οὐολέσκων· ἐφ' οὓς ὑμεῖς στρατεύοντες [2], ἐὰν μὴ μεταδῶσιν ὑμῖν τῶν ἀγαθῶν, ἀνδραποδίζεσθε, λεηλατεῖτε, καὶ κατασκάπτετε τὰς πόλεις αὐτῶν· οὐδὲν οὐδὲ ὑμεῖς γε δεινὸν, οὐδ' [3] ἄδικον ποιοῦντες, ἀλλὰ τῷ πρεσβυτάτῳ τῶν νόμων ἀκολουθοῦντες, ὃς τῷ κρείττονι τὰ τῶν ἡττόνων δίδωσιν, ἀρχόμενος ἀπὸ τοῦ Θεοῦ [4], καὶ τελευτῶν εἰς τὰ θηρία. καὶ γὰρ τούτοις ἐκ φύσεως ἔνεστι, τὸ ζητεῖν [5] πλέον ἔχειν τὰ κρείττονα τῶν ὑποδεεστέρων. Κλουσίνους δὲ παύσασθε πολιορκουμένους. οἰκτείροντες, ὡς μὴ καὶ Γαλάτας διδάξητε χρηστοὺς καὶ φιλοικτίρμονας γενέσθαι τοῖς ὑπὸ Ῥωμαίων ἀδικουμένοις. Ἐκ τούτων τῶν λόγων ἔγνωσαν οἱ Ῥωμαῖοι τὸν Βρέννον ἀσυμβάτως ἔχοντα· καὶ παρελθόντες εἰς τὸ Κλούσιον, ἐθάῤῥυνον καὶ παρώρμων τοὺς ἄνδρας ἐπεξελθεῖν τοῖς βαρβάροις [6] μετ' αὐτῶν, εἴτε τὴν ἐκεί-

1 H. Steph. mavult ταὐτά.

2 B. 3. στρατεύσαντες; uti paulo post μεταδίδωσιν.

3 desunt οὐδὲ ὑμ. γε δειν. οὐδ' B. 3.

4 R. mavult ἀπὸ τοῦ θείου.

5 B. 3. & Junt. διὰ τὸ ζητεῖν, unde R. susp. Plutarchum scripsisse διὰ παντὸς ζητεῖν. Pro τῶν in seq. l. legit V. διά.

6 B. 3. Junt. Ald. τοὺς βαρβάρους.

ἐκείνων ἀλκὴν καταμαθεῖν, εἴτε τὴν ἑαυτῶν ἐπιδεῖξαϑαι θέλοντες. ἐκδρομῆς δὲ τῶν Κλουσίνων καὶ μάχης παρὰ τὰ τείχη γενομένης, εἷς τῶν Φαβίων, Κόϊντος Ἄμβουστος, ἵππον ἔχων ἐξήλασεν ἀντίος ἀνδρὶ μεγάλῳ καὶ καλῷ, Γαλάτῃ, πολὺ προϊππεύοντι τῶν ἄλλων, ἀγνοηθεὶς ἐν ἀρχῇ διὰ τὸ τὴν σύνοδον ὀξεῖαν γενέϑαι, καὶ τὰ ὅπλα περιλάμποντα τὴν ὄψιν ἀποκρύπτειν. ὡς δ᾽ ἐπικρατήσας τῇ μάχῃ, καὶ καταβαλὼν ἐσκύλευε τὸν ἄνδρα [1], γνωρίσας ὁ Βρέννος αὐτοῦ [2] ἐπεμαρτύρατο Θεούς, ὡς παρὰ τὰ κοινὰ καὶ νενομισμένα πᾶσιν ἀνθρώποις ὅσια καὶ δίκαια, πρεσβευτοῦ μὲν ἥκοντος, πολέμια δ᾽ εἰργασμένου. καταπαύσας δὲ τὴν μάχην αὐτίκα, Κλουσίνους μὲν εἴα χαίρειν, ἐπὶ δὲ τὴν Ῥώμην τὸν στρατὸν ἦγεν. οὐ βουλόμενος δὲ δόξαι τὴν ἀδικίαν αὐτοῖς [3] ὥσπερ ἀσμένοις γεγονέναι καὶ δεομένοις προφάσεως, ἔπεμψεν ἐξαιτῶν ἐπὶ τιμωρίᾳ τὸν ἄνδρα [4]. καὶ προῆγεν ἅμα σχολαίως.

XVIII. Ἐν δὲ Ῥώμῃ τῆς βουλῆς συναχθείσης, ἄλλοι τε πολλοὶ τῶν Φαβίων [5] κατηγόρουν, καὶ τῶν ἱερέων οἱ καλούμενοι Φητιαλεῖς ἐνῆγον, ἐπιθειάζοντες καὶ κελεύοντες τῶν πεπραγμένων [6] ἄγος τὴν σύγκλητον εἰς ἕνα τὸν αἴτιον τρέψασαν, ὑπὲρ τῶν ἄλλων ἀφοσιώσαϑαι. τούτους τοὺς Φητιαλεῖς Πομπίλιος Νουμᾶς, βασιλέων ἡμερώτατος γενόμενος καὶ δικαιότατος, κατέστησε, φύλακας μὲν εἰρήνης, ἐπιγνώμονας δὲ καὶ βεβαιωτὰς αἰτιῶν, αἳ σὺν δίκῃ πόλεμον ἐπισυνάπτουσι. τῆς δὲ βουλῆς



1 V. B. 3. τὸν ἄνθρωπον.

2 Hunc casum restituit R. e Junt. & Ald. ob inseq. genitivos πρεσβευτοῦ μὲν ἥκοντος &c. idem est ac si κατ᾽ αὐτοῦ dixisset. Vulg. dant αὐτόν.

3 sibi ceterisque suis Gallis. B. 3. αὐτῷ.

4 desunt τὸν ἄνδρα B. 3. Junt. & Ald.

5 B. 3. τοῦ Φαβίου.

6 R. mavult τὸ τῶν πεπραγμένων.

λῆς ἐπὶ τὸν δῆμον ἀνενεγκαμένης τὸ πρᾶγμα, καὶ τῶν ἱερέων ὅμοια τοῦ Φαβίου κατηγορούντων, οὕτω περιύβρισαν αὐτῶν [1] οἱ πολλοὶ τὰ θεῖα καὶ κατεγέλασαν, ὥστε καὶ χιλίαρχον ἀποδεῖξαι τὸν Φάβιον μετὰ τῶν ἀδελφῶν. οἱ δὲ Κελτοὶ πυθόμενοι ταῦτα, καὶ χαλεπῶς φέροντες, οὐδὲν ἐμποδὼν ἐποιοῦντο τῆς σπουδῆς, ἀλλ' ἐχώρουν παντὶ τάχει, καὶ πρὸς τὸ πλῆθος αὐτῶν καὶ τὴν λαμπρότητα τῆς παρασκευῆς, καὶ βίαν καὶ θυμὸν, ἐκπεπληγμένων τῶν διὰ μέσου, καὶ τὴν [2] χώραν ἀπολωλέναι πᾶσαν ἤδη, καὶ τὰς πόλεις εὐθὺς ἀπολέσθαι δοκούντων, παρ' ἐλπίδας οὐδὲν ἠδίκουν, οὐδ' ἐλάμβανον ἐκ τῶν ἀγρῶν [3], ἀλλὰ καὶ τὰς πόλεις ἐγγὺς παρεξιόντες, ἐβόων ἐπὶ τὴν Ῥώμην πορεύεσθαι, καὶ μόνοις πολεμεῖν Ῥωμαίοις, τοὺς δ' ἄλλους φίλους ἐπίστασθαι. τοιαύτῃ δὲ χρωμένων ὁρμῇ τῶν βαρβάρων, ἐξῆγον οἱ χιλίαρχοι τοὺς Ῥωμαίους ἐπὶ τὸν ἀγῶνα, πλήθει μὲν οὐκ ἐνδεεῖς, ἐγίνοντο [4] γὰρ ὁπλῖται τετρακισμυρίων οὐκ ἐλάσσους, ἀνασκήτους δὲ [5] τοὺς πολλοὺς, καὶ τότε πρῶτον ἁπτομένους ὅπλων. ἔτι δ' ἐξημέλητο τὰ τῶν Θεῶν αὐτοῖς, οὔτε καλλιερήσασιν, οὔτε μάντεις, ἃ πρὸ κινδύνου καὶ μάχης εἰκὸς ἦν, ἐρομένοις. οὐδενὸς δ' ἧττον ἐτάραττεν [6] ἡ πολυαρχία τὰ πραττόμενα. καίτοι πρότερόν γε καὶ πρὸς ἐλάττονας ἀγῶνας εἵλοντο πολλάκις μονάρχους, οὓς δικτάτωρας καλοῦσιν· οὐκ ἀγνοοῦντες, ὅσον ἐστὶν εἰς ἐπισφαλῆ καιρὸν ὄφελος, μιᾷ χρωμένους γνώμῃ πρὸς ἀνυπεύθυνον ἀρχὴν, ἐν χερσὶ τὴν δίκην ἔχουσαν, εὐτακτεῖν.

οὐχ

1 Minus commode hoc loco stare mihi videtur genitivus αὐτῶν. Malim transferri ad κατεγέλ. — R. quidem subaudiendum dicit τῶν δημοτῶν, de plebeiis multi.

2 B. 3. καὶ τὴν τε.

3 V. ἀγορῶν.

4 V. ἐγένοντο.

5 Post hanc partic. in vulg. legitur ἔχοντες, quod nunc omissum est auctoritate B. 3. Fl. & Ald.

6 V. B. 3. ἐπετάραττεν.

οὐχ ἥκιστα δὲ καὶ Κάμιλλος ἀγνωμονηθεὶς ἔβλαψε τὰ πράγματα, τοῦ μὴ πρὸς χάριν, μηδὲ κολακεύοντας [1] ἄρχειν, φοβεροῦ γενομένου. προελθόντες οὖν ἀπὸ τῆς πόλεως σαδίους ἐννενήκοντα, παρὰ τὸν Ἀλίαν ποταμὸν ηὐλίσθησαν, οὐ πόῤῥω τοῦ σρατοπέδου τῷ Θύμβριδι συμφερόμενον. ἐνταῦθα δὲ τῶν βαρβάρων ἐπιφανέντων, αἰσχρῶς ἀγωνισάμενοι δι' ἀταξίαν, ἐτράποντο. καὶ τὸ μὲν ἀρισερὸν κέρας εὐθὺς ἐμβαλόντες εἰς τὸν ποταμὸν οἱ Κελτοὶ διέφθειραν· τὸ δὲ δεξιὸν, ὑπεκκλῖναν τὴν ἐπιφορὰν ἐκ τοῦ πεδίου πρὸς τοὺς λόφους, ἧττον ἐξεκόπη· καὶ διεξέπεσον ἀπὸ τούτων εἰς τὴν πόλιν οὐ πολλοί [2]. τοῖς δ' ἄλλοις, ὅσοι, τῶν πολεμίων ἀπειπόντων πρὸς τὸν φόνον, ἐσώθησαν, εἰς Βηίους αἱ φυγαὶ διὰ νυκτὸς ἦσαν, ὡς τῆς Ῥώμης οἰχομένης, καὶ τῶν ἐκεῖ πάντων ἀπολωλότων.

XIX. Ἐγένετο δ' ἡ μάχη περὶ τροπὰς θερινὰς περὶ [3] τὴν πανσέληνον. ᾗ καὶ πρότερον ἡμέρᾳ μέγα πάθος [4] συνέβη τὸ περὶ τοὺς Φαβίους· τριακόσιοι γὰρ ἐκ τοῦ γένους ὑπὸ Τυῤῥηνῶν ἀνῃρέθησαν. ἐκράτησε δὲ, τὴν ἡμέραν ἀπὸ τῆς δευτέρας ἧττης, Ἀλιάδα μέχρι νῦν καλεῖσθαι διὰ τὸν ποταμόν. περὶ δ' ἡμερῶν ἀποφράδων, εἴτε χρὴ τίθεσθαί τινας, εἴτ' ὀρθῶς Ἡράκλειτος [5] ἐπέπληξεν Ἡσιόδῳ, τὰς μὲν ἀγαθὰς ποιουμένῳ, τὰς δὲ φαύλας, ὡς ἀγνοοῦντι φύσιν ἡμέρας ἁπάσης μίαν

 οὖσαν

1 V. B. 3. & Junt. κολακεύοντας. Vulg. dedit Aldina. Br. fufp. κολακευτικῶς. R. nihil mutandum cenfet, lectionem vulgarem veram declarans; aut fi quid mutandum, mavult κολακευόντως, adverb.

2 de fuo dedit R. pro vulg. οἱ πολλοί.

3 Anon. μετὰ, quod Xyl. probat.

4 Anon. πένθος.

5 Ita nunc legitur ex emendatione R. Vulgatæ dant εἴτε μὴ, ὀρθῶς Ἡρ. In edit. Frft. deeft ὀρθῶς. H. Steph. conjecit: εἴτε μὴ περὶ ὧν ὀρθῶς Ἡρ. ἐπεπλ. Ἡσι. — Br. εἴτε μὴ, καὶ ὀρθῶς.

ῆσαν, ἑτέρωθι διηπόρηται. τῇ δ' ὑποκειμένῃ γραφῇ τὸ μνημονεῦσαι παραδειγμάτων ὀλίγων, ἴσως ἂν ἁρμόσειε. τοῦτο μὲν [1], Βοιωτοῖς, Ἱπποδρομίου μηνὸς, ὡς δ' Ἀθηναῖοι καλοῦσιν, Ἑκατομβαιῶνος ἱσταμένου πέμπτῃ, δύο λαβεῖν συνέβη νίκας ἐπιφανεστάτας, αἷς τοὺς Ἕλληνας ἠλευθέρωσαν, τήν τε περὶ Λεῦκτρα, καὶ τὴν ἐπὶ Γεραιστῷ, ταύτης πρότερον ἔτεσι πλείοσιν, ἢ διακοσίοις [2], ὅτε Λατταμύαν καὶ Θεσσαλοὺς ἐνίκησαν. τοῦτο δ' αὖ πάλιν, Πέρσαι μηνὸς Βοηδρομιῶνος ἕκτῃ μὲν [3] Μαραθῶνι, τρίτῃ δ' ἐν Πλαταιαῖς, ἅμα καὶ περὶ Μυκάλην ἡττήθησαν ὑπὸ τῶν Ἑλλήνων, πέμπτῃ δὲ [4] φθίνοντος, ἐν Ἀρβήλοις· Ἀθηναῖοι [5] τὴν περὶ Νάξον ἐνίκων ναυμαχίαν, ἧς Χαβρίας ἐστρατήγει, τοῦ Βοηδρομιῶνος περὶ [6] τὴν πανσέληνον· ἐν δὲ Σαλαμῖνι περὶ τὰς εἰκάδας, ὡς ὑμῖν ἐν τῷ περὶ ἡμερῶν ἀποδέδεικται. ἐνήνοχε δὲ καὶ ὁ Θαργηλιὼν μὴν τοῖς βαρβάροις ἐπιδήλως [7] ἀτυχίας· καὶ γὰρ Ἀλέξανδρος ἐπὶ Γρανικῷ τοὺς βασιλέως στρατηγοὺς Θαργηλιῶνος [8] ἐνίκησε. καὶ Καρχηδόνιοι

1 Teste H. Steph. in quodam codice scriptum est τοῦτο μὲν τοίνυν.

2 Locus tam loco pugnæ designato, quam tempore suspectus. Quod locum attinet, corrigit Palmerius Κερησσῷ, ex Pausan. Boeot. — Et eum hæc clades Thessalorum pugnæ Thermopylensi non multum antecessisse ab ipso Plutarcho in lib. de Herod. malign. dicatur, quam inter & Leuctricam Epaminondæ victoriam anni CVIII. non plures intervenerunt; facile apparet, lectionem διακοσίοις falsam esse. Xyl. mavult vertitque ἑκατὸν, cujus fortassis nota ρ a librario in σ conversa falsæ lectioni occasionem præbuerit. Anon. dat ἑκατόν.

3 Revocavit hanc partic. R. e Junt. & Ald. a quibus abest ἐν, quod vulgatæ interponunt. Ed. Frst. utrumque simul sistit, μὲν ἐν Μαρ.

4 Anon. οἱ δὲ πέμπτῃ.

5 Anon. οἱ δὲ Ἀθην.

6 V. παρά.

7 Br. mavult ἐπιδήλους.

8 Br. videtur deesse diei numerus.

νιοι περὶ Σικελίαν ὑπὸ Τιμολέοντος ἡττῶντο τῇ ἑβδόμῃ φθίνοντος, περὶ ἣν δοκεῖ καὶ τὸ Ἴλιον ἁλῶναι [Θαργηλιῶνος,] ὡς Ἔφορος καὶ Καλλισθένης καὶ Δαμάστης καὶ Φύλαρχος ἱστορήκασιν. ἀνάπαλιν δ' ὁ Μεταγειτνιὼν, ὃν Βοιωτοὶ Πάνεμον καλοῦσιν, Ἕλλησιν οὐκ εὐμενὴς γέγονε. τούτου γὰρ τοῦ μηνὸς ἑβδόμῃ, καὶ τὴν ἐν Κρανῶνι μάχην ἡττηθέντες ὑπ' Ἀντιπάτρου τελέως ἀπώλοντο, καὶ πρότερον ἐν Χαιρωνείᾳ μαχόμενοι πρὸς Φίλιππον ἠτύχησαν. τῆς δ' αὐτῆς ἡμέρας ταύτης ἐν τῷ Μεταγειτνιῶνι κατὰ τὸν αὐτὸν ἐνιαυτὸν, οἱ μετ' Ἀρχιδάμου διαβάντες εἰς Ἰταλίαν, ὑπὸ τῶν ἐκεῖ βαρβάρων διεφθάρησαν. Καρχηδόνιοι δὲ τὴν ἐννάτην φθίνοντος, ὡς τὰ πλεῖστα καὶ μέγιστα τῶν ἀτυχημάτων [1] αὐτοῖς ἀεὶ φέρουσαν παραφυλάττουσιν. οὐκ ἀγνοῶ δ', ὅτι περὶ τὸν τῶν μυστηρίων καιρὸν αὖθις Θῆβαί τε κατεσκάφησαν ὑπ' Ἀλεξάνδρου, καὶ μετὰ ταῦτα φρουρὰν Ἀθηναῖοι Μακεδόνων ἐδέξαντο περὶ αὐτὴν τὴν εἰκάδα τοῦ Βοηδρομιῶνος, ᾗ τὸν μυστικὸν Ἴακχον ἐξάγουσιν. ὁμοίως δὲ Ῥωμαῖοι τῆς αὐτῆς ἡμέρας πρότερον μὲν ὑπὸ Κίμβρων τὸ [μετὰ [2]] Καιπίωνος ἀπέβαλον στρατόπεδον, ὕστερον δὲ Λευκούλλου στρατηγοῦντος, Ἀρμενίους καὶ Τιγράνην ἐνίκησαν. Ἄτταλος δ' ὁ βασιλεὺς καὶ Πομπήϊος Μάγνος ἐν τοῖς ἑαυτῶν γενεθλίοις ἀπέθανον. καὶ ὅλως ἐστὶ πολλοὺς ἐπ' ἀμφότερα ταῖς αὐταῖς χρησαμένους ἀποδεῖξαι περιόδοις. ἀλλὰ Ῥωμαίοις αὕτη μία τῶν ἀποφράδων ἐστὶ, καὶ δι' αὐτὴν ἑκάστου μηνὸς ἕτεραι δύο, τῆς πρὸς τὸ συμβὰν εὐλαβείας καὶ δεισιδαιμονίας ἐπὶ πλέον [3] ὥσπερ εἴωθε, ῥυείσης. ταῦτα μὲν οὖν ἐν τῷ περὶ αἰτιῶν Ῥωμαϊκῶν ἐπιμελέστερον διήρηται [4].



1 V. εὐτυχημάτων. Pro αὐτοῖς Junt. ἐν τοῖς.

2 Uncis inclusit R. quod a Junt. & Ald. abest, & salva sententia abesse potest. Καιπίωνος dedit Anon. — Vulg. falso Σκηπίωνος.

3 V. πλεῖον. Mox sequens οὖν omittit Junt. & Ald.

4 B. 3. διείρηται.

XX. Μετὰ δὲ τὴν μάχην ἐκείνην εἰ μὲν εὐθὺς ἐπηκολέθησαν οἱ Γαλάται τοῖς φεύγεσιν, ἐδὲν ἂν ἐκώλυσε τὴν Ῥώμην ἄρδην ἀναιρεθῆναι, καὶ πάντας ἀπολέσθαι τὲς ἐν αὐτῇ καταληφθέντας [1]. τοσῦτον οἱ φεύγοντες ἐνειργάζοντο δεῖμα τοῖς ὑποδεχομένοις, καὶ τοσαύτης πάλιν ἐνεπίμπλαντο ταραχῆς καὶ παραφροσύνης. νυνὶ δ' ἀπιςίᾳ τῦ μεγέθες οἱ βάρβαροι [2] τῆς νίκης, καὶ πρὸς εὐπάθειαν [3] ἐκ τῦ περιχαρῦς, ἅμα καὶ νεμήσεις τῶν ἑαλωκότων ἐν τῷ ςρατοπέδῳ χρημάτων τραπόμενοι, τῷ μὲν ἐκπίπτοντι τῆς πόλεως ὄχλῳ ῥᾳςώνην φυγῆς παρέσχον, ἐλπίσαι δ' ἔτι καὶ παρασκευάσασθαι τοῖς ὑπομένεσι. τὴν γὰρ ἄλλην πόλιν προέμενοι, τὸ Καπιτώλιον ἐφράξαντο βέλεσι [4] καὶ διατειχίσμασιν. ἐν πρώτοις δὲ τῶν ἱερῶν ἃ μὲν εἰς τὸ Καπιτώλιον ἀνεσκευάσαντο· τὸ δὲ πῦρ τῆς Ἑςίας αἱ παρθένοι μετὰ τῶν ἱερῶν ἁρπασάμεναι ἔφυγον [5]. καίτοι τινὲς ἐδὲν εἶναι τὸ φρερέμενον ὑπ' αὐτῶν ἕτερον, ἢ πῦρ ἄφθιτον [6] ἱςορῦσι, Νεμᾶ τῦ βασιλέως καταςήσαντος, ὡς ἀρχὴν ἁπάντων, σέβεσθαι. κινητικώτατον γὰρ ἐν τῇ φύσει τῦτο. κίνησις δέ τις, ἢ σὺν κινήσει πάντως, ἡ γένεσις. τὰ δ' ἄλλα τῆς ὕλης μόρια, θερμότητος ἐπιλειπέσης [7], ἀργὰ κείμενα καὶ νεκροῖς ἐοικότα, ποθεῖ τὴν τῦ πυρὸς δύναμιν, ὡς ψυχὴν, καὶ προσελθέσης [8] ἁμωσγέπως ἐπὶ τὸ δρᾶν τι καὶ πάσχειν τρέπεται.

1 Ita dedit R. de ſuo pro vulg. καταλειφθέντας.

2 Cum artic. dedit V. & B. 3. Vulg. ſine art. — Edit. Frſt. hanc ſiſtit lectionem: νυνὶ δ' ἀπιςίᾳ τῦ μεγέθες, βάρβαρον τῆς νίκης.

3 Antea legebatur ἀπάθειαν. H. Steph.

4 R. h. v. ſuſpectam habet, ſententia poſtulante χάραξι aut σκόλοψι, ſudibus, vallis.

5 deeſt h. v. B. 3.

6 R. mavult hanc vocem abeſſe.

7 B. 3. ἐπιλιπέσης.

8 ſc. αὐτῆς πρὸς τὴν ὕλην. R. ita dedit de ſuo. Vulg. προελθ.

ται. τȣτ᾽ ἓν, ἅτε δὴ περιττὸν ἄνδρα τὸν Νȣμᾶν καὶ λόγον ἔχοντα ταῖς Μȣσαις συνεῖναι διὰ σοφίαν, ἐξοσιῶσαι, καὶ Φρȣρεῖν [1] ἀκοίμητον ἐν εἰκόνι τῆς τὰ πάντα κοσμȣσης ἀϊδίȣ δυνάμεως. οἱ δὲ, τὸ μὲν πῦρ, ὥσπερ παρ᾽ Ἕλλησι, πρὸ ἱερῶν αἴθεσθαι [2] καθάρσιον, ἄλλα δὲ τὰ ἐντὸς [3] ἀθέατα κρύπτεσθαι πᾶσι, πλὴν ταύταις ταῖς παρθένοις, ἃς Ἑςιάδας ἐπονομάζȣσι, καὶ πλεῖςος μὲν λόγος κατεῖχε, τὸ Τρωϊκὸν ἐκεῖνο Παλλάδιον ἀποκεῖσθαι [4] δι᾽ Αἰνείȣ κομισθὲν εἰς Ἰταλίαν. εἰσὶ δ᾽ οἱ τὰ Σαμοθρᾴκια [5], μυθολογȣντες, Δάρδανον μὲν εἰς Τροίαν ἐξενεγκάμενον ὀργιάσαι καὶ καθιερῶσαι κτίσαντα τὴν πόλιν, Αἰνείαν δὲ περὶ τὴν ἅλωσιν ἐκκλέψαντα διασῶσαι μέχρι τῆς ἐν Ἰταλίᾳ κατοικήσεως. οἱ δὲ προσποιȣμενοι πλέον ἐπίςασθαί τι περὶ τȣτων, δύο φασὶν ȣ μεγάλȣς ἀποκεῖσθαι πίθȣς, ὧν [6] τὸν μὲν, ἀνεῳγότα καὶ κενὸν, τὸν δὲ, πλήρη καὶ κατασεσημασμένον· ἀμφοτέρȣς δὲ ταῖς παναγέσι μόναις παρθένοις ὁρατȣς εἶναι. ἄλλοι δὲ τȣτȣς διεψεῦσθαι νομίζȣσι, τῷ τὰ πλεῖςα τῶν ἱερῶν τότε τὰς κόρας ἐμβαλȣσας εἰς πίθȣς δύο κατὰ γῆς κρύψαι ὑπὸ τῷ νεῷ [7] τȣ Κυρίνȣ, καὶ τὸν τόπον ἐκεῖνον ἔτι καὶ νῦν τῶν πίθων [8] φέρεσθαι τὴν ἐπωνυμίαν.



1 R. susp. καὶ κελεῦσαι Φρȣρεῖν.

2 B. 3. ἵστασθαι. Junt. αἴθεσθαι.

3 R. susp. ἄλλα δὲ ἄττα ἐντὸς, alia autem nescio, quae intus haberi occulta.

4 Br. susp. ἐναποκεῖσθαι, ibi in Capitolio asservari. R. lect. vulgarem defendit ex usu Plutarchi.

5 R. subaudit ἱερὰ ἀποκεῖσθαι, at tum deesse dicit sive λέγȣσι, sive διϊσχυρίζονται, &, quod ego addo, pro artic. οἱ, quem edd. dant vulg. conjunctum cum μυθολογȣντες, non per comma a praecedentibus distincto partic. uti in edit. R. — sumendum erit pronomen οἳ.

6 R. mavult hanc voculam abesse.

7 Junt. Ald. τῶν νεῶν. V. B. 3. τὸν νεών.

8 V. πιθηκῶν.

XXI. Τὰ δὲ κυριώτατα καὶ μέγιστα τῶν ἱερῶν αὗται λαβοῦσαι φυγῇ παρὰ τὸν ποταμὸν ἐποιοῦντο τὴν ἀναχώρησιν. ἐνταῦθα Λεύκιος Ἀλβῖνος, ἀνὴρ δημοτικός, ἐν τοῖς φεύγουσιν ἔτυχε τέκνα νήπια καὶ γυναῖκα μετὰ χρημάτων ἀναγκαίων ἐφ' [1] ἁμάξης ὑπεκκομίζων. ὡς δ' εἶδε τὰς παρθένους ἐν τοῖς κόλποις φερούσας τὰ τῶν Θεῶν ἱερὰ, θεραπείας ἐρήμους πορευομένας [2] καὶ κακοπαθούσας, ταχὺ τὴν γυναῖκα μετὰ τῶν παίδων καὶ τῶν χρημάτων καθελὼν ἀπὸ τῆς ἁμάξης, ἐκείναις παρέδωκεν ἐπιβῆναι καὶ διαφυγεῖν εἴς τινα τῶν Ἑλληνίδων πόλεων. τὴν μὲν οὖν Ἀλβίνου πρὸς τὸ θεῖον εὐλάβειαν καὶ τιμὴν ἐν τοῖς ἐπισφαλεστάτοις καιροῖς ἐκφανῆ γενομένην, οὐκ ἄξιον ἦν ἀμνημόνευτον παρελθεῖν. οἱ δὲ τῶν ἄλλων Θεῶν ἱερεῖς, οἵ τε γηραιοὶ τῶν ὑπατικῶν καὶ θριαμβικῶν ἀνδρῶν, τὴν μὲν πόλιν ἐκλιπεῖν οὐχ ὑπέμειναν, ἱερὰς δὲ καὶ λαμπρὰς ἀναλαβόντες ἐσθῆτας, ἐξηγουμένου Φαβίου τοῦ ἀρχιερέως, ἐπευξάμενοι τοῖς Θεοῖς, ὡς ἑαυτοὺς ὑπὲρ τῆς πατρίδος τῷ δαίμονι καθιεροῦντες, ἐπὶ τῶν ἐλεφαντίνων δίφρων ἐν ἀγορᾷ ἐκάθηντο κεκοσμημένοι, τὴν ἐπιοῦσαν τύχην ὑπομένοντες.

XXII. Τρίτῃ δ' ἀπὸ τῆς μάχης ἡμέρᾳ παρῆν ὁ Βρέννος ἄγων ἐπὶ τὴν πόλιν τὸ στράτευμα· καὶ τάς τε πύλας εὑρὼν ἀνεῳγμένας, καὶ τὰ τείχη φυλάκων ἔρημα, πρῶτον μὲν ἔδεισεν ἐνέδραν καὶ δόλον, ἀπιστῶν οὕτω παντάπασιν ἀπειρηκέναι τοὺς Ῥωμαίους· ἐπεὶ δ' ἔγνω τἀληθὲς, εἰσελάσας διὰ τῆς Κολλίνης πύλης, εἷλε τὴν Ῥώμην, ἑξήκοντα καὶ τριακοσίων ἐτῶν πλείονα βραχὺν [3] χρόνον ἀπὸ τῆς κτίσεως ἔχουσαν, εἴ τῳ πιστὸν

1 V. ὑφ'.

2 Br. probat παραπορευομένας cum B. 3.

3 R. aut plane delendum censet βραχὺν, aut scribendum πρὸς βραχὺ vel παρὰ βραχὺ, tempus paulo productius, quam sunt anni 360.

ςὸν ἀποσώζεσθαί τινα τῶν χρόνων ἀκρίβειαν, οἷς καὶ περὶ νεωτέρων ἄλλων ἀμφισβήτησιν [1] ἡ σύγχυσις ἐκείνη παρέσχε. τοῦ μέντοι πάθους αὐτοῦ καὶ τῆς ἁλώσεως ἔοικεν ἀμυδρά τις εὐθὺς εἰς τὴν Ἑλλάδα φήμη διελθεῖν. Ἡρακλείδης γὰρ ὁ Ποντικὸς, οὐ πολὺ τῶν χρόνων ἐκείνων ἀπολειπόμενος, ἐν τῷ περὶ ψυχῆς συγγράμματι φησὶν ἀπὸ τῆς ἑσπέρας λόγον κατασχεῖν, ὡς ςρατὸς ἐξ Ὑπερβορέων ἐλθὼν ἔξωθεν, ᾑρήκει πόλιν Ἑλληνίδα Ῥώμην ἐκεῖ που κατῳκημένην περὶ τὴν μεγάλην θάλασσαν. οὐκ ἂν οὖν θαυμάσαιμι μυθώδη καὶ πλασματίαν ὄντα τὸν Ἡρακλείδην, ἀληθεῖ λόγῳ τῷ περὶ τῆς ἁλώσεως ἐπικομπάσαι τοὺς Ὑπερβορέους καὶ τὴν μεγάλην θάλατταν. Ἀριςοτέλης δ' ὁ φιλόσοφος τὸ μὲν ἁλῶναι τὴν πόλιν ὑπὸ Κελτῶν, ἀκριβῶς δῆλός ἐςιν ἀκηκοώς· τὸν δὲ σώσαντα, Λεύκιον εἶναι φησίν· ἦν δὲ Μάρκος, οὐ Λεύκιος ὁ Κάμιλλος. ἀλλὰ ταῦτα μὲν εἰκασμῷ λέλεκται. κατασχὼν δὲ τὴν Ῥώμην ὁ Βρέννος, τῷ μὲν Καπιτωλίῳ φρουρὰν περιέςησεν, αὐτὸς δὲ καταβαίνων δι' ἀγορᾶς, ἐθαύμαζε τοὺς προκαθημένους ἄνδρας ἐν κόσμῳ καὶ σιωπῇ, θεώμενος, ὡς οὔθ' ὑπεξανέςησαν ἐπιόντων πολεμίων, οὔτ' ὄψιν ἢ χρόαν ἔτρεψαν, ἀλλὰ ῥαθύμως καὶ ἀδεῶς ἐγκεκλιμένοι τοῖς σκίμποσιν [2], οὓς ἔφερον, καὶ προσβλέποντες ἀλλήλοις ἡσύχαζον. ἦν οὖν θαῦμα τοῖς Γαλάταις πρὸς τὴν ἀτοπίαν, καὶ πολὺν χρόνον ὀκνοῦντες ἅψασθαι καὶ προσελθεῖν ὡς κρείττοσι, διηπόρουν· ἐπεὶ δὲ τολμήσας τις ἐξ αὐτῶν ἐγγὺς παρέςη Παπειρίῳ Μανίῳ, καὶ προσαγαγὼν τὴν χεῖρα πράως ἥψατο τοῦ γενείου, καὶ κατῆγε τὴν ὑπήνην βαθεῖαν οὖσαν· ὁ μὲν Παπείριος τῇ βακτηρίᾳ τὴν κεφαλὴν αὐτοῦ πατάξας συνέτριψεν, ὁ δὲ βάρβαρος σπασάμενος τὴν μάχαιραν ἀπέκτεινεν ἐκεῖνον. ἐκ

1 B. 3. ἀμφισβήτησιν. Hinc Br. susp. ἀμφισβητήσειν.
2 V. σκιπίωσιν vel σκίπωσιν.

ἐκ δὲ τέτε καὶ τὲς λοιπὲς ἀνῄρεν προσπεσόντες, καὶ τῶν ἄλλων, ὅσοις [1] ἐπιτύχοιεν, διεχρῶντο· καὶ τὰς οἰκίας ἐπόρθεν, ἐφ' ἡμέρας πολλὰς ἄγοντες καὶ φέροντες. εἶτα κατεπίμπρασαν καὶ κατέσκαπ]ον, ὀργιζόμενοι τοῖς ἔχεσι τὸ Καπιτώλιον, ὅτι καλέντων αὐτῶν ἐχ ὑπήκεον, ἀλλὰ καὶ προσβάλλεσι πληγὰς ἔδοσαν, ἀπὸ τῆ διατειχίσματος ἀμυνόμενοι. διὰ ταῦτα μὲν ἦν ἐλυμήναντο τὴν πόλιν καὶ προσδιέφθειρον τὲς ἁλισκομένες, ὁμοίως μὲν ἄνδρας καὶ γυναῖκας, ὁμοίως δὲ καὶ πρεσβύτας καὶ παῖδας.

XXIII. Τῆς δὲ πολιορκίας μῆκος λαμβανέσης, ἐπισιτισμῆ τοῖς Γαλάταις ἔδει· καὶ διελόντες ἑαυτὲς, οἱ μὲν τῷ βασιλεῖ παραμένοντες ἐφρέρεν τὸ Καπιτώλιον, οἱ δὲ τὴν χώραν περιϊόντες ἐλεηλάτεν, καὶ τὰς κώμας ἐπόρθεν προσπίπ]οντες, ἐχ ὁμῆ πάντες, ἄλλοι δ' ἄλλῃ καθ' ἡγεμονίας καὶ συντάγματα, τῷ μέγα φρονεῖν ὑπὸ τῶν εὐτυχημάτων, καὶ δεδιέναι μηδὲν, ἀποσκιδνάμενοι. τὸ δὲ πλεῖςον αὐτῶν καὶ μάλιςα συντεταγμένον ἐχώρει πρὸς τὴν Ἀρδεατῶν πόλιν, ἐν ᾗ διέτριβε Κάμιλλος, ἀργῶν ταῖς πράξεσι μετὰ τὴν φυγὴν καὶ ἰδιωτεύων· ἐλπίδας δὲ λαμβάνων καὶ διαλογισμὲς, ἐχὶ τῷ λαθεῖν [2] καὶ διαφυγεῖν τὲς πολεμίες ἀγαπῶντος ἀνδρὸς, ἀλλ' ὅπως, εἰ παραγένοιτο καιρὸς, ἀμυνεῖται σκοπῆντος. διὸ καὶ τὲς Ἀρδεάτας ὁρῶν πλήθει μὲν ἱκανὲς ὄντας, ἐνδεεῖς δὲ τόλμης, δι' ἀπειρίαν [3] καὶ μαλακίαν τῶν ςρατηγῶν, ἐνέβαλε λόγον εἰς τὲς νέες πρῶτον, ὡς ἐ χρὴ τὴν Ῥωμαίων ἀτυχίαν, ἀνδρίαν Κελτῶν νομίζειν [4]. ἐδ' ἃ κακῶς φρονήσασι συνέβη πα-

1 B. 3. Junt. Ald. ὅσες.

2 Ita cum artic. τῷ dedit R. pro vulg. τὸ λαθεῖν, cum ἀγαπᾷν cum dat. construatur, contentum esse aliqua re, in ea acquiescere. H. Steph. maluit τῆ λαθεῖν, deleto postea τῆ ante ἀνδρὸς, quod pariter expunxit R.

3 B. 3. ἀπορίαν.

4 Teste H. Steph. etiam legitur ὀνομάζειν.

παθεῖν ἐκείνοις, ἔργα τῶν ὀυδὲν εἰς τὸ νικῆσαι παρασχόντων, ἀλλὰ τύχης ἐπίδειξιν ἡγεῖσθαι. καλὸν μὲν ὖν εἶναι καὶ διὰ κινδύνων ἀπώσασθαι πόλεμον [1] ἀλλόφυλον καὶ βαρβαρικὸν, ᾧ τῦ κρατεῖν πέρας, ὥσπερ τῷ πυρὶ, διαφθαρῆναι τὸ νικώμενον· ὐ μὴν ἀλλὰ καὶ θαῤῥῦσι καὶ προθυμυμένοις αὐτοῖς ἀκίνδυνον ἐν καιρῷ τὴν νίκην παρέξειν. Τύτυς τὺς λόγυς τῶν νέων δεξαμένων, ἐπὶ τὺς ἄρχοντας ᾔει καὶ τὺς προβύλυς τῶν Ἀρδεατῶν ὁ Κάμιλλος. ὡς δὲ κἀκείνυς συνέπεισεν, ὥπλισε τὺς ἐν ἡλικίᾳ πάντας, καὶ συνεῖχε τῦ τείχυς ἐντὸς, ἀγνοεῖσθαι βυλόμενος ὑπὸ τῶν πολεμίων ἐγγὺς ὄντων. ἐπεὶ δὲ τὴν χώραν ἱππασάμενοι [2], καὶ βαρεῖς ὄντες ὑπὸ πλήθυς τῶν ἀγομένων καὶ φερομένων, ἀμελῶς καὶ ὀλιγώρως ἐν τῷ πεδίῳ κατεστρατοπέδευσαν· ἐκ δὲ τύτυ νὺξ ἐπῆλθε μεθύυσιν αὐτοῖς, καὶ σιωπὴ κατέσχε τὸ στρατόπεδον· πυθόμενος ταῦτα παρὰ τῶν κατασκόπων ὁ Κάμιλλος, ἐξῆγε τὺς Ἀρδεάτας· καὶ διελθὼν καθ' ἡσυχίαν τὸν μεταξὺ τόπον, περὶ μέσας τὰς νύκτας προσέμιξε τῷ χάρακι, κραυγῇ τε χρώμενος πολλῇ, καὶ ταῖς σάλπιγξι πανταχόθεν ἐκταράττων ἀνθρώπυς κακῶς ὑπὸ μέθης [3], καὶ μόλις ἐκ τῶν ὕπνων ἀναφέροντας πρὸς τὸν θόρυβον. ὀλίγοι μὲν ὖν ἀνανήψαντες ἐν τῷ φόβῳ καὶ διασκευασάμενοι, τὺς περὶ τὸν Κάμιλλον ὑπέστησαν, ὡς ἀμυνόμενοι πεσεῖν· τὺς δὲ πλείστυς ἔτι κρατυμένυς ὕπνῳ καὶ οἴνῳ καταλαμβάνοντες [4] ἀνόπλυς ἔκτεινον. ὅσοι δὲ νυκτὸς ἀπέδρασαν ἐκ τῦ χάρακος ὐ πολλοὶ,

1 Br. mavult πολέμιον.

2 Xyl. hanc vocem non probat; ſuſpicatur ſcriptum fuiſſe πᾶσαν λῃϊσάμενοι, aut aliquid ſimile. Br. non opus eſſe mutatione cenſet, cum prædæ proximis verbis fiat mentio. R. mavult καθιππασάμενοι, agros cum perſultaſſent in equis.

3 R. aut pone κακῶς, aut pone μέθης deeſſe ἔχοντας cenſet.

4 R. mavult cum artic. οἱ καταλ.

πολλοὶ, τούτους μεθ' ἡμέραν σποράδας ἐν τῇ χώρᾳ διαφερομένους ἐπελαύνοντες [1] οἱ ἱππεῖς διέφθειρον.

XXIV. Ἡ δὲ Φήμη ταχὺ διαγγέλλουσα τὴν πρᾶξιν ἐπὶ τὰς πόλεις, ἐξεκαλεῖτο πολλοὺς τῶν ἐν ἡλικίᾳ συνισαμένους [2]. μάλιστα δὲ Ῥωμαίων ὅσοι διαφυγόντες ἐκ [3] τῆς ἐπ' Ἀλίᾳ μάχης, ἐν Βηΐοις ἦσαν, καὶ ὠδύροντο κατὰ σφᾶς αὐτοὺς, οἷον ἡγεμόνα τῆς Ῥώμης ὁ δαίμων ἀφελόμενος Ἀρδεάτας ἐκόσμησε τοῖς Καμίλλου κατορθώμασιν, ἡ δὲ γειναμένη καὶ θρεψαμένη τοιοῦτον ἄνδρα πόλις οἴχεται καὶ ἀπόλωλεν. Ἡμεῖς δ' ἀπορίᾳ στρατηγοῦ, ἀλλότρια τείχη περιβαλόμενοι [4], καθήμεθα προέμενοι τὴν Ἰταλίαν. Φέρε, πέμψαντες Ἀρδεάτας ἀπαιτῶμεν τὸν ἑαυτῶν στρατηγὸν, ἢ λαβόντες τὰ ὅπλα αὐτοὶ πρὸς ἐκεῖνον βαδίζωμεν. οὐκέτι γάρ ἐστι φυγὰς, οὐθ' ἡμεῖς πολῖται, πατρίδος οὐκ οὔσης, ἀλλὰ κρατουμένης ὑπὸ τῶν πολεμίων. Ταῦτ' ἔδοξε, καὶ πέμψαντες ἐδέοντο τοῦ Καμίλλου δέχεσθαι τὴν ἀρχήν. ὁ δ' οὐκ ἔφη πρότερον, ἢ τοὺς ἐν τῷ Καπιτωλίῳ πολίτας ἐπιψηφίσασθαι κατὰ τὸν νόμον. ἐκείνους γὰρ ἡγεῖσθαι πατρίδα σωζομένους· καὶ κελεύουσι μὲν ὑπακούειν προθύμως, ἀκόντων δὲ, μηδὲν πολυπραγμονήσειν. τῆς μὲν οὖν εὐλαβείας καὶ καλοκἀγαθίας τὸν Κάμιλλον ἐθαύμασαν. ἦν δ' ἀπορία τοῦ ταῦτα διαγγελοῦντος εἰς τὸ Καπιτώλιον. μᾶλλον δ' ὅλως ἀδύνατον ἐδόκει, τῶν πολεμίων ἐχόντων τὴν πόλιν, ἄγγελον εἰς τὴν ἀκρόπολιν παρελθεῖν.

XXV. Ἦν δέ τις ἐν τοῖς νέοις Πόντιος Κομίνιος, τῶν μέσων κατὰ γένος πολιτῶν, δόξης δὲ καὶ τιμῆς ἐραστής· οὗτος ὑπέστη τὸν ἆθλον ἑκουσίως, καὶ γράμματα

1 B. 3. ἀπελαύνοντες.
2 R. mavult συνίςασθαι.
3 B. 3. ἐπί.
4 Ita R. dedit de ſuo in aor. 2. pro vulg. in præſ.

ματα μὲν ἐκ ἔλαβε πρὸς τὲς ἐν τῷ Καπιτωλίῳ, μὴ ληφθέντος αὐτᾶ, φωράσωσιν οἱ πολέμιοι δι᾽ αὐτῶν τᾶ Καμίλλε τὴν διάνοιαν· ἐσθῆτα δὲ φαύλην ἔχων, καὶ φελλὲς ὑπ᾽ αὐτῇ κομίζων, τὴν μὲν ἄλλην ὁδὸν ἡμέρας ἀδεῶς διῆλθεν. ἐγγὺς δὲ [1] τῆς πόλεως γενόμενος ἤδη σκοταῖος, ἐπεὶ κατὰ γέφυραν ἐκ ἦν τὸν ποταμὸν περάσαι, τῶν Βαρβάρων παραφυλαττόντων, τὴν μὲν ἐσθῆτα τῇ κεφαλῇ περισπειράσας, ἐ πολλὴν ἔσαν, ἐδὲ βαρεῖαν, τοῖς δὲ φελλοῖς ἐφεὶς [2] τὸ σῶμα καὶ συνεπικεφίζων τῷ περαιεσθαι [3] πρὸς τὴν πόλιν, ἐξέβη. καὶ παραλλάττων ἀεὶ τὲς ἐγρηγορότας, αὐτοῖς [4] τοῖς φέγγεσι καὶ τῷ θορύβῳ τεκμαιρόμενος, ἐβάδιζε πρὸς τὴν Καρμεντίδα πύλην, ᾗ πλείςην εἶχεν ἡσυχίαν, καὶ μάλιςα κατ᾽ αὐτὴν ὄρθιος ὁ τᾶ Καπιτωλίε λόφος ἀνέςηκε, καὶ πέτρα κύκλῳ πολλὴ καὶ τραχεῖα περιπέφυκε. δι᾽ ἧς ἀνέβη λαθὼν, καὶ προσέμιξε τοῖς φυλάττεσι τὸ διατείχισμα χαλεπῶς καὶ μόλις κατὰ τὸ λαγαρώτατον. ἀσπασάμενος δὲ τὲς ἄνδρας, καὶ φράσας ἑαυτὸν ἐξ ὀνόματος, ἀναληφθεὶς ἐχώρει πρὸς τὲς ἐν τέλει τῶν Ῥωμαίων· ταχὺ δὲ συγκλήτε γενομένης, παρελθὼν τήν τε νίκην ἀπήγγειλε τᾶ Καμίλλε, πρότερον ἐ πυθομένοις, καὶ τὰ δοκᾶντα τοῖς ςρατιώταις διηγεῖτο. καὶ παρεκάλει τῷ Καμίλλῳ βεβαιῶσαι τὴν ἀρχὴν, ὡς μόνῳ πειθομένων ἐκείνῳ τῶν ἔξω πολιτῶν. οἱ δ᾽ ἀκέσαντες καὶ βελευσάμενοι, τόν τε Κάμιλλον ἀποδεικνύεσι δικτάτωρα, καὶ τὸν Πόντιον αὖθις ἀποπέμπεσι τὴν αὐτὴν

1 deest hæc partic. Juntinæ.

2 Junt. ἀφείς.

3 Br. mavult ἐν τῷ περαιᾶσθαι, inter tranandum. R. sententiam textus ita explicat: „præter illam corporis sublevationem, quam suderibus debebat, etiam hac sublevans corpus suum cogitatione, quod ad Urbem tenderet flumen trajicere."

4 Ita dedit R. de suo, leniter emendata lectione Juntinæ, quæ αὐτὰς dat, omissum ab Aldina, reliquisque insecutis.

τὴν ὁδὸν, ὁμοίως ἀγαθῇ τύχῃ χρησάμενον. ἔλαθε γὰρ τὰς πολεμίους, καὶ τὰ παρὰ τῆς βουλῆς ἀπήγγειλε τοῖς ἔξω Ῥωμαίοις.

XXVI. Ἐκείνων δὲ δεξαμένων προθύμως, ἀφικόμενος ὁ Κάμιλλος, ἤδη μὲν ἐν ὅπλοις δισμυρίους κατέλαβε, πλείονας δὲ συνῆγεν ἀπὸ τῶν συμμάχων, καὶ παρεσκευάζετο πρὸς τὴν ἐπίθεσιν. οὕτω μὲν ἡρέθη δικτάτωρ ὁ Κάμιλλος τὸ δεύτερον, καὶ πορευθεὶς εἰς Οὐηΐους, ἐνέτυχε τοῖς στρατιώταις, καὶ συνῆγε πλείους ἀπὸ τῶν συμμάχων, ὡς ἐπιθησόμενος τοῖς πολεμίοις [1]. ἐν δὲ τῇ Ῥώμῃ τῶν βαρβάρων τινὲς ἐκείνῃ κατὰ τύχην παρεξιόντες, ᾗ διὰ νυκτὸς ὁ Πόντιος προσέβη τῷ Καπιτωλίῳ, καταμαθόντες πολλαχῇ μὲν ἴχνη καὶ ποδῶν καὶ χειρῶν, ὡς [2] ἀντελαμβάνετο καὶ περιεδράττετο, πολλαχῇ δὲ τῶν ἐπιπεφυκότων τοῖς κρημνοῖς ἀποτριβὰς καὶ περιολισθήσεις τῶν γεωδῶν, φράζουσι τῷ βασιλεῖ. κἀκεῖνος ἐπελθὼν καὶ θεασάμενος, τότε μὲν ἡσύχαζεν, ἑσπέρας δὲ τοὺς ἐλαφροτάτους τοῖς σώμασι, καὶ πεφυκότας ὀρειβατεῖν μάλιστα τῶν Κελτῶν συναγαγών· Τὴν μὲν ὁδὸν, εἶπεν, ἡμῖν ἐπ' αὐτοὺς ἀγνοουμένην οἱ πολέμιοι δεικνύουσιν, ὡς οὔτ' ἀπόρευτος, οὔτ' ἄβατος ἀνθρώποις ἐστίν. αἰσχύνη δὲ πολλὴ, τὴν ἀρχὴν ἔχοντας, ἐλλιπεῖν πρὸς τὸ τέλος, καὶ προέσθαι τὸν τόπον ὡς ἀνάλωτον, αὐτῶν τῶν πολεμίων, ᾗ ληπτός ἐστι, διδασκόντων. ᾗ γὰρ ἑνὶ προσβῆναι ῥᾴδιον, οὐδὲ πολλοῖς καθ' ἕνα δύσκολον, ἀλλὰ καὶ ῥώμη καὶ βοήθεια πολλὴ μετ' ἀλλήλων ἐπιχειροῦσι. δωρεαὶ δὲ καὶ τιμαὶ πρέπουσαι τῆς ἀνδραγαθίας ἑκάστῳ δοθήσονται.

XXVII.

1 Tautologia hujus periodi, cum præced. collatæ, facile apparet. Hinc non mirum, quod R. eam delendam censuerit. Si eam retineas, post οὕτω μὲν inseri vult οὖν.

2 R. susp. ὡς ἄν εἴ τις, ut si quis apprehendisset quid, quo suspensus se teneret, sursumve libraret.

XXVII. Τοιαῦτα τοῦ βασιλέως διαλεχθέντος, ὑπέστησαν οἱ Γαλάται προθύμως, καὶ περὶ μέσας νύκτας ἐπιβάντες ἅμα πολλοὶ τῆς πέτρας ἐχώρουν ἄνω μετὰ σιωπῆς συμφυόμενοι τοῖς χωρίοις ἀποτόμοις οὖσι καὶ χαλεποῖς, οὐ μὴν ἀλλὰ καὶ μᾶλλον, ἢ προσεδοκήθη, πειρωμένων αὐτῶν, προσιεμένοις καὶ παρείκουσιν· ὥστε τοὺς πρώτους ἀψαμένους τῶν ἄκρων καὶ διασκευασαμένους, ὅσον οὐκ ἤδη τοῦ προτειχίσματος ἅπτεσθαι, καὶ τοῖς φύλαξιν ἐπιχειρεῖν κοιμωμένοις· ᾔσθετο γὰρ οὔτ᾽ ἄνθρωπος, οὔτε κύων. ἀλλὰ χῆνες ἦσαν ἱεροὶ, οἳ [1] περὶ τὸν νεὼν τῆς Ἥρας τρεφόμενοι τὸν ἄλλον χρόνον ἀφθόνως, τότε δὲ, τῶν σιτίων ἤδη γλίσχρως καὶ μόλις αὐτοῖς διαρκούντων, ἀμελούμενοι, κακῶς ἔπραττον. ἔστι μὲν δὴ καὶ φύσει πρὸς αἴσθησιν ὀξὺ καὶ ψοφοδεὲς [2] τὸ ζῶον. ἐκεῖνοι δὲ καὶ διὰ λιμὸν ἀγρυπνητικοὶ καὶ θορυβάδεις γεγονότες, ταχὺ τὴν εἴσοδον ᾔσθοντο τῶν Γαλατῶν, καὶ μετὰ δρόμου καὶ κλαγγῆς φερόμενοι πρὸς αὐτοὺς, ἀνήγειραν ἅπαντας, ἤδη καὶ τῶν βαρβάρων διὰ τὸ μὴ λανθάνειν ἀφειδούντων θορύβου, καὶ βιαιότερον ἐπιτιθεμένων. ἁρπάσαντες οὖν ὑπὸ σπουδῆς, ᾧ τις ἕκαστος ὅπλῳ προσετύγχανεν, ἐκ τοῦ παρόντος ἐβοήθουν. πάντων δὲ πρῶτος Μάλλιος, ἀνὴρ ὑπατικὸς, τό τε σῶμα ῥωμαλέος, καὶ φρονήματι ψυχῆς ἐπιφανὴς, ἀπαντήσας δυσὶν ὁμοῦ τῶν πολεμίων, τοῦ μὲν ἔφθασε διῃρμένου κοπίδα τῷ ξίφει τὴν δεξιὰν ἀποκόψας, τὸν δὲ τῷ θυρεῷ πατάξας εἰς τὸ πρόσωπον, ὦσεν ὀπίσω κατὰ τῆς πέτρας. ἐπιστὰς δὲ τῷ τείχει μετὰ τῶν συνδραμόντων, καὶ γενομένων περὶ αὐτὸν, ἀπέστρεψε τοὺς ἄλλους, οὔτε πολλοὺς ἄνω γενομένους, οὔτε πράξαντάς τι τῆς [3] τόλμης ἄξιον. οὕτω δὲ τὸν κίνδυνον

1 R. de suo addidit; quia sine eo constructio labet.
2 V. ψοφοειδές.
3 deest τῆς B. 3. Junt. Ald.

δυνον διεκφυγόντες, ἅμ' ἡμέρα τὸν μὲν ἄρχοντα τῶν φυλάκων ἔῤῥιψαν εἰς τοὺς πολεμίους κατὰ τῆς πέτρας, τῷ δὲ Μαλλίῳ τῆς νίκης ἀριστεῖα πρὸς τιμὴν μεγάλα [1] μᾶλλον, ἢ χρείαν, ψηφισάμενοι, συνεισήνεγκαν, ὅσον ἡμέρας ἕκαστος ἐλάμβανεν εἰς τροφὴν, σίτου μὲν ἡμίλιτρον ἐπιχωρίου, οὕτω γὰρ καλοῦσιν αὐτὸ [2], οἴνου δὲ κοτύλης Ἑλληνικῆς τέταρτον.

XXVIII. Ἐκ τούτου τὰ τῶν Κελτῶν ἦν ἀθυμότερα. καὶ γὰρ ἐπιτηδείων ἐσπάνιζον, εἰργόμενοι προνομῆς, φόβῳ τοῦ Καμίλλου· καὶ νόσος ὑποικούρησεν αὐτοὺς, ἐν [3] νεκρῶν πλήθει καὶ χύδην καταβεβλημένων, σκηνοῦντας ἐν ἐρειπίοις. τό τε βάθος τῆς τέφρας, ἀέρα ξηρότητι καὶ δριμύτητι φαῦλον ὑπὸ πνευμάτων [4] καὶ καυμάτων ἀναθυμιώσης, ἐλυμαίνετο τὰ σώματα διὰ τῆς ἀναπνοῆς. μάλιστα δ' ἡ μεταβολὴ τῆς συντρόφου διαίτης, ἐκ τόπων [5] σκιερῶν καὶ θέρους καταφυγὰς ἀλύπους ἐχόντων ἐμβαλόντας εἰς χώραν ταπεινὴν, καὶ κεκραμένην ἀφυῶς πρὸς μετόπωρον [6], ἐκίνησεν αὐτούς. ἥ τε πρὸς τῷ Καπιτωλίῳ καθέδρα καὶ σχολὴ γενομένη χρόνιος. ἕβδομον γὰρ ἐκεῖνον οἰκούρουν [7] μῆνα πολιορκοῦντες. ὥστε φθορὰν εἶναι

1 Ita dedit R. de suo, pro vulg. μεγάλην.

2 B. 3. Junt. Ald. αὐτόν.

3 Br. hanc præpos. vel delendam censuit cum Flor. & Ald. vel cum ἐκ mutandam. R. e contrario eandem in utraque editione reperit, & servari vult, locum ita distinguens & emendans ἐν νεκρῶν πλήθει, καὶ οἰκιῶν χύδην καταβεβλημένων, σκηνοῦντας, in catervis mortuorum habitantes, atque domiciliorum fusim stratorum. ὧν ἐν ἐρειπίοις τὸ μὲν βάθος τῆς τέφρας — quorum in ruderibus corpora partim profundi acervi cinerum absumserunt — partim, sed inprimis, haud assuetum vitæ genus —

4 R. legendum censet ὑπὸ πτωμάτων, a cadaveribus.

5 V. τρόπων.

6 R. omisit articulum, quem Vulg. dant, auctoritate Junt. & Ald.

7 R. mavult compos. ἐνοικούρουν.

εἶναι πολλὴν ἐν τῷ στρατοπέδῳ, καὶ μηδὲ θάπτεσθαι διὰ πλῆθος ἔτι τοὺς ἀποθνήσκοντας. οὐ μὴν παρὰ τοῦτο βελτίω τὰ πράγματα τοῖς πολιορκουμένοις ἦν. ἐπέτεινε γὰρ ὁ λιμὸς, ἥ τε τῶν περὶ Κάμιλλον ἄγνοια παρεῖχε δυσθυμίαν· οὐδεὶς γὰρ ἐφοίτα παρ' αὐτῶν, διὰ τὸ φρουρεῖσθαι τὴν πόλιν ἀκριβῶς ὑπὸ τῶν βαρβάρων. ὅθεν οὕτω πράττουσιν ἀμφοτέροις ἐγίνοντο συμβατικοὶ λόγοι διὰ τῶν προφυλάκων τὸ πρῶτον ἀλλήλοις ἐντυγχανόντων· εἶτα, ὡς ἔδοξε τοῖς κρατίστοις, συνελθόντος εἰς λόγους Βρέννῳ Σουλπικίου τοῦ χιλιάρχου τῶν Ῥωμαίων, ὡμολογήθη, τοὺς μὲν χιλίας λίτρας καταβαλεῖν χρυσοῦ, τοὺς δὲ λαβόντας ἐκ τῆς πόλεως αὐτίκα καὶ τῆς χώρας ἀναχωρεῖν. ἐπὶ τούτοις γενομένων ὅρκων, καὶ τοῦ χρυσίου κομισθέντος, τῶν δὲ Κελτῶν περὶ τὸν σταθμὸν ἀγνωμονούντων κρύφα τὸ πρῶτον, εἶτα καὶ φανερῶς ἀφελκόντων [1] καὶ διαστρεφόντων τὴν ῥοπὴν, ἠγανάκτουν οἱ Ῥωμαῖοι πρὸς αὐτούς. ὁ δὲ Βρέννος, οἷον ἐφυβρίζων καὶ καταγελῶν, ἀπολυσάμενος τὴν μάχαιραν ἅμα καὶ τὸν ζωστῆρα, προσέθηκε τοῖς σταθμοῖς. πυνθανομένου δὲ τοῦ Σουλπικίου, τί τοῦτο [2]; Τί γὰρ ἄλλο, εἶπεν, ἢ τοῖς [3] νενικημένοις ὀδύνη; καὶ τοῦτο μὲν οὖν ἤδη [4] παροιμιώδης λόγος γέγονε. τῶν δὲ Ῥωμαίων οἱ μὲν ἠγανάκτουν, καὶ τὸ χρυσίον ᾤοντο δεῖν λαβόντας αὖθις ἀπιέναι, καὶ τὴν πολιορκίαν ὑπομένειν· οἱ δὲ συγχωρεῖν ἐκέλευον ἀδικουμένους μέτρια, καὶ μὴ τῷ πλέον διδόναι προσλογίζεσθαι τὸ αἰσχρὸν, αὐτό γε τὸ δοῦναι διὰ τὸν καιρὸν οὐ καλῶς, ἀλλ' ἀναγκαίως ὑπομένοντας.

XXIX. Οὔσης δὲ περὶ τούτων πρός τε τοὺς [5] Κελτοὺς καὶ πρὸς αὐτοὺς διαφορᾶς, ἄγων τὸν στρατὸν ὁ Κάμιλλος



1 R. mavult aut ἀνθελκόντων, aut καθελκόντων.

2 H. Steph. Τί; τοῦτο.

3 Hanc lect. e Junt. & Ald. restituit R. pro vulg. ἤδη τοῖς ν. Eandem exhibet Ed. Frft.

4 R. susp. μὲν νῦν ἤδη, ab illo statim tempore inde.

5 deest B. 3.

μιλλος ἐν ταῖς πύλαις ἦν· καὶ πυθόμενος τὰ γινόμενα, τὰς ἄλλας ἐκέλευσεν ἐν τάξει καὶ σχέδην ἐπακολουθεῖν· αὐτὸς δὲ μετὰ τῶν ἀρίστων ἐπειγόμενος, εὐθὺς ἐπορεύετο πρὸς τὰς Ῥωμαίους. διαστάντων δὲ πάντων καὶ δεξαμένων αὐτὸν ὡς αὐτοκράτορα κόσμῳ καὶ σιωπῇ, τὸν μὲν χρυσὸν ἄρας ἀπὸ τᾶ ζυγᾶ [1] τοῖς ὑπηρέταις ἔδωκε, τὸν δὲ ζυγὸν καὶ τὰ σαθμὰ τὰς Κελτὰς λαβόντας ἀποχωρεῖν ἐκέλευσεν, εἰπών, ὡς σιδήρῳ πάτριόν ἐστι Ῥωμαίοις, ὰ χρυσῷ τὴν πατρίδα σώζειν. ἀγανακτᾶντος δὲ τᾶ Βρέννα, καὶ φάσκοντος ἀδικεῖσθαι λυομένης τῆς ὁμολογίας, ἀντεῖπε, μὴ νομίμως γεγονέναι, μηδὲ κυρίας εἶναι τὰς συνθήκας· ἤδη γὰρ αὐτᾶ δικτάτωρος ᾑρημένα, καὶ μηδενὸς ἄρχοντος ἑτέρα νόμῳ [2], πρὸς ὰκ ἔχοντας ἐξασίαν, ὁμολογηθῆναι. νυνὶ δὲ χρῆναι λέγειν, ὅ τι βάλονται· νόμῳ γὰρ ἥκειν κύριος γεγονὼς συγγνώμην τε δεομένοις δᾶναι, καὶ δίκην, εἰ μὴ μετανοᾶσιν, ἐπιθεῖναι τοῖς αἰτίοις. πρὸς ταῦτα θορυβηθεὶς ὁ Βρέννος, ἥψατο μὲν ἀψιμαχίας [3], καὶ παρῆλθον ἄχρι ξιφαλκίας ἑκάτεροι καὶ διωθισμῶν, ἀναμεμιγμένοι πρὸς ἀλλήλας, ὥσπερ εἰκὸς, ἐν οἰκίαις καὶ σενωποῖς ἀνασρεφόμενοι, καὶ χωρίοις δέξασθαι παράταξιν ὰ δυναμένοις. ταχὺ δὲ συμφρονήσας ὁ Βρέννος, ἀπήγαγε τὰς Κελτὰς εἰς τὸ σρατόπεδον, ὰ πολλῶν πεσόντων. καὶ νυκτὸς ἀνασήσας ἅπαντας ἐξέλιπε τὴν πόλιν, καὶ προελθὼν ἑξήκοντα σαδίας, κατεσρατοπέδευσε

παρὰ

1 V. τὸ μὲν ζυγὸν ἄρας ὑπὸ τᾶ χρυσᾶ.

2 Br. hæc vox redundare viſa eſt. R. licet poſſit ſervanda videri, ferens interpretationem, quamvis coactam, ita legendum & diſtinguendum cenſet, μηδενὸς ἄρχοντος ἑτέρα, ἀνόμως πρὸς — cum nemo alius imperio gaudeat præter ſe, pacta illa Gallis eſſe inita præter jus & fas cum illis, qui paciſcendi jure & poteſtate carerent.

3 Non placet R. ἥψατο ἀψιμ. — Quærit, num leg. ἤρξατο.

παρὰ τὴν Γαβινίαν ὁδόν. ἅμα δ᾽ ἡμέρᾳ παρῆν ὁ Κάμιλλος, ἐπ᾽ αὐτὸν ὡπλισμένος λαμπρῶς, καὶ τεθαῤῥηκότας [1] ἔχων τότε τοὺς Ῥωμαίους· καὶ γενομένης ἰσχυρᾶς μάχης ἐπὶ πολὺν χρόνον, αὐτούς τε τρέπεται πολλῷ φόνῳ, καὶ λαμβάνει τὸ στρατόπεδον. τῶν δὲ φευγόντων οἱ μὲν εὐθὺς ἀνῃρέθησαν καταδιωχθέντες, τοὺς δὲ πλείστους διασπαρέντας ἐπεκθέοντες [2] ἐκ τῶν πέριξ κωμῶν καὶ πόλεων ἔκτεινον.

XXX. Οὕτως μὲν ἡ Ῥώμη παραλόγως ἥλω, καὶ παραλογώτερον ἐσώθη, μῆνας ἑπτὰ τοὺς πάντας ὑπὸ τοῖς βαρβάροις γενομένη. παρελθόντες γὰρ εἰς αὐτὴν ὀλίγαις ἡμέραις ὕστερον τῶν Κυιντιλίων εἰδῶν, περὶ τὰς Φεβρουαρίας εἰδοὺς ἐξέπεσον. ὁ δὲ Κάμιλλος ἐθριάμβευσε μὲν, ὡς εἰκὸς ἦν, τὸν ἀπολωλυίας σωτῆρα πατρίδος γενόμενον, καὶ καταγαγόντα τὴν πόλιν αὐτὴν εἰς ἑαυτήν. οἵ τε γὰρ ἔξωθεν ἅμα παισὶ καὶ γυναιξὶν εἰσελαύνοντος κατῄεσαν [3], οἵ τε πολιορκηθέντες ἐν τῷ Καπιτωλίῳ μικροῦ δεήσαντες ἀπολέσθαι διὰ λιμὸν, ἀπήντων περιβάλλοντες ἀλλήλους [4], καὶ δακρύοντες ἀπιστίᾳ τῆς παρούσης ἡδονῆς. ἱερεῖς τε καὶ ζάκοροι Θεῶν, ὅσα φεύγοντες αὐτόθι τῶν ἀβεβήλων ἔκρυψαν, ἢ σὺν αὐτοῖς ἐξέκλεψαν, ἀνασωζόμενα κομίζοντες, ἐπεδείκνυντο ποθουμένας ὄψεις τοῖς πολίταις δεχομένοις μετὰ χαρᾶς, ὥσπερ αὐτῶν τῶν Θεῶν αὖθις εἰς τὴν Ῥώμην συγκατερχομένων. θύσας δὲ τοῖς Θεοῖς καὶ καθάρας τὴν πόλιν, ἐξηγουμένων τῶν περὶ ταῦτα δεινῶν, τὰ μὲν ὄντα τῶν ἱερῶν κατέστησεν, αὐτὸς δ᾽ ἱδρύσατο νεὼν Φήμης καὶ Κλήδονος, ἀνευρὼν ἐκεῖνον τὸν τόπον, ἐν ᾧ νύκτωρ ἡ καταγγέλλουσα τὴν τῶν βαρβάρων στρατιὰν [5] ἐκ



1 V. τεθαῤῥηκώς. In eodem deest mox sequens τότε.
2 R. mavult cum artic. οἱ ἐπεκθ.
3 Br. susp. εἰσελαύνοντες συγκατῄεσαν. V. habet συγκατῄεσαν.
4 V. παραβάλλοντες ἀλλήλοις.
5 R. mavult στρατείαν, vel potius ἐπιστρατείαν.

ἐκ Θεοῦ τῷ Κεδικίῳ Μάρκῳ Φωνὴ προσέπεσε. χαλεπῶς μὲν οὖν καὶ μόλις αἱ τῶν ἱερῶν ἀνεκαλύπτοντο χῶραι Φιλοτιμίᾳ τοῦ Καμίλλου καὶ πόνῳ πολλῷ τῶν ἱεροφαντῶν.

XXXI. Ὡς δὲ καὶ [1] τὴν πόλιν ἀνοικοδομεῖν ἔδει παντάπασι διεφθαρμένην, ἀθυμία πρὸς τὸ ἔργον ἐνέπιπτε τοῖς πολλοῖς, καὶ μέλλησις ἦν ἐστερημένοις ἁπάντων, καί τινος ἐν τῷ παρόντι ῥᾳστώνης καὶ ἀναπαύσεως ἐκ κακῶν δεομένοις μᾶλλον, ἢ κάμνειν καὶ ἀποτρύχειν ἑαυτοὺς, οὔτε χρήμασιν, οὔτε σώμασιν ἐῤῥωμένους. οὐδ' ἡσυχῇ [2] πρὸς τοὺς Βηΐους αὖθις ἀποστρεφόμενοι, πόλιν ἅπασι κατεσκευασμένην καὶ διαμένουσαν, ἀρχὰς δημαγωγῶν [3] ἐνέδοσαν τοῖς πρὸς χάριν εἰθισμένοις ὁμιλεῖν· καὶ λόγων ἠκροῶντο στασιαστικῶν πρὸς τὸν Κάμιλλον, ὡς ἐκείνου Φιλοτιμίας ἕνεκα καὶ δόξης ἰδίας ἀποστεροῦντος αὐτοὺς πόλεως ἑτοίμης, καὶ βιαζομένου [4] σκηνοῦν ἐρείπια, καὶ πυρκαϊὰν τοσαύτην ἐγείρειν, ὅπως μὴ μόνον ἡγεμὼν Ῥώμης καὶ στρατηγὸς, ἀλλὰ καὶ κτίστης λέγηται, παρώσας Ῥωμύλον. ἐκ τούτου Φοβηθεῖσα τὸν θόρυβον ἡ βουλὴ, τὸν μὲν Κάμιλλον οὐκ εἴασε βουλόμενον ἀποθέσθαι τὴν ἀρχὴν ἐντὸς ἐνιαυτοῦ, καίπερ ἓξ μῆνας οὐδαμῶς ὑπερβάλλοντος ἑτέρου δικτάτωρος· αὐτὴ δὲ παρεμυθεῖτο καὶ κατεπράϋνε πείθουσα καὶ δεξιουμένη τὸν δῆμον.

1 deest B. 3. Junt. Ald.

2 Hanc lect. R. e Junt. revocavit. Vulg. οὕτω δὲ ἡσυχῇ sequitur Schirach: Sie richteten ihre geheimen Wünsche also wieder auf die Stadt Veji.

3 Br. mavult δημαγωγιῶν. Anon. δημαγωγοῖς. R. hanc textus explicationem dat ἀρχὰς sc. τοῦ δημαγωγεῖν, vel τῆς ἔριδος καὶ στάσεως, causas, plebem seditiosis orationibus exagitandi præbebant oratorum iis, si quos juvaret, blanda & ad studia plebis composita oratione auram popularem captare, quasi τῶν δημαγωγῶν τόκοις, οἳ ἦσαν εἰθισμένοι.

4 B. 3. βιαζόμενος.

μου· ἐπιδεικνυμένη μὲν ἠρία [1] καὶ τάφους πατέρων, ὑπομιμνήσκουσα δὲ χωρίων ἱερῶν καὶ τόπων ἁγίων, οὓς Ῥωμύλος, ἢ Νουμᾶς, ἤ τις ἄλλος αὐτοῖς τῶν βασιλέων ἐπιθειάσας [2] παρέδωκεν. ἐν πρώτοις δὲ τῶν θείων, τήν τε νεοσφαγῆ κεφαλὴν προὔφερον, ἐν τῇ θεμελιώσει τῇ τοῦ Καπιτωλίου φανεῖσαν, ὡς τῷ τόπῳ πεπρωμένον ἐκείνῳ τῆς Ἰταλίας κεφαλῇ γενέσθαι, καὶ τὸ τῆς Ἑστίας πῦρ, ὃ μετὰ τὸν πόλεμον ὑπὸ τῶν παρθένων ἀναπτόμενον, αὖθις ἀφανίζειν καὶ σβεννύναι τοὺς προλιπόντας τὴν πόλιν, ὄνειδος αὐτοῖς ἐσομένην, ἄν τε ὑπ' ἄλλων οἰκουμένην ὁρῶσιν ἐπηλύδων καὶ ξένων, ἄν τ' ἔρημον οὖσαν καὶ μηλόβοτον. Τοιαῦτα καὶ [3] πρὸς ἕκαστον ἰδίᾳ, καὶ κοινῇ πολλάκις ἐν τῷ δήμῳ σχετλιάζοντες, ἐπεκλῶντο πάλιν ὑπὸ τῶν πολλῶν, τὴν παροῦσαν ὀλοφυρομένων ἀμηχανίαν, καὶ δεομένων, μὴ σφᾶς ὥσπερ ἐκ ναυαγίας [4] γυμνοὺς καὶ ἀπόρους σωθέντας, προσβιάζεσθαι [5] τὰ λείψανα τῆς διεφθαρμένης συμπηγνύναι πόλεως, ἑτέρας ἑτοίμης παρούσης.

 XXXII.

1 Ita dedit R. de ſuo, pro vulg. ἥρωα.

2 B. 3. ἐπιθείας. Vim vocis, quam textus habet, bene explicat R.: „Cum invocatione atque obteſtatione numinis, proſperitatem rerum omnium iis largituri, ſacra illa ſalva & inviolata ſervantibus, contra vero ſævam ultionem in eos exſecuturi, ſi qui ſacra illa culpa ſua violari aut perire ſinant.“

3 deeſt καὶ B. 3. Junt. Ald.

4 Ita dedit R. de ſuo pro vulg. ναυαγίου, cum ναυαγία, in fœm. & 1. decl. ſit naufragium, quaſſatio & laceratio navis. ναυάγιον, in neutr & 2. decl. rudes, tabula ſuperſtes e navi confracta. Idem recepit mox ſequens σωθέντας, pro vulg. συνθέοντας, auctoritatem Br. ſecutus. Neſcio tamen, annon ſenſum planum, minime ineptum prior lectio ſiſtat, ita ut nulla mutatione opus fuerit. Romani ſane cives cum illis comparandi fuerunt, qui naufragio afflicti, vix ex tabula navis quaſſatæ & laceratæ, adhuc ſuperſtite, qua naufragus ſalutem quærere ſolet, jam nunc concurrerent, nihil poſſidentes, quo navem reficerent.

5 Junt. & Ald. dant προβιάζεσθαι.

XXXII. Ἔδοξεν οὖν βουλὴν προθεῖναι τῷ Καμίλλῳ· καὶ πολλὰ μὲν αὐτὸς διεξῆλθε παρακαλῶν ὑπὲρ τῆς πατρίδος, πολλὰ δὲ καὶ τῶν ἄλλων [1] ὁ βουλόμενος. τέλος δὲ τὸν πρῶτον εἰωθότα λέγειν γνώμην, Λεύκιον Λουκρήτιον, ἀναστήσας, ἐκέλευσεν ἀποφήνασθαι πρῶτον, εἶτα τοὺς ἄλλους ἐφεξῆς. γενομένης δὲ σιωπῆς, καὶ τοῦ Λουκρητίου μέλλοντος ἐνάρχεσθαι, κατὰ τύχην ἔξωθεν ἑκατοντάρχης ἄγων τάγμα φυλακῆς ἡμερινῆς παρεπορεύετο, καὶ τὸν φέροντα πρῶτον τὸ σημεῖον [2] μεγάλῃ φωνῇ προσαγορεύσας, ἐκέλευσεν αὐτοῦ μένειν καὶ τὸ σημεῖον τίθεσθαι· κάλλιστα γὰρ ἐνταῦθα καθεδεῖσθαι καὶ μενεῖν. ἅμα δὲ τῷ καιρῷ, καὶ τῇ περὶ τοῦ μέλλοντος ἐννοίᾳ [3] καὶ ἀδηλότητι τῆς φωνῆς γενομένης, ὅ τε Λουκρήτιος ἔφη προσκυνήσας τῷ Θεῷ προστίθεσθαι τὴν ἑαυτοῦ γνώμην, καὶ τῶν ἄλλων ἕκαστος ἐπηκολούθησε. θαυμαστὴ δὲ καὶ τὸ πλῆθος ἔσχε μεταβολὴ τῆς ὁρμῆς, ἀλλήλους παρακαλούντων καὶ προτρεπομένων [4] πρὸς τὸ ἔργον, οὐκ ἐκ διανομῆς τινος, ἢ τάξεως, ἀλλ' ὡς ἕκαστος ἑτοιμότητος ἢ βουλήσεως ἔσχε, τῶν χωρίων καταλαμβανομένων. διὸ καὶ τεταραγμένην τοῖς στενωποῖς καὶ συμπεφυρμένην ταῖς οἰκήσεσιν ἀνήγαγον τὴν πόλιν ὑπὸ σπουδῆς καὶ τάχους. ἐντὸς γὰρ ἐνιαυτοῦ λέγεται καὶ τοῖς τείχεσι καινὴ, καὶ ταῖς ἰδιωτικαῖς οἰκοδομαῖς ἀναστῆναι πάλιν. οἱ δὲ τοὺς ἱεροὺς τόπους ἀναλαβεῖν καὶ ὁρίσαι ταχθέντες ὑπὸ τοῦ Καμίλλου, συγκεχυμένων πάντων, ὡς ἧκον ἐπὶ τὴν καλιάδα [5] τοῦ Ἄρεως, περιοδεύοντες

1 B. 3. τὰ ἄλλα.

2 R. mavult transpositis vocabulis legi: τὸ πρῶτον σημεῖον.

3 R. vult ἀγνοίᾳ, inscitiae rerum futurarum. Post ἀδηλότητι deesse ipsi videtur συμφώνου, aut προσηκούσης, aut ἁρμοζούσης.

4 R. ita dedit de suo pro vulg. τρεπομ. Sequens τὸ deest B. 3. Iunt. & lin. seq. V. εἶχε, pro ἔσχε. Post πρὸς τὸ ἔργον R. videtur deesse ἀνώμαλον γενόμενον.

5 Ita R. dedit pro vulg. καλλιάδα. V. καλλίδα.

οντες τὸ Παλάτιον, αὐτὴν μὲν ὡς τἄλλα διεφθαρμένην καὶ κατακεκαυμένην εὗρον ὑπὸ τῶν βαρβάρων [1]. σκευωροῦμενοι δὲ καὶ καθαίροντες τὸ χωρίον, ἐντυγχάνουσι τῷ μαντικῷ ξύλῳ τοῦ Ῥωμύλου κατὰ τέφρας πολλῆς καὶ βαθείας καταδεδυκότι. τοῦτο δ' ἐστι μὲν ἐπικαμπὲς ἐκ θατέρου πέρατος, καλεῖται δὲ λίτυον· χρῶνται δ' αὐτῷ πρὸς τὰς τῶν πλινθίων ὑπογραφὰς, ὅταν ἐπ' ὄρνισι διαμαντευόμενοι καθέζωνται, ᾧ [2] καὶ ἐκεῖνος ἐχρῆτο μαντικώτατος ὤν. ἐπεὶ δ' ἐξ ἀνθρώπων ἠφανίσθη, παραλαβόντες οἱ ἱερεῖς τὸ ξύλον, ὥσπερ ἄλλο τι τῶν ἱερῶν, ἄψαυστον ἐφύλαττον. τοῦτο δὴ τότε, τῶν ἄλλων ἀπολωλότων, ἀνευρόντες διαπεφευγὸς τὴν φθορὰν, ἡδίους ἐγένοντο ταῖς ἐλπίσιν ὑπὲρ τῆς Ῥώμης, ὡς ἀΐδιον αὐτῇ τὴν σωτηρίαν τοῦ σημείου βεβαιοῦντος.

XXXIII. Οὔπω δὲ τῆς περὶ ταῦτα πεπαυμένοις ἀσχολίας αὐτοῖς ἐπιπίπτει πόλεμος, Αἰκανῶν μὲν ἅμα καὶ Οὐολούσκων καὶ Λατίνων εἰς τὴν χώραν ἐμβαλλόντων [3], Τυῤῥηνῶν δὲ πολιορκούντων Σούτριον, συμμαχίδα Ῥωμαίων πόλιν. ἐπεὶ δ' οἱ τὴν ἡγεμονίαν ἔχοντες χιλίαρχοι στρατοπεδευσάμενοι περὶ [4] τὸ Μάρκιον ὄρος ὑπὸ τῶν Λατίνων ἐπολιορκοῦντο, καὶ κινδυνεύοντες ἀποβαλεῖν τὸ στρατόπεδον, εἰς Ῥώμην ἔπεμψαν, ἀποδείκνυται τὸ τρίτον Κάμιλλος δικτάτωρ. περὶ τούτου τοῦ πολέμου διττοὶ λόγοι λέγονται, δίειμι δὲ τὸν μυθώδη πρότερον. Φασὶ τοὺς Λατίνους, εἴτε προφάσει χρωμένους, εἴτε βουλομένους [5] ὡς ἀληθῶς ἀναμίξασθαι τὰ γένη πάλιν ἐξ ὑπαρχῆς, πέμψαντας αἰτεῖν παρὰ τῶν Ῥω-

Z 5

1 Teste H. Steph. etiam legitur πολεμίων.

2 R. mavult ὡς (ita saltim lego, cum impressum ᾧς quid sit, nesciam) aut ἐφ' ᾧ, quam ad rem Romulus quoque &c.

3 Ita dedit R. in præf. pro vulg. ἐμβαλόντων, ob seq. πολιορκούντων.

4 V. παρὰ.

5 Ita legi voluit Br. pro vulg. βουλευομένους.

Ῥωμαίων παρθένους ἐλευθέρας [1] γυναῖκας. ἀπορούντων δὲ τῶν Ῥωμαίων, τί χρὴ ποιεῖν· καὶ γὰρ τὸν πόλεμον ὠῤῥώδουν, οὔπω καθεστηκότες, οὐδ' ἀνειληφότες αὑτοὺς, καὶ τὴν αἴτησιν τῶν γυναικῶν ὑπώπτευον ἐξομήρευσιν εἶναι, τοῦ δ' εὐπρεποῦς χάριν ἐπιγαμίαν [2] καλεῖσθαι· θεραπαινίδα τοὔνομα Τουτούλαν, ὡς δ' ἔνιοι λέγουσι, Φιλωτίδα, τοῖς ἄρχουσι παραινέσαι, πέμπειν σὺν αὐτῇ τῶν δμωΐδων τὰς ἐν ὥρᾳ μάλιστα καὶ ταῖς ὄψεσιν ἐλευθερίους, κοσμήσαντας ὡς νύμφας εὐγενεῖς, τὰ λοιπὰ δ' αὐτῇ μελήσειν. πεισθέντας δὲ τοὺς ἄρχοντας, ἐπιλέξασθαι τῶν θεραπαινίδων, ὅσας ἐκείνη πρὸς τὴν χρείαν ἐδοκίμασε, καὶ κοσμήσαντας ἐσθῆτι καὶ χρυσῷ, παραδοῦναι τοῖς Λατίνοις, οὐ πάνυ πόῤῥω τῆς πόλεως στρατοπεδεύουσι. νύκτωρ δὲ, τὰς μὲν ἄλλας ὑφελέσθαι τὰ ἐγχειρίδια τῶν πολεμίων, τὴν δ' εἴτε Τουτούλαν, εἴτε Φιλωτίδα, προσβᾶσαν ἐρινεῷ μεγάλῳ καὶ παρατείνασαν ὀπίσω τὸ ἱμάτιον, ἆραι πυρσὸν εἰς τὴν Ῥώμην, ὥσπερ ἦν συγκείμενον αὐτῇ πρὸς τοὺς ἄρχοντας, οὐδενὸς ἄλλου τῶν πολιτῶν εἰδότος. δι' ὃ καὶ θορυβώδη γίνεσθαι τὴν τῶν στρατιωτῶν ἔξοδον, ὡς κατήπειγον οἱ ἄρχοντες, ἀλλήλους ἀνακαλούντων, καὶ μόλις εἰς τὴν τάξιν καθισαμένων. ἐπελθόντας δὲ τῷ χάρακι τῶν πολεμίων οὐ προσδεχομένων καὶ καθευδόντων, ἑλεῖν τὸ στρατόπεδον, καὶ διαφθεῖραι τοὺς πλείστους. τοῦτο δὲ γενέσθαι ταῖς νῦν Ἰουλίαις, τότε δὲ Κυϊντιλίαις νόνναις· καὶ τὴν ἀγομένην ἑορτὴν, ὑπόμνημα τῆς πράξεως ἐκείνης εἶναι. πρῶτον μὲν γὰρ ἐξιόντες ἀθρόοι διὰ τῆς πύλης [3], πολλὰ τῶν ἐπιχωρίων καὶ κοινῶν ὀνομάτων βοῇ φθέγ-

1 Br. inferi voluit καὶ ante ἐλευθ. ad analogiam loci in Rom. c. 29. παρθένους τε συχνὰς, καὶ γυναικῶν τὰς ἀνάνδρους, ubi αἱ ἄνανδροι ipsi videntur hic vocari ἐλεύθεραι. R. autem per has intelligit, virgines conditionis ingenuæ, non servili loco natas, quæ sibi, Latinis, loco matrumfamilias forent.

2 V. ἐπιγαμίας.

3 Ita ex conjectura Br. dedit R. — Vulg. πόλεως.

φθέγγονται, Γάϊον, Μάρκον, Λέκιον, καὶ τὰ τέτοις ὅμοια· μιμέμενοι τὴν τότε γενομένην μετὰ σπεδῆς ἀλλήλων ἀνάκλησιν. ἔπειτα κεκοσμημέναι λαμπρῶς αἱ θεραπαινίδες, περιΐασι παίζεσαι διὰ σκωμμάτων εἰς τὲς ἀπαντῶντας. γίνεται δὲ καὶ μάχη τις αὐταῖς πρὸς ἀλλήλας, ὡς καὶ τότε τε πρὸς τὲς [1] Λατίνες ἀγῶνος συνεπιλαμβανομέναις [2]. ἑςιώμεναι δὲ καθέζονται, κλάδοις συκῆς σκιαζόμεναι· καὶ τὴν ἡμέραν Νόννας Καπρατίνας καλεσιν, ὡς [3] οἴονται διὰ τὸν ἐρινεὸν, ἀφ' ἐ τὴν παιδίσκην τὸν πυρσὸν ἆραι· τὸν γὰρ ἐρινεὸν, Καπρίφικον ὀνομάζεσιν. ἕτεροι δὲ τέτων τὰ πλεῖςα δρᾶσθαι καὶ λέγεσθαί φασιν ἐπὶ τῷ Ῥωμύλε [4] πάθει. κατὰ ταύτην γὰρ ἀφανισθῆναι τὴν ἡμέραν αὐτὸν ἔξω πύλης, ζόφε καὶ θυέλλης ἄφνω περιχέσης· ὡς δ' ἔνιοι νομίζεσιν, ἐκλείψεως ἡλίε γενομένης. καὶ τὴν ἡμέραν ἀπὸ τέτε Νόννας Καπρατίνας κληθῆναι· τὴν γὰρ αἶγα Κάπραν ὀνομάζεσιν. ὁ δὲ Ῥωμύλος ἠφανίσθη δημηγορῶν περὶ τὸ τῆς Αἰγὸς ἕλος προσαγορευόμενον, ὡς ἐν τοῖς περὶ ἐκείνε γέγραπται.

XXXIV. Τὸν δ' ἕτερον λόγον οἱ πλεῖςοι τῶν συγγραφέων δοκιμάζοντες ἔτω λέγεσιν· ἀποδειχθεὶς δικτάτωρ τὸ τρίτον ὁ Κάμιλλος, καὶ πυθόμενος τὸ [5] μετὰ τῶν χιλιάρχων ςράτευμα πολιορκέμενον ὑπὸ τῶν Λατίνων καὶ τῶν Οὐολέσκων, ἠναγκάσθη καὶ τὲς ἐκ ἐν ὥρᾳ τῶν πολιτῶν, ἀλλ' ἤδη προβεβηκότας [6] καθοπλίσαι. περὶ

1 Artic. abest a Junt. & Ald.

2 Ita R. dedit de suo, ut referatur ad αὐταῖς. Vulg. συνεπιλαμβανομέναι.

3 Verba ab ὡς — usque ad ὀνομάζεσιν desunt B. 3.

4 Ald. cum art. τε Ῥωμ. Seq. κατὰ ταύτην dedit R. de suo pro vulg. κατ' αὐτήν.

5 Hanc artic. dedit R. e Vulc. & B. 3. Eum inseri voluit Br. — Vulgo πυθόμ. μετά.

6 In aliis, teste H. Steph. παρηβηκότας.

περιελθὼν δὲ μακρὰν περίοδον περὶ τὸ Μάρκιον ὄρος, καὶ λαθὼν τὰς πολεμίας, ἵδρυσε τὴν στρατιὰν κατόπιν αὐτῶν, καὶ πυρὰ πολλὰ καύσας, διεσήμηνε τὴν ἑαυτȣ̃ παρȣσίαν [1]. οἱ μὲν ȣ̃ν πολιορκȣ́μενοι θαῤῥήσαντες, ἐπιέναι διενοȣ̃ντο, καὶ μάχην συνάπτειν· οἱ δὲ Λατῖνοι καὶ Οὐολȣ́σκοι, συστείλαντες εἴσω τȣ̃ χάρακος ἑαυτȣ̀ς, ἀπεσταύρȣν ξύλοις πολλοῖς καὶ διεφράγνυντο [2] πανταχόθεν τὸ στρατόπεδον, ἀμφίβολοι γεγονότες ὑπὸ τῶν πολεμίων, καὶ περιμένειν ἐγνωκότες ἑτέραν οἴκοθεν δύναμιν, ἅμα δὲ καὶ Τυῤῥηνῶν προσδεχόμενοι βοήθειαν. τȣ̃το δ' αἰσθόμενος ὁ Κάμιλλος, καὶ δεδοικὼς παθεῖν, ὅπερ ἐποίησεν αὐτὸς τὰς πολεμίας κυκλωσάμενος, ἔσπευδε προλαβεῖν τὸν καιρόν. ὄντος δὲ τȣ̃ περιφράγματος ξυλίνȣ, καὶ πνεύματος μεγάλȣ κατιόντος ἀπὸ τῶν ὀρέων ἅμα φάει, πυρὰ πολλὰ παρασκευασάμενος, καὶ περὶ τὸν ὄρθρον ἐξαγαγὼν τὴν δύναμιν, τȣ̀ς μὲν ἄλλȣς ἐκέλευσε χρῆσθαι βέλεσι, καὶ καθ' ἕτερον μέρος κραυγῇ [3]. αὐτὸς δὲ τȣ̀ς τὸ πῦρ ἀφήσειν μέλλοντας ἔχων [4], ὅθεν εἰώθει μάλιστα προσπίπτειν ὁ ἄνεμος τῷ χάρακι τῶν πολεμίων, ἀνέμεινε τὴν ὥραν. ἐπεὶ δὲ συνεστώσης τῆς μάχης ὅ τε ἥλιος ἀνήει, καὶ τὸ πνεῦμα λαμπρὸν ἐξέπιπτε, σημήνας ἐπιδρομὴν, κατέσπειρε τȣ̃ χάρακος ἄφθονα τῶν πυροβόλων. ταχὺ δὲ τῆς φλογὸς ἐν ὕλῃ πυκνῇ καὶ σταυρώμασι ξυλίνοις ἀνατραφείσης, καὶ κύκλῳ περινεμομένης, ȣ̓δὲν ἄκος, ȣ̓δὲ σβεστήριον ἔχοντες οἱ Λατῖνοι παρεσκευασμένον, ὡς πλῆρες ἦν ἤδη τὸ στρατόπεδον πυρὸς, ἐπ' ὀλίγον συστελλόμενοι τόπον, ἐξέπιπτον ὑπ' ἀνάγκης πρὸς ὡπλισμένȣς καὶ παρατεταγμένȣς πρὸ τȣ̃ χάρακος τȣ̀ς πολεμίȣς. καὶ τȣ́των μὲν ὀλίγοι

1 Legitur etiam, teste eodem, παῤῥησίαν.

2 V. διεφράγνυντο.

3 R. susp. voces textus hoc modo esse collocandas: βέλεσι καὶ κραυγῇ καθ' ἕτερον μέρος.

4 Br. magis placet ἄγων.

ὀλίγοι διέφυγον, τὰς δὲ καταληφθέντας [1] ἐν τῷ στρατοπέδῳ πάντας διέφθειρε τὸ πῦρ, μέχρις ὃ κατασβέσαντες οἱ Ῥωμαῖοι τὰ χρήματα διήρπασαν.

XXXV. Γεγονότων δὲ τούτων, ἀπολιπὼν ἐπὶ τοῦ στρατοπέδου τὸν υἱὸν Λούκιον φύλακα τῶν ἡλωκότων ἀνθρώπων καὶ χρημάτων, αὐτὸς εἰς τὴν τῶν πολεμίων ἐνέβαλε. καὶ τὴν Αἰκανῶν πόλιν ἑλὼν, καὶ προσαγαγόμενος τὰς Οὐολούσκους, εὐθὺς ἦγε τὴν στρατιὰν πρὸς τὸ Σούτριον, οὔπω τὰ συμβεβηκότα τοῖς Σουτρίνοις πεπυσμένος, ἀλλ' ὡς ἔτι κινδυνεύουσι καὶ πολιορκουμένοις ὑπὸ τῶν Τυῤῥηνῶν βοηθῆσαι σπεύδων. οἱ δ' ἔτυχον ἤδη τὴν μὲν πόλιν τοῖς πολεμίοις παραδεδωκότες, αὐτοὶ δὲ πάντων ἐνδεεῖς, ἐν [2] ἱματίοις μόνον ἀφειμένοι· καὶ [3] καθ' ὁδὸν ὄντι τῷ Καμίλλῳ μετὰ παίδων καὶ γυναικῶν ἀπήντων ὀδυρόμενοι τὰς ἑαυτῶν τύχας. ὁ δὲ Κάμιλλος, αὐτός τε πρὸς τὴν ὄψιν ἐπικλασθεὶς, καὶ τὰς Ῥωμαίους ὁρῶν, ἐμφυομένων αὐτοῖς τῶν Σουτρίνων, δακρύοντας καὶ δυσαναχετοῦντας ἐπὶ τοῖς γεγενημένοις, ἔγνω μὴ ποιεῖσθαι τῆς τιμωρίας ἀναβολὴν, ἀλλ' εὐθὺς ἄγειν ἐπὶ τὸ Σούτριον ἐκείνης τῆς ἡμέρας, λογιζόμενος ἀνθρώπους εὐδαίμονα καὶ πλουσίαν πόλιν ἄρτι κατειληφότας, καὶ μηδένα τῶν πολεμίων ὑπολελοιπότας [4] ἐν αὐτῇ, μηδὲ προσδεχομένους ἔξωθεν, ἐκλελυμένους παντάπασι καὶ ἀφυλάκτους εὑρήσειν. ὀρθῶς λογισάμενος· οὐ γὰρ μόνον τὴν χώραν ἔλαθε διελθὼν, ἀλλὰ καὶ πρὸς [5] ταῖς πύλαις γενόμενος, καὶ τὰ τείχη καταλαβών. ἐφύλαττε γὰρ οὐδεὶς, ἀλλ' ἐν οἴνῳ καὶ συνουσίαις ἦσαν ἐσκε-

1 Br. vult καταλειφθέντας.

2 deest hæc præpos. Anon.

3 Omittit B. 3. quod Br. probat, cum hæc part. sententiam turbet.

4 Hanc lectionem e Junt. & Ald. revocavit R. — Pro vulg. ἀπολελ. — Eand. dat Frft.

5 V. πρὸ ταῖς πύλ.

ἐσκεδασμένοι κατὰ τὰς οἰκίας. ἐπεὶ δ' ᾔσθοντο τὰς πολεμίας κρατᾶντας ἤδη, ἄτω διέκειντο μοχθηρῶς ὑπὸ πλησμονῆς καὶ μέθης, ὡς μηδὲ πρὸς φυγὴν ὁρμῆσαι πολλὰς, ἀλλ' ἐν ταῖς οἰκίαις αἴχιστα πάντων ὑπομένοντας ἀποθνήσκειν, ἢ παραδιδόναι σφᾶς αὐτὰς τοῖς πολεμίοις. τὴν μὲν ἄν Σατρίνων πόλιν ἐν ἡμέρᾳ μιᾷ δὶς ἀλᾶσαν ἄτω συνέβη καὶ τὰς ἔχοντας ἀποβαλεῖν, καὶ τὰς ἀφῃρημένας ἀπολαβεῖν [1] διὰ Κάμιλλον.

XXXVI. Ὁ δ' ἀπὸ τάτων θρίαμβος αὐτῷ χάριν ἀκ ἐλάττονα καὶ κόσμον ἤνεγκε τῶν πρώτων δυοῖν. καὶ γὰρ τὰς πάνυ βασκαίνοντας τῶν πολιτῶν, καὶ πάντα βαλομένας εὐτυχίᾳ τινὶ μᾶλλον, ἢ δι' ἀρετὴν κατωρθῶσθαι, τότ' ἠνάγκαζον αἱ πράξεις τῇ δεινότητι καὶ τῷ δραστηρίῳ τᾶ ἀνδρὸς ἀποδιδόναι τὴν δόξαν. ἦν δὲ τῶν διαμαχομένων αὐτῷ καὶ προσφθονάντων ἐπιφανέστατος, Μάρκος Μάλλιος, ὁ πρῶτος ὠσάμενος τὰς Κελτὰς ἀπὸ τῆς ἄκρας, ὅτε τῷ Καπιτωλίῳ διὰ νυκτὸς [2] ἐπέθεντο, καὶ διὰ τᾶτο Καπιτωλῖνος ἐπικληθείς. ἄτος γὰρ ἀξιῶν πρῶτος εἶναι τῶν πολιτῶν, καὶ μὴ δυνάμενος [3] τὸν Κάμιλλον ἀπὸ τᾶ βελτίςα τρόπα τῇ δόξῃ παρελθεῖν [4], ὑπόθεσιν τυραννίδος ἐποιήσατο κοινὴν καὶ συνήθη, δημαγωγῶν τὰς πολλὰς, μάλιςα δὲ τῶν ὀφειλόν-

1 Hanc vocem ſtare poſſe, aut non poſſe, judicat R. prout ἀφῃρημένας, aut in ſignificatione paſſiva, qua vulgariter non uſurpetur, accipias, aut in activa, qua pæne ſola frequentetur. Videtur tamen ipſi vulgata recte habere, & Plutarchus ſtudio ludicri, h. e. alliterationis in ἀποβαλεῖν & ἀπολαβεῖν vocabulum ἀφῃρημ. in ſenſu infrequentiori privatos, exutos, uſurpaſſe.

2 Præpoſit. qua vulgatæ carent, e Junt. & Ald. revocavit R. — Eam dat Ed. Frſt.

3 Quæ editio Londin. ad h. l. ex annotationibus H. Steph. — quædam exemplaria addere μήτε βαλόμενος, affert, in edit. Frſt. paulo infra ad c. 39. adjecta ſunt.

4 V. B. 3. διελθεῖν.

λοντων χρέα [1], τοῖς μὲν ἀμύνων καὶ συνδικῶν ἐπὶ τὰς δανειςὰς, τὰς δ' ἀφαιρέμενος βίᾳ, καὶ κωλύων ἄγεσθαι πρὸς τὸν νόμον· ὥςε πολλὰς τῶν ἀπόρων ταχὺ περὶ αὐτὸν γενέσθαι καὶ πολὺν φόβον παρασχεῖν τοῖς βελτίςοις τῶν πολιτῶν θρασυνομένας καὶ ταράττοντας τὴν ἀγοράν. ἐπεὶ δὲ κατασαθεὶς ἐπὶ ταῦτα δικτάτωρ Κόϊντος Καπιτωλῖνος εἰς τὴν εἱρκτὴν ἐνέβαλε τὸν Μάλλιον, ὁ δὲ δῆμος, γενομένα τάτα, μετέβαλε τὴν ἐσθῆτα, πρᾶγμα γινομένον [2] ἐπὶ συμφοραῖς μεγάλαις καὶ δημοσίαις, δείσασα τὸν θόρυβον ἡ σύγκλητος ἐκέλευσεν ἀφεθῆναι τὸν Μάλλιον. ὁ δ' ἀδὲν ἦν ἀφεθεὶς ἀμείνων, ἀλλὰ σοβαρώτερον ἐδημαγώγει, καὶ διεςασίαζε τὴν πόλιν. αἱρᾶνται δὴ πάλιν χιλίαρχον τὸν Κάμιλλον. εἰσαγομένων δὲ τῶν κατὰ τᾶ Μαλλία δικῶν, μεγάλα τὰς κατηγόρας ἔβλαπτεν ἡ ὄψις τᾶ Καπιτωλία. ὁ γὰρ τόπος, ἐφ' ᾧ βεβηκὼς ὁ Μάλλιος ἐνυκτομάχησε πρὸς τὰς Κελτὰς, ὑπεφαίνετο ἀπὸ τῆς ἀγορᾶς [3]. καὶ παρεῖχεν οἶκτον τοῖς ὁρῶσιν αὐτὸς [3] τὰς χεῖρας ὀρέγων ἐκεῖσε, καὶ δακρύων ὑπεμίμνησκε τῶν ἀγώνων, ὥςε τὰς κρίνοντας ἀπορεῖν, καὶ πολλάκις ἀναβάλλεσθαι τὴν δίκην, μήτ' ἀφιέναι βαλομένας ἐπὶ τεκμηρίοις φανεροῖς τὸ

1 B. 3. χρέας.

2 Ita dedit R. in præf. pro vulg. γενόμ. cum sermo sit de re, quæ fieri solet. Br. videtur post γινόμ. vox μόνον intercidisse.

3 In vulgatis ita lectum fuit: ὑπεφ. τῆς ἀγορᾶς ἀπὸ τᾶ Καπιτωλία. Has voces ultimas τᾶ Καπιτ. transtulit Dacer. ad finem præcedentis periodi, in vulg. illis carentis, quam emendationem R. probavit, & secutus est, Br. quidem judice, haud necessariam, qui omnem difficultatem tolli posse credidit, si pro ὑπεφαίνετο legatur cum V. & Anon. ὑπερεφαίνετο. Sed quis non sentiat, quam perturbatus sit ordo verborum in vulgatis? Pro ἐφ' ᾧ lin. præced. dat V. & B. 3. ἐφ' ᾶ; & pro τῆς ἀγορ. ἀπὸ Anon. ἄπο.

3 B. 3. αὐτὸς τε.

τὸ ἀδίκημα [1], μήτε χρήσαϑαι τῷ νόμῳ δυναμένυς, ἐν ὀφϑαλμοῖς τῆς πράξεως ὔσης διὰ τὸν τόπον. ὃ δὴ συμφρονήσας ὁ Κάμιλλος μετήγαγεν ἔξω πύλης τὸ δικαςήριον εἰς τὸ Πετηλῖνον ἄλσος· ὅϑεν ὐκ ὄντος τῦ Καπιτωλίυ καταφανῦς, ὅ τε διώκων ἐχρήσατο [2] τῇ κατηγορίᾳ, καὶ τοῖς κρίνυσι παρεχώρησεν ἡ μνήμη τῶν γεγονότων, ἀξίαν λαβεῖν ὀργὴν ἐπὶ τοῖς παρῦσιν ἀδικήμασιν. ὁ μὲν ῦν Μάλλιος ἁλὺς, εἰς τὸ Καπιτώλιον ἀπήχϑη, καὶ κατὰ τῆς πέτρας ὠϑεὶς, τὸν αὐτὸν τόπον [3] ἔσχε καὶ τῶν εὐτυχεςάτων ἔργων καὶ τῶν μεγίςων ἀτυχημάτων μνημεῖον. οἱ δὲ Ῥωμαῖοι τὴν οἰκίαν αὐτῦ κατασκάψαντες, ἱερὸν ἱδρύσαντο Θεᾶς, ἣν Μονήταν καλῦσι, καὶ τὸ λοιπὸν ἐψηφίσαντο μηδένα τῶν πατρικίων ἐπὶ τῆς ἄκρας κατοικεῖν.

XXXVII. Ὁ δὲ Κάμιλλος ἐπὶ χιλιαρχίαν ἕκτην καλύμενος, παρῃτεῖτο, γεγονὼς μὲν ἡλικίας ἤδη πρόσω, καί πυ τινα καὶ φϑόνον δεδιὼς καὶ νέμεσιν ἐπὶ δόξῃ τοσαύτῃ καὶ κατορϑώμασιν. ἡ δὲ φανερωτάτη τῶν αἰτιῶν ἦν ἀῤῥωςία τῦ σώματος· ἐτύγχανε γὰρ νοσῶν περὶ [4] τὰς ἡμέρας ἐκείνας. ὐ μὴν παρῆκεν αὐτῷ τὴν ἀρχὴν ὁ δῆμος, ἀλλὰ βοῶν, μήτε ἱππεύοντος αὐτῦ, μήτε ὁπλομαχῦντος ἐν τοῖς ἀγῶσι δεῖσϑαι, βυλευομένυ δὲ μόνον καὶ προςάττοντος, ἠνάγκασεν ὑποςῆναι τὴν ςρατηγίαν, καὶ μεϑ' ἑνὸς τῶν συναρχόντων Λευκίυ Φυρίυ τὸν ςρατὸν ἄγειν εὐϑὺς ἐπὶ τὺς πολεμίυς. ῦτοι δ' ἦσαν Πραινεςῖνοι καὶ Οὐολῦσκοι, μετὰ πολλῆς δυνάμεως

1 R. aut hæc duo verba τὸ ἀδίκ. amputanda cenſet, cum homo dicatur ἀφίεσϑαι, abſolvi, non crimen, aut ſic legendum φανερῶς ἐλέγχυσι τὸ ἀδίκημα.

2 R. ſuſp. ὅ τε διώκων ἐλευϑέρᾳ (aut ἀνέδην) ἐχρήσ. τῇ κατ. uti & in ſeq. ante ἡ μνήμη inſerendum cenſet ἀπῦσα, mens rerum geſtarum memoria vacans. Ludere vult Plutarchum in vocabulis ἀπῦσα & παρῦσιν.

3 V. τρόπον.

4 V. παρὰ.

μεως τὴν συμμαχίδα τῶν Ῥωμαίων πορθᾶντες. ἐξελθὼν δὲ καὶ παραστρατοπεδεύσας τοῖς πολεμίοις, αὐτὸς μὲν ἠξίε τρίβειν τὸν πόλεμον χρόνῳ, κἂν εἰ μάχης δεήσειε, ῥώσας τὸ σῶμα διαγωνίσαθαι [1]. Λευκίε δὲ τᾶ [2] συνάρχοντος ἐπιθυμίᾳ δόξης Φερομένε πρὸς τὸν κίνδυνον ἀκατασχέτως, καὶ συνεξορμῶντος ἅμα ταξιάρχες καὶ λοχαγὲς, Φοβηθεὶς, μὴ Φθόνῳ δή τινι δοκῇ κατόρθωμα καὶ Φιλοτιμίαν ἀφαιρεῖσθαι νέων ἀνδρῶν, συνεχώρησεν ἄκων ἐκείνῳ παρατάξαι τὴν δύναμιν, αὐτὸς δὲ διὰ τὴν ἀσθένειαν ὑπελείΦθη μετ' ὀλίγων ἐν τῷ στρατοπέδῳ. τᾶ δὲ Λευκίε προπετῶς χρησαμένε τῇ μάχῃ, καὶ σφαλέντος, αἰσθόμενος τὴν τροπὴν τῶν Ῥωμαίων, ἐ κατέσχεν αὐτὸν, ἀλλ' ἀναθορὼν ἐκ τῆς στιβάδος, ἀπήντα μετὰ τῶν ὀπαδῶν ἐπὶ τὰς πύλας τᾶ χάρακος, διὰ τῶν Φευγόντων ὠθέμενος εἰς τὲς διώκοντας· ὥστε τὲς μὲν εὐθὺς ἀναστρέΦειν καὶ συνακολεθεῖν, τὲς δὲ προσΦερομένες ἔξωθεν ἵσαθαι πρὸ αὐτᾶ καὶ συνασπίζειν, παρεγγυῶντας ἀλλήλοις μὴ ἀπολείπεθαι τᾶ στρατηγᾶ. τότε μὲν ἆν ἕτως ἀπετράποντο τῆς διώξεως οἱ πολέμιοι· τῇ δ' ὑστεραίᾳ προαγαγὼν τὴν δύναμιν ὁ Κάμιλλος, καὶ συνάψας μάχην, αὐτές τε νικᾷ κατὰ κράτος, καὶ τὸν χάρακα λαμβάνει συνεισπεσὼν τοῖς Φεύγεσι, καὶ διαΦθείρας τὲς πλείσες. ἐκ δὲ τέτε πυθόμενος πόλιν, Σατρίαν ὑπὸ Τυῤῥηνῶν ἑαλωκέναι, καὶ τὲς οἰκήτορας ἀπεσΦάχθαι, Ῥωμαίες ἅπαντας ὄντας, τὴν μὲν πολλὴν καὶ βαρεῖαν τῆς δυνάμεως εἰς Ῥώμην ἀπέστειλεν, αὐτὸς δὲ τὲς ἀκμάζοντας μάλιστα καὶ προθυμοτάτες ἀναλαβὼν, ἐπέβαλε [3] τοῖς τὴν πόλιν ἔχεσι Τυῤῥηνοῖς· καὶ κρατήσας, τὲς μὲν ἐξήλασεν αὐτῶν, τὲς δ' ἀπέκτεινεν.

XXXVIII.

1 Br. aptius videtur διαγωνίσασθαι.
2 Hunc artic. R. dedit e Junt. & Ald. Eundem dat Frft.
3 Ita B. 3. Junt. Ald. Vulgo ἐπεβάλετο.

XXXVIII. Ἐπανελθὼν δὲ μετὰ πολλῶν λαφύρων εἰς Ῥώμην, ἐπέδειξε φρονιμωτάτους ἁπάντων, τοὺς μὴ φοβηθέντας ἀσθένειαν καὶ γῆρας ἡγεμόνος ἐμπειρίαν καὶ τόλμαν ἔχοντος, ἀλλ' ἑλομένους ἐκεῖνον ἄκοντα καὶ νοσοῦντα μᾶλλον, ἢ τῶν ἐν ἡλικίᾳ τοὺς [1] δεομένους καὶ σπουδάζοντας ἄρχειν. διὸ καὶ Τουσκλάνων ἀφεστάναι λεγομένων, ἐκέλευον ἐξιέναι τὸν Κάμιλλον ἐπ' αὐτοὺς, ἕνα τῶν πέντε συστρατήγων προσελόμενον [2]. ὁ δὲ καίπερ ἁπάντων βουλομένων καὶ [3] δεομένων, ἐάσας τοὺς ἄλλους, προσείλετο Λεύκιον Φέριον, οὐδενὸς ἂν προσδοκήσαντος. ἐκεῖνος γὰρ ἦν ὁ παρὰ γνώμην τοῦ Καμίλλου διαγωνίσασθαι προθυμηθεὶς ἔναγχος, καὶ δυστυχήσας περὶ τὴν μάχην· ἀλλὰ βουλόμενος, ὡς ἔοικεν, ἀποκρύψαι τὴν συμφορὰν, καὶ τὴν αἰσχύνην ἀπαλλάξαι τοῦ ἀνδρὸς, ἀντὶ πάντων τοῦτον προῆγεν. οἱ δὲ Τουσκλάνοι τὴν ἁμαρτίαν ἐπανορθούμενοι πανούργως, ἤδη βαδίζοντος ἐπ' αὐτοὺς τοῦ Καμίλλου, τὸ μὲν πεδίον ἀνθρώπων ὡς ἐν εἰρήνῃ γεωργούντων καὶ νεμόντων ἐνέπλησαν, τὰς δὲ πύλας εἶχον ἀνεῳγμένας, καὶ τοὺς παῖδας ἐν τοῖς διδασκαλείοις μανθάνοντας. τοῦ δὲ δήμου τὸ μὲν βάναυσον ἐπὶ τῶν ἐργαστηρίων ἑωρᾶτο περὶ τὰς τέχνας, τὸ δ' ἀστεῖον ἐπὶ τῆς ἀγορᾶς ἐν ἱματίοις· οἱ δ' ἄρχοντες περιῄεσαν σπουδῇ καταλύσεις τοῖς Ῥωμαίοις ἐπαγγέλλοντες, ὡς οὐδὲν κακὸν προσδοκῶντες, οὐδὲ συνειδότες [4]. τούτων δὲ πραττομένων, ἀπιστεῖν μὲν οὐκ ἐπῄει τῷ Καμίλλῳ τὴν προδοσίαν, οἰκτείρας δὲ τὴν ἐπὶ τῇ προδοσίᾳ μετάνοιαν αὐτῶν, ἐκέλευσε πρὸς τὴν σύγκλητον ἐλθόντας παραιτεῖσθαι τὴν ὀργήν· καὶ παραιτουμένοις συνέπραξεν αὐτὸς, ἀφεθῆναί τε τὴν πόλιν αἰτίας ἁπάσης,

1 deest τοὺς B. 3. Junt. Ald.

2 V. προσελόμενος.

3 deest B. 3.

4 R. veretur, ne paene h. v. ἑαυτοῖς desit.

σης, καὶ μεταλαβεῖν ἰσοπολιτείας. αὗται μὲν οὖν ἐγένοντο τῆς ἕκτης χιλιαρχίας αἱ [1] ἐπιφανέσταται πράξεις.

XXXIX. Μετὰ δὲ ταῦτα, Λικιννίου Στόλωνος ἐν τῇ πόλει μεγάλην στάσιν ἐγείροντος, ἣν ὁ δῆμος ἐστασίαζε πρὸς τὴν σύγκλητον, βιαζόμενος, δυοῖν ὑπάτων καθισταμένων, τὸν ἕτερον ἐκ δημοτῶν εἶναι, καὶ μὴ συναμφοτέρους πατρικίους, δήμαρχοι μὲν ᾑρέθησαν, τὰς δ' ὑπατικὰς ἀρχαιρεσίας ἐπιτελεσθῆναι διεκώλυσαν οἱ πολλοί. καὶ τῶν [2] πραγμάτων δι' ἀναρχίας φερομένων ἐς μείζονας ταραχὰς, ἀποδείκνυται δικτάτωρ ὁ Κάμιλλος ὑπὸ τῆς βουλῆς ἄκοντι τῷ δήμῳ τὸ τέταρτον· οὐδ' αὐτὸς ὢν πρόθυμος, οὐδὲ βουλόμενος ἐναντιοῦσθαι πρὸς ἀνθρώπους παῤῥησίαν ἔχοντας, ἀπὸ πολλῶν καὶ μεγάλων ἀγώνων, πρὸς αὐτὸν, ὡς πλείονα μετ' αὐτῶν διαπεπραγμένον [3] ἐν στρατηγίαις, ἢ μετὰ τῶν πατρικίων ἐν ταῖς πολιτείαις· καὶ νῦν διὰ φθόνον ἐκείνων ᾑρημένος ὑπ' αὐτῶν, ὅπως ἢ καταλύσειε τὸν δῆμον ἰσχύσας [4], ἢ καταλυθείη [5] μὴ κρατήσας. οὐ μὴν ἀλλὰ πειρώμενος ἀμύνειν τοῖς παροῦσι, τὴν ἡμέραν γνοὺς, ἐν ᾗ νομοθετεῖν οἱ δήμαρχοι διενοοῦντο, προέγραψε στρατιᾶς κατάλογον, καὶ μετεκάλει τὸν δῆμον ἐκ τῆς ἀγορᾶς εἰς τὸ πεδίον, μεγάλας ζημίας ἀπειλῶν κατὰ τοῦ μὴ ὑπακούσαντος. τῶν δὲ δημάρχων ἐκεῖθεν αὖ πάλιν ἀντανισταμένων [6] ταῖς ἀπει-



1 Artic. hunc dedit R. de ſuo. Idem poſt ἕκτης ſi addatur αὐτῷ, orationem haud paulo planiorem fore putat.

2 Hunc artic. dat Anon. B. 3. Junt. Ald. — A vulg. abeſt.

3 Ita dedit R. de ſuo, pro vulg. διαπεπραγμένος, ut cohæreat cum αὐτόν.

4 R. mavult κατισχύσας, ubi ei, Camillo, licuiſſet ſuæ potentiæ præpollentia plebem opprimere.

5 Poſt h. v. deeſſe videtur R. αὐτός.

6 R. legendum videtur potius ἀντανιστάντων, aut medium h. l. activi locum implere — jubentibus plebem e Comitio ſurgere

ἀπειλαῖς καὶ διομνυμένων πέντε μυριάσιν ἀργυρίου ζημιώσειν, εἰ μὴ παύσοιτο τοῦ δήμου τὸν νόμον ἀφαιρούμενος καὶ τὴν ψῆφον, εἴτ' οὖν δείσας φυγὴν ἑτέραν καὶ καταδίκην, ὡς ἂν ἤδη πρεσβύτῃ καὶ κατειργασμένῳ πολλὰ [1] μὴ πρέπουσαν, εἴτε τοῦ πλήθους τὴν βίαν ἄμαχον οὖσαν καὶ δυσεκνίκητον [2] ὑπερβαλέσθαι μὴ δυνάμενος [3], τότε μὲν ὑπεχώρησεν οἴκαδε· ταῖς δ' ἑξῆς ἡμέραις σκηψάμενος ἀῤῥωστεῖν, ἐξωμόσατο τὴν ἀρχήν. ἡ δὲ σύγκλητος ἕτερον δικτάτωρα κατέστησε· κἀκεῖνος ἀποδείξας ἵππαρχον, αὐτὸν τὸν ἡγεμόνα τῆς στάσεως Στόλωνα, παρῆκεν ἐπικυρῶσαι τὸν νόμον τὸν μάλιστα λυποῦντα τοὺς πατρικίους. ἐκέλευσε δ' οὗτος μηδένα πλέθρων πεντακοσίων πλείονα χώραν κεκτῆσθαι. τότε μὲν οὖν λαμπρὸς ὁ Στόλων ἐγεγόνει, τῇ ψήφῳ κρατήσας· ὀλίγῳ δ' ὕστερον αὐτὸς ἑάλω κεκτημένος, ὅσην ἔχειν ἐκώλυεν ἑτέρους, καὶ κατὰ τὸν αὑτοῦ νόμον δίκην ἔδωκεν.

XL. Ὑπολειπομένης δὲ τῆς περὶ τῶν ὑπατικῶν ἀρχαιρεσιῶν φιλονεικίας, ὃ δὴ [4] χαλεπώτατον τῆς στάσεως ἦν, καὶ πρῶτον ἦρξε, καὶ πλεῖστα πράγματα τῇ βουλῇ παρέσχε διαφερομένῃ πρὸς τὸν δῆμον, ἀγγελίαι προσέπεσον σαφεῖς, Κελτοὺς αὖθις ἀπὸ τῆς Ἀδριατικῆς ἄραντας θαλάσσης, μυριάσι πολλαῖς ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. ἅμα δὲ τῷ λόγῳ καὶ τὰ ἔργα τοῦ πολέμου παρῆν, πορθουμένης τῆς χώρας, καὶ τῶν ἀνθρώπων, ὅσοις

re atque decedere. B. 3. ἀνισαμένων; uti & paulo post παύσαιτο pro παύσοιτο.

1 R. quærit, annon post h. v. desit λαμπρά?

2 Ita dedit R. de suo pro vulg. δυσκίνητον, ægre expugnabilem & ægre domandam. B. 3. δυσνίκητον, quod Br. haud displicuit.

3 Conf. not. 3. pag. 366. Cap. XXXVI.

4 R. latinismus esse videtur, *id quod* — cum græca constructio postularet ἣ δὴ sc. φιλονεικία, aut sic exponendum: ὃ μέρος τῆς στάσεως ἦν τὸ χαλεπώτατον μέρος αὐτῆς.

ὅσοις μὴ ῥᾴδιον [1] ἦν εἰς τὴν Ῥώμην καταφυγεῖν, ἀνὰ τὰ ὄρη σκεδαννυμένων. οὗτος ὁ φόβος κατέπαυσε τὴν στάσιν, καὶ συνελθόντες εἰς ταυτὸ τοῖς πολλοῖς οἱ κράτιστοι καὶ ἡ βουλὴ τῷ δημοτικῷ [2], εἵλοντο πάντες ἐκ μιᾶς γνώμης δικτάτωρα τὸ [3] πέμπτον τὸν Κάμιλλον. ὁ δ' ἦν μὲν σφόδρα γέρων, καὶ μικρὸν ἀπέλειπεν ὀγδοήκοντα ἔτη γεγονέναι· συνορῶν δὲ τὴν ἀνάγκην καὶ τὸν κίνδυνον, οὔτε ὑποτίμησιν [4] εἰπὼν, ὡς πρότερον, οὔτε προφάσει χρησάμενος, ἀλλ' αὐτόθεν ὑποστὰς τὴν στρατηγίαν, κατέλεγε τοὺς μαχησομένους. εἰδὼς δὲ τῆς τῶν βαρβάρων ἀλκῆς τὴν βιαιοτάτην ἐν ταῖς μαχαίραις οὖσαν, ἃς βαρβαρικῶς καὶ σὺν οὐδεμιᾷ τέχνῃ καταφέροντες ὤμους μάλιστα καὶ κεφαλὰς διέκοπτον, ἐχαλκεύσατο μὲν κράνη τοῖς πλείστοις ὁλοσίδηρα καὶ λεῖα ταῖς περιφερείαις, ὡς ἀπολισθαίνειν, ἢ κατάγνυσθαι τὰς μαχαίρας· τοῖς δὲ θυρεοῖς κύκλῳ περιήρμοσε λεπίδα χαλ-

Aa 3

1 B. 3. οὐ ῥάδιον.

2 Ita R. dedit pro vulg. καὶ τῇ βουλῇ τῶν δημοτικῶν. Ea quidem prorſus abeſſe mavult, cum idem valeant, quod verba τοῖς πολλοῖς οἱ ἄριστοι.

3 deeſt τὸ B. 3. Junt. Ald.

4 De hac voce, ejusque vero ſenſu dubius eſt R. — Niſi additum eſſet ὡς πρότερον, ſuſpicaretur, ita h. l. eſſe legendum οὔτε τὴν ἀπὸ τῆς ἡλικίας ἀπόλυσιν εἰπὼν οὔτε τῇ νόσου προφάσει χρησάμενος. Pro ὑποτίμησιν non eſſe mulctam intelligendam, judicat, cum nulla mulcta Camillo fuerit irrogata, ſed terror ejus tantum oſtenſus, (idque, ſi hiſtoriæ ſupra relatæ memineris, prorſus alia in cauſa, quæ ægre ad h. l. eſt applicanda.) Deinde ſi vocabulum ὑποτίμ. mulctam h. l. ſignificaret, R. non abeſſe poſſe cenſet articulum τήν. Aliam denique ſupponit vocabuli ſignificationem — cauſatio vel prætenſio inſufficientiæ, cum tu excuſas, te honore oblato indignum, eique gerendo te imparem eſſe, ut ὑποτίμ. foret quaſi ſuppreciatio, depreſſio ſuimet infra verum & juſtum pretium. At ex ſuperioribus nihil meminit, Camillum hac excuſatione uſum fuiſſe.

χαλκῆν, τȣ ξύλȣ καθ' αὐτὸ τὰς πληγὰς μὴ ϛέγοντος. αὐτὸς δὲ τȣς ϛρατιώτας ἐδίδαξε τοῖς ὑσσοῖς μακροῖς [1] διὰ χειρὸς χρῆσθαι, καὶ τοῖς ξίφεσι τῶν πολεμίων ὑποβάλλοντας ἐκδέχεσθαι τὰς καταφοράς.

XLI. Ἐπεὶ δὲ πλησίον ἦσαν οἱ Κελτοὶ περὶ τὸν Ἀνίηνα ποταμὸν, ϛρατόπεδον βαρὺ καὶ μεϛὸν ἀφθόνȣ λείας ἔχοντες, ἐξαγαγὼν τὴν δύναμιν, ἵδρυσε κατὰ νάπης μαλακῆς καὶ συγκλίσεις [2] πολλὰς ἐχȣσης. ὥϛε τὸ μὲν πλεῖϛον ἀποκρύπτεσθαι, τὸ δ' ὁρώμενον δοκεῖν ὑπὸ δέȣς εἰς χωρία προσάντη κατειλεῖσθαι [3]. ταύτην δὲ τὴν δόξαν αὐτῶν ὁ Κάμιλλος αὔξειν βȣλόμενος, ȣ προήμυνε [4] τῶν ὑπὸ πόδας πορθȣμένων, ἀλλὰ τὸν χάρακα φραξάμενος ἠρέμει· μέχρις ȣ τȣς μὲν ἐν προνομαῖς ἐσκεδασμένȣς κατεῖδε, τȣς δ' ἐν τῷ ϛρατοπέδῳ πᾶσαν ὥραν ἐμπιπλαμένȣς ἀφειδῶς καὶ μεθύοντας. τότε δὲ νυκτὸς ἔτι, τȣς ψιλȣς προεκπέμψας ἐμποδὼν εἶναι τοῖς βαρβάροις εἰς τάξιν καθιϛαμένοις, καὶ διαταράττειν εὐθὺς ἐπεξιόντας, κατεβίβαζεν ὄρθρȣ τȣς ὁπλίτας, καὶ παρέταττεν ἐν τοῖς ἐπιπέδοις, πολλȣς καὶ προθύμȣς, ȣ̓χ ὥσπερ οἱ βάρβαροι προσεδόκων, ὀλίγȣς καὶ ἀτόλμȣς φανέντας. πρῶτον μὲν ȣ̓ν τȣτο τῶν Κελτῶν ἀνέτρεψε τὰ φρονήματα, παρ' ἀξίαν ἐπιχειρεῖσθαι [5] δοκȣν-

1 R. videtur addendum esse ȣ̓σι.

2 Ita legendum censuit Br. pro vulg. συγκλείσεις. Consentiunt versiones Xylandri & Cruserii. Ille vertit, multis convallibus intercepto; hic, multis partibus cavo. Inde etiam facilius intelligitur, maximam exercitus partem fuisse celatam.

3 R. mavult aut ἀνειλεῖσθαι, aut συνειλεῖσθαι, cum κατὰ cum natura locorum arduorum non consentiat, nisi si pro προσάντη legatur κατάντη.

4 Junt. & Ald. προσήμυνε, cujus lectionis mutandæ, gravem quidem, nullam fuisse causam affirmat R.

5 B. 3. ἐπιχειρȣ̃σθαι. In vertenda phrasi παρ' ἀξίαν ἐπιχειρ. *Schirach* priores prorsus secutus est interpretes: Das erste,

δοκέντων. ἔπειτα προσπίπτοντες οἱ ψιλοὶ, καὶ πρὶν ἢ τὸν συνήθη λαβεῖν κόσμον καὶ διακριθῆναι κατὰ λόχες, κινεντες αὐτὲς καὶ βιαζόμενοι πρὸς τὸ συντυχὸν ἀτάκτως ἠνάγκασαν μάχεσθαι. τέλος δὲ τε Καμίλλε τὲς ὁπλίτας ἐπάγοντος, οἱ μὲν, ἀνατεινάμενοι τὰς μαχαίρας, συνδραμεῖν ἔσπευδον, οἱ δὲ τοῖς ὑσσοῖς ἀπαντῶντες, καὶ σεσιδηρωμένα μέρη ταῖς πληγαῖς ὑποφέροντες, ἀνέστρεφον τὸν ἐκείνων σίδηρον μαλακὸν ὄντα καὶ λεπτῶς ἐληλαμένον, ὥστε κάμπτεσθαι ταχὺ καὶ διπλεσθαι τὰς μαχαίρας, τὲς δὲ θυρεὲς συμπεπάρθαι καὶ βαρύνεσθαι τῶν ὑσσῶν ἐφελκομένων. δι' ὃ καὶ μεθιστάμενοι τῶν ἰδίων ὅπλων, ἐπειρῶντο τοῖς ἐκείνων συστρέφεσθαι [1], καὶ τὲς ὑσσὲς παραφέρειν, ἐπιλαμβανόμενοι [2] ταῖς χερσίν. οἱ δὲ Ῥωμαῖοι γυμνὲς ὁρῶντες, ἤδη τοῖς ξίφεσιν ἐχρῶντο, καὶ φόνος μὲν ἦν πολὺς τῶν προτακτῶν, φυγὴ δὲ τῶν ἄλλων ἁπανταχόσε τε πεδίε. τὲς γὰρ λόφες καὶ τὰ ὑψηλὰ προκατειλήφει Κάμιλλος, τὸ δὲ στρατόπεδον διὰ τὸ θαρσεῖν ἄφρακτον ἔχοντες, ᾔδεσαν ε χαλεπῶς ἁλωσόμενον. ταύτην τὴν μάχην ἔτεσιν ὕστερον τρισκαίδεκα [3] γενέσθαι λέγεσι τῆς Ῥώμης ἁλώσεως, καὶ βέβαιον ἐξ αὐτῆς φρόνημα κατὰ

 τῶν

erfte, was den Galliern den Muth benahm, war, dafs fie glaubten, es fei ihnen unanftändig, zuerft angegriffen zu werden — non attendens ad rem ipfam, & ad ea, quæ R. bene obfervaverat, funditores cum omni reliqua armatura fuiffe militiæ genus ignobile & contemnendum.

1 Tefte H. Steph. habetur in quibusdam ἐμπλέκεσθαι. R. accipit pro συμπεριφέρεσθαι fefe accommodare, vertere, intorquere illam in partem, unde Romanorum arma in fe infligerentur.

2 B. 3. ἐπιλαβόμενοι.

3 Xyl. vertit anno, *poft Romam captam XXIII.*, idque defendit ex Livio, & ratione magiftratuum, a Plutarcho etiam annotatorum, adjungens, notas numerorum effe caufam multorum mendorum.

τῶν Κελτῶν ἐγγενέθαι [1] Ῥωμαίοις, σφόδρα δεδοικόσι τὰς βαρβάρας, ὡς τὸ πρῶτον διὰ νόσας καὶ τύχας, παραλόγως [2], ἀ κατὰ κράτος, ὑπ' αὐτῶν νενικημένας. ἄτω δ' ἂν ὁ Φόβος ἦν ἰσχυρὸς, ὥστε θέθαι νόμον, ἀφεῖθαι τὰς ἱερεῖς στρατείας, χωρὶς ἂν μὴ Γαλατικὸς ᾖ πόλεμος.

XLII. Τῶν μὲν ἂν στρατιωτικῶν ἀγώνων ἔτος ἠγωνίσθη τῷ Καμίλλῳ τελευταῖος. τὴν γὰρ Οὐελιτράνων πόλιν εἷλεν ἐκ παρέργῳ [3] ταύτης τῆς στρατείας, ἀμαχεὶ προσχωρήσασαν αὐτῷ. τῶν δὲ πολιτικῶν ὁ μέγιστος ὑπελείπετο, καὶ χαλεπώτατος, ὁ πρὸς τὸν δῆμον [4], ἰσχυρὸν ἐπανήκοντα τῇ νίκῃ, καὶ βιαζόμενον ἐκ δημοτῶν ὕπατον ἀποδεῖξαι παρὰ τὸν καθεστῶτα νόμον. ἀντιπρατλομένης [5] τῆς βαλῆς, καὶ τὸν Κάμιλλον ἐκ ἐώσης ἀποθέθαι τὴν ἀρχὴν, ὡς μετ' ἰσχυρᾶς καὶ μεγάλης ἐξασίας τῆς ἐκείνα μαχησομένων [6] ἂν βέλτιον ὑπὲρ τῆς ἀριστοκρατίας. ἐπεὶ δὲ προκαθημένα τᾶ Καμίλλα καὶ χρηματίζοντος ἐπὶ τῆς ἀγορᾶς, ὑπηρέτης πεμφθεὶς παρὰ τῶν δημάρχων, ἐκέλευσεν ἀκολαθεῖν, καὶ τὴν χεῖρα τῷ σώματι προσῆγεν [7] ὡς ἀπάξων, κραυγὴ δὲ καὶ θόρυ-

1 B. 3. γενέθαι.

2 V. παραλόγας.

3 Sic dedit R. de ſuo, articulum omittens, quem Vulg. interponunt.

4 Ita ex emendatione R. — Vulgatæ dant ὑπελείπετο χαλεπώτερος πρὸς τὸν δῆμον.

5 R. mavult aut ἀντιπρατλάσης, aut ἀντιπαρατατλομένης.

6 Poſſe quidem hanc lectionem defendi, declarat R. quod βαλὴ ſit nomen multitudinis, & quod videatur Plutarchus a conſtructione directa & plana μαχομένης ideo diſceſſiſſe, quo caveret, nequis μαχησομένης copularet cum ἐξασίας. Suſpicatur tamen potius, Plutarchum ſcripſiſſe μαχησόμενον, ut ad Camillum redeat, & ἐκείνα tantundem valeat atque αὐτᾶ, quomodo a Plutarcho ſæpe uſurpatur.

7 Ita recte B. 3. — Vulg. προσῆγε. Id. in ſeq. κραυγαί, pro κραυγή.

θόρυβος, οἷος ἔπω, κατέσχε τὴν ἀγορὰν, τῶν μὲν περὶ τὸν Κάμιλλον ὠθέντων ἀπὸ τᴕ̃ βήματος τὸν δήμιον [1], τῶν δὲ πολλῶν κάτωθεν ἕλκειν ἐπικελευομένων, ἀπορέμενος τοῖς παρᴕ̃σι, τὴν μὲν ἀρχὴν ἐ προήκατο, τὰς δὲ βελευτὰς ἀναλαβὼν ἐβάδιζεν ἐπὶ τὴν σύγκλητον. καὶ πρὶν εἰσελθεῖν, μεταςραφεὶς εἰς [2] τὸ Καπιτώλιον, ηὔξατο τοῖς Θεοῖς κατευθῦναι τὰ παρόντα πρὸς τὸ κάλλιςον τέλος· ὑποσχόμενος ναὸν Ὁμονοίας καταςήσειν [3] τῆς ταραχῆς καταςάσης. μεγάλε δ' ἀγῶνος ἐν τῇ συγκλήτῳ γενομένε πρὸς τὰς ἐναντίας γνώμας, ὅμως ἐνίκησεν ἡ μαλακωτέρα καὶ [4] ὑπείκεσα τῷ δήμῳ, καὶ διδᴕ̃σα τῶν ὑπάτων τὸν ἕτερον ἀπὸ τᴕ̃ πλήθες ἀρχαιρεσιάσαι. ταῦτα δ' ὡς τῇ βελῇ δοκᴕ̃ντα τᴕ̃ δικτάτωρος ἀνειπόντος ἐν τῷ δήμῳ, παραχρῆμα, οἷον εἰκὸς, ἡδόμενοι τῇ βελῇ διηλλάττοντο, καὶ τὸν Κάμιλλον οἴκαδε κρότῳ [5] καὶ βοῇ παρέπεμπον. τῇ δ' ὑςεραίᾳ συνελθόντες, ἐψηφίσαντο τῆς μὲν Ὁμονοίας ἱερὸν, ὥσπερ ηὔξατο ὁ Κάμιλλος, εἰς τὴν ἀγορὰν καὶ εἰς τὴν ἐκκλησίαν ἄποπτον, ἐπὶ τοῖς γεγενημένοις ἱδρύσασθαι [6]. ταῖς δὲ καλεμέναις Λατίναις μίαν ἡμέραν προσθέντας, ἑορτάζειν τέσσαρας, παραυτίκα δὲ θύειν καὶ ςεφανηφορεῖν [7] Ῥωμαίες ἅπαντας. τῶν δ' ἀρχαιρεσιῶν βραβευθέντων ὑπὸ Καμίλλε κατεςάθησαν ὕπατοι, Μάρκος μὲν Αἰμίλιος, ἐκ πατρικίων, Λεύκιος δὲ Σέξτιος, ἐκ δημο-



1 B. 3. δῆμον.

2 R. mavult ſive ὡς, ſive πρὸς.

3 Teſte H. Steph. quidam codd. habent ἱδρύσειν, quod præfert. R. neſcit, an infinitivus καταςήσειν ſit delendus.

4 deeſt B. 3.; nec non in ſeq. ἐν τῷ δήμῳ deeſt ἐν.

5 R. mavult σὺν κρότῳ.

6 Poſt h. v. videtur R. deeſſe χαριςήριον, teſtimonium quo eſſet monumentumque memoris animi gratique.

7 B. 3. ςεφανηφορεῖν.

δημοτῶν πρῶτος. καὶ τοῦτο τὸ [1] πέρας αἱ Καμίλλου πράξεις ἔχον.

XLIII. Ἐν δὲ τῷ κατόπιν ἐνιαυτῷ λοιμώδης νόσος ἐμπεσοῦσα τῇ Ῥώμῃ, τὸν μὲν ἄλλον ὄχλον οὐ περιληπτὸν ἀριθμῷ διέφθειρε, τῶν ἀρχόντων τοὺς πλείστους. ἐτελεύτησε δὲ καὶ Κάμιλλος· ἡλικίας μὲν ἕνεκα [2] καὶ βίου τελειότητος, ὡς εἴ τις ἄλλος ἀνθρώπων, ὡραῖος, ἀνιάσας δὲ Ῥωμαίους ὡς οὐδὲ σύμπαντες οἱ τῇ νόσῳ κατ' ἐκεῖνον τὸν χρόνον ἀποθανόντες.

# ΠΕΡΙΚΛΗΣ.

ΞΕΝΟΥΣ τινὰς ἐν Ῥώμῃ πλουσίους, κυνῶν τέκνα [3] καὶ πιθήκων ἐν τοῖς κόλποις περιφέροντας καὶ ἀγαπῶντας ἰδὼν ὁ Καῖσαρ [4], ὡς ἔοικεν, ἠρώτησεν, εἰ παιδία παρ' αὐτοῖς οὐ τίκτουσιν αἱ γυναῖκες· ἡγεμονικῶς σφόδρα νουθετήσας τοὺς τὸ φύσει φιλητικὸν ἐν ἡμῖν καὶ φιλόστοργον, εἰς θηρία καταναλίσκοντας, ἀνθρώποις ὀφειλόμενον. ἄρ' οὖν [5], ἐπεὶ φιλομαθές τι κέκτηται καὶ

1 Articulum dedit R. de suo.

2 Ante h. v. dant vulgatæ οὖν; quam partic. R. expunxit, natam, ut ipsi videtur, ex eo, quod alii libri ἕνεκα, alii οὕνεκα (ita V.) scriptum exhiberent.

3 Anon. ἔκγονα, omissis καὶ πιθήκων.

4 Post nomen hoc R. deesse videtur ἐπιτιμήσεως χάριν, increpandi ergo, aut similis quæpiam sententia, cum absque hac adjectione non pateret, unde addidisset ὡς ἔοικεν.

5 Judice R. bene habet hæc lectio, si accipis affirmative; sin interrogative, legi vult ἄρ' οὖν οὐκ, ἐπεὶ — nonne igitur — consentaneum est? — Post ἐπεὶ vulg. edd. addunt κυνῶν τε καὶ πιθήκων ἔκγονα, quæ vocabula merito expunxit R. illuc ab importunitate aut supinitate, aut nescio quo casu, lectorumve errore perperam ingesta, & nihil aliud valentia, quam variantem lectionem, vocabulorum, quæ primo statim versu hujus vitæ leguntur, κυν. τέκ. καὶ πιθ.

καὶ φιλοθεάμον ἡμῶν ἡ ψυχὴ φύσει, λόγου ἔχει ψέγειν, τὰς καταχρωμένας τούτῳ πρὸς τὰ μηδεμιᾶς ἄξια σπουδῆς ἀκούσματα καὶ θεάματα, τῶν δὲ καλῶν καὶ ὠφελίμων παραμελοῦντας. τῇ μὲν γὰρ αἰσθήσει κατὰ πάθος τῆς πληγῆς [1] ἀντιλαμβανομένῃ τῶν προστυγχανόντων, ἴσως ἀνάγκη πᾶν τὸ φαινόμενον, ἄν τε χρήσιμον, ἄν τ' ἄχρηστον ᾖ, θεωρεῖν· τῷ νῷ δ' ἕκαστος [2] εἰ βούλοιτο χρῆσθαι, καὶ τρέπειν ἑαυτὸν ἀεὶ καὶ μεταβάλλειν ῥᾷστα πρὸς τὸ δοκοῦν πέφυκεν. ὥστε χρὴ διώκειν τὸ βέλτιστον, ἵνα μὴ θεωρῇ μόνον, ἀλλὰ καὶ τρέφηται τῷ θεωρεῖν. ὡς γὰρ ὀφθαλμῷ χρόα πρόσφορος, ἧς τὸ ἀνθηρὸν ἅμα καὶ τερπνὸν ἀναζωπυρεῖ, καὶ τρέφει τὴν ὄψιν, οὕτω τὴν διάνοιαν ἐπάγειν δεῖ θεάμασιν, ἃ τῷ χαρίεντι [3] πρὸς τὸ οἰκεῖον αὐτὴν ἀγαθὸν ἐκκαλεῖ. ταῦτα δ' ἐστὶν ἐν τοῖς ἀπ' ἀρετῆς ἔργοις, ἃ καὶ ζῆλόν τινα καὶ προθυμίαν ἀγωγὸν εἰς μίμησιν ἐμποιεῖ τοῖς ἱστορήσασιν [4]. ἐπεὶ τῶν γ' ἄλλων οὐκ εὐθὺς ἀκολουθεῖ τῷ θαυμάσαι τὸ πραχθὲν, ὁρμὴ πρὸς τὸ πρᾶξαι. πολλάκις δὲ καὶ τοὐναντίον, χαίροντες τῷ ἔργῳ, τοῦ δημιουργοῦ καταφρονοῦμεν· ὡς ἐπὶ τῶν μύρων καὶ τῶν ἀλουργῶν, τούτοις μὲν ἡδόμεθα, τοὺς δὲ βαφεῖς καὶ μυρεψοὺς, ἀνελευθέρους ἡγούμεθα καὶ βαναύσους. διὸ καλῶς μὲν Ἀντισθένης, ἀκούσας, ὅτι σπουδαῖός ἐστιν αὐλητὴς Ἰσμηνίας· Ἀλλ' ἄνθρωπος, ἔφη, μοχθηρός· οὐ γὰρ ἂν οὕτω [5] σπουδαῖος ἦν αὐλητής. ὁ δὲ Φίλιππος πρὸς τὸν

1 Ita R. dedit pro vulg. τὴν πληγὴν, cum ἀντιλαμβ. construi soleat cum gen. non cum accus.

2 B. 3. Ald. ἕκαστον.

3 Ita dedit R. de suo, pro vulg. τῷ χαίρειν — amoenitate, venustate sua. B. 3. τὸ χαίρειν.

4 Ita R. de suo, pro vulg. ἱστορήμασιν — iis, qui ejusmodi spectacula noscitarunt.

5 deest οὕτω B. 3. In Junt. legitur: οὐ γὰρ ἂν τὸ σπουδ.

τὸν υἱὸν ἐπιτερπῶς ἔν τινι πότῳ ψήλαντα [1] καὶ κατατέχνως εἶπεν· Οὐκ αἰσχύνῃ καλῶς ὅτω ψάλλων; ἀρκεῖ γὰρ, ἂν βασιλεὺς ἀκροᾶσθαι ψαλλόντων σχολάζῃ· καὶ πολὺ νέμει [2] ταῖς Μούσαις, ἑτέρων ἀγωνιζομένων τὰ τοιαῦτα, θεατὴς γιγνόμενος.

II. Ἡ δ' αὐτουργία τῶν ταπεινῶν, τῆς εἰς τὰ καλὰ [3] ῥᾳθυμίας μάρτυρα τὸν ἐν τοῖς ἀχρήστοις πόνον παρέχεται καθ' αὑτῆς· καὶ οὐδεὶς εὐφυὴς νέος, ἢ τὸν ἐν Πίσῃ θεασάμενος Δία, γενέσθαι Φειδίας ἐπεθύμησεν, ἢ τὴν Ἥραν τὴν ἐν Ἄργει, Πολύκλειτος, οὐδ' Ἀνακρέων, ἢ Φιλήμων, ἢ Ἀρχίλοχος, ἡσθεὶς αὐτῶν τοῖς ποιήμασιν. οὐ γὰρ ἀναγκαῖον, εἰ τέρπει τὸ ἔργον ὡς χάριεν, ἄξιον σπουδῆς εἶναι καὶ τὸν εἰργασμένον [4]. ὅθεν οὐδ' ὠφελεῖ τὰ τοιαῦτα τοὺς θεωμένους, πρὸς ἃ μιμητικὸς οὐ γίνεται ζῆλος, οὐδ' ἀνάδοσις κινοῦσα προθυμίαν

1 V. ψαλόντα. Seq. κατατέχνως dedit R. de ſuo pro vulg. κατατεχνικῶς, cum non dici ſoleat adj. κατατεχνικὸς, ſed κατάτεχνος. Ortam eſſe hanc lectionem ſuſpicatur e ſcholio τεχνικῶς, ſuperſcripto. Hanc vocem ipſam τεχνικῶς voluit H. Steph.

2 Hanc lectionem dedit H. Steph. pro νέμῃ, quam exhibet B. 3. Junt. Ald. hac ex cauſa, quod non intelligat Plut. ἀρκεῖ, ἂν νέμῃ, ſed tantum ἀρκεῖ, ἂν σχολάζῃ. Auctoritatem quidem vetuſtatis ſecutus eſt R. in textu, & revocavit νέμῃ, aptum, dicens, eſſe hunc conjunctivum ex ἂν, & ita locum interpretans: ſufficit regem Muſis honorem habere, qui honos magnus eſt, in eo, ut alios ſpectet, muſicorum certaminum documenta edentes. — Attamen ſubjungit idem ipſe huic annotationi: „Veruntamen nunc mallem, vetuſtati tantum a me delatum non fuiſſe, ut novam lectionem, νέμει, quæ utique præſtat, ei cedere cogerem.“ Hinc ſatius putavi, hanc lectionem Stephanicam, quam R. ipſe præfert, textui reddere.

3 R. mavult πρὸς τὰ καλά. Si lect. vulg. bene habet, accipiendum erit pro ἐν τοῖς καλοῖς.

4 V. τὸν εἰργασμένον. B. 3. τῶν εἰργασμένων. — Partic. καὶ ante τὸν dedit R. de ſuo.

θυμίαν καὶ ὁρμὴν [1] ἐπὶ τὴν ἐξομοίωσιν. ἀλλ' ἥ γ' ἀρετὴ ταῖς πράξεσιν εὐθὺς ὕτω διατίθησιν, ὥστε ἅμα θαυμάζεσθαι τὰ ἔργα, καὶ ζηλῦσθαι τὺς εἰργασμένυς. τῶν μὲν γὰρ ἐκ τῆς τύχης ἀγαθῶν, τὰς κτήσεις καὶ ἀπολαύσεις, τῶν δ' ἀπ' ἀρετῆς, τὰς πράξεις ἀγαπῶμεν· καὶ τὰ μὲν ἡμῖν παρ' ἑτέρων, τὰ δὲ μᾶλλον ἑτέροις παρ' ἡμῶν ὑπάρχειν βυλόμεθα. τὸ γὰρ καλὸν ἐφ' αὑτὸ πρακτικῶς κινεῖ, καὶ πρακτικὴν εὐθὺς ὁρμὴν ἐντίθησιν, ἠθοποιῦν, ὐ τῇ μιμήσει τὸν θεατὴν, ἀλλὰ τῇ ἱστορίᾳ τῦ ἔργυ, τὴν [2] προαίρεσιν παρεχόμενον. ἔδοξεν ὖν καὶ ἡμῖν ἐνδιατρίψαι τῇ περὶ τὺς βίυς ἀναγραφῇ· καὶ τῦτο τὸ βιβλίον δέκατον συντετάχαμεν, τὸν Περικλέυς βίον, καὶ τὸν Φαβίυ Μαξίμυ, τῦ διαπολεμήσαντος πρὸς Ἀννίβαν, περιέχον, ἀνδρῶν κατά τε τὰς ἄλλας ἀρετὰς ὁμοίων, μάλιστα δὲ πρᾳότητα καὶ δικαιοσύνην, καὶ τὸ [3] δύνασθαι φέρειν δήμων καὶ συναρχόντων ἀγνωμοσύνας, ὠφελιμωτάτων ταῖς πατρίσι γενομένων. εἰ δ' ὀρθῶς στοχαζόμεθα τῦ δέοντος [4], ἔξεσι κρίνειν ἐκ τῶν γραφομένων.

III. Περικλῆς γὰρ [5] τὴν μὲν φυλὴν ἦν Ἀκαμαντίδης, τὸν δὲ δῆμον Χολαργεὺς, οἴκυ δὲ καὶ γένυς τῦ πρώτυ κατ' ἀμφοτέρυς. Ξάνθιππος γὰρ ὁ νικήσας ἐν Μυκά-

1 Ita dedit R. de suo pro vulg. ἀφορμὴν, quod sententiæ repugnabat. Non negat, etiam ἐφορμὴν dari potuisse; prætere tamen voluit simplicius & usitatius.

2 Ante hanc vocem R. videtur deesse σύμφωνον, aut simile quid.

3 Anon. πρᾳότητι δικαιοσύνῃ καὶ τῷ. Quam lectionem probat Br. eam referens ad ὠφελιμωτάτων. R. lect. vulg. retinuit, a κατὰ præmisso rectam.

4 Teste H. Steph. etiam habetur πρέποντος, quod ipsi magis placet.

5 B. 3. & V. add. ἦν, quod Br. necessarium censet, & R. post φυλὴν recepit. Casus accus. seq. τὴν φύλ. τὸν δῆμ. dedit R. de suo pro vulg. τῶν μὲν φυλῶν — τῶν δὲ δήμων.

Μυκάλῃ τῆς βασιλέως [1] στρατηγούς, ἔγημεν Ἀγαρίστην Κλεισθένους ἔγγονον, ὃς ἐξήλασε τοὺς [2] Πεισιστρατίδας, καὶ κατέλυσε τὴν τυραννίδα γενναίως, καὶ νόμους ἔθετο, καὶ πολιτείαν ἄριστα κεκραμένην πρὸς ὁμόνοιαν καὶ σωτηρίαν κατέστησεν. αὕτη κατὰ τοὺς ὕπνους ἔδοξε τεκεῖν λέοντα, καὶ μεθ' ἡμέρας ὀλίγας ἔτεκε Περικλέα, τὰ μὲν ἄλλα τὴν ἰδέαν τοῦ σώματος ἄμεμπτον, προμήκη δὲ τὴν κεφαλὴν καὶ ἀσύμμετρον. ὅθεν αἱ μὲν εἰκόνες αὐτοῦ σχεδὸν ἅπασαι κράνεσι περιέχονται, μὴ βουλομένων, ὡς ἔοικε, τῶν τεχνιτῶν ἐξονειδίζειν. οἱ δ' Ἀττικοὶ ποιηταὶ σχινοκέφαλον αὐτὸν ἐκάλουν. τὴν γὰρ σκίλλαν ἔστιν ὅτε καὶ σχῖνον ὀνομάζουσι. τῶν δὲ κωμικῶν ὁ μὲν Κρατῖνος ἐν Χείροσι· Στάσις δὲ (φησὶ) καὶ πρεσβυγενὴς Χρόνος [3], ἀλλήλοισι μιγέντε μέγιστον τίκτετον τύραννον, ὃν δὴ κεφαληγερέταν Θεοὶ καλέουσι. Καὶ πάλιν ἐν Νεμέσει· Μόλ', ὦ Ζεῦ ξένιε καὶ μακάριε. Τηλεκλείδης δὲ, ποτὲ μὲν ὑπὸ τῶν πραγμάτων ἠπορημένον καθῆσθαί φησιν αὐτὸν ἐν τῇ πόλει καρηβαροῦντα, ποτὲ δὲ [4] μόνον ἐκ κεφαλῆς ἑνδεκακλίνου θόρυβον πολὺν ἐξανατέλλειν. ὁ δ' Εὔπολις ἐν τοῖς Δήμοις [5] πυνθανόμενος περὶ ἑκάστου τῶν ἀναβεβηκότων ἐξ ᾅδου δημαγωγῶν, ὡς ὁ Περικλῆς ὠνομάσθη τελευταῖος·

Ὅ τι περ κεφάλαιον τῶν κάτωθεν ἤγαγες.

IV.

1 B. 3. βασιλέων.

2 Hunc artic. addidit R. de suo.

3 In his versibus seqq. extant lect. variantes. Pro Χρόν. dat Anon. Κρόνος. Pro μιγ. μεγ. V. μιγέντες μέγιστε; pro τύραννον Anon. Τιτᾶνα, quae lectio Br. placet, & teste H. Steph. pro ξένιε quidam habent μέγιστε, & pro μακάριε omnes ejus codd. κάριε. Anon. dat μακροκάρηνε. Br. autem defendit μακάριε, ex explicatione Dacerii, quod haec vox tanquam composita sit ex μα particula augmentativa & κάρα, caput.

4 deest δὲ B. 3. Junt.

5 Junt. dat τοῖς ἐν δήμοις. Quae lectio si probatur, R. legendum censet πυνθανομένοις — iis, qui in fabula Demi dicta percontantur. Vulgatam peperit Aldina.

IV. Διδάσκαλον δ' αὐτῦ τῶν μυσικῶν, οἱ πλεῖσοι Δάμωνα γενέϑαι λέγυσιν, ὗ φασὶ δεῖν τὔνομα βραχύνοντας τὴν [1] προτέραν συλλαβὴν ἐκφέρειν. Ἀριςοτέλης δὲ παρὰ Πυϑοκλείδῃ τὴν [2] μυσικὴν αὖ διαπονηϑῆναι τὸν ἄνδρα φησίν. ὁ δὲ Δάμων ἔοικεν, ἄκρος ὢν σοφισὴς, καταδύεϑαι μὲν εἰς τὸ τῆς μυσικῆς ὄνομα, πρὸς τὺς πολλὺς ἐπικρυπτόμενος τὴν δεινότητα. τῷ δὲ Περικλεῖ συνῆν [3], καϑάπερ ἀϑλητῇ τῶν πολιτικῶν ἀλείπτης καὶ διδάσκαλος. ὐ μὴν ἔλαϑεν ὁ Δάμων τῇ λύρᾳ παρακαλύμματι χρώμενος, ἀλλ' ὡς μεγαλοπράγμων καὶ φιλοτύραννος, ἐξωςρακίϑη καὶ παρέχε τοῖς κωμικοῖς διατριβήν. ὁ γὖν Πλάτων καὶ πυνϑανόμενον αὐτῦ τινα πεποίηκεν ὕτω.

Πρῶτον μὲν ὖν μοι λέξον ἀντιβολῶ· σὺ γὰρ,
Ὡς φασιν, ὦ Χείρων [4], ἐξέϑρεψας Περικλέα.

διήκυσε δὲ Περικλῆς καὶ Ζήνωνος τῦ Ἐλεάτυ, πραγματευομένυ [5] περὶ φύσιν, ὡς Παρμενίδης· ἐλεγκτικὴν δέ τινα, καὶ δι' ἐναντιολογίας [6] εἰς ἀπορίαν κατακλείυσαν ἐξασκήσαντος ἕξιν, ὥσπερ καὶ Τίμων ὁ Φλιάσιος εἴρηκε διὰ τύτων·

Ἀμφοτερογλώσσυ τε μέγα σϑένος ὐκ ἀπατηλὸν [7]
Ζήνωνος, πάντων ἐπιλήπτορος.

ὁ δὲ πλεῖςα Περικλεῖ συγγενόμενος, καὶ μάλιςα περιϑεὶς ὄγκον αὐτῷ [8] καὶ φρόνημα δημαγωγίας ἐμβριϑέςερον

1 Hunc artic. e Junt. & Ald. R. revocavit. Eum dat Frft.

2 Hunc artic. dedit R. de suo; sequens αὖ idem suffecit arbitratu suo in locum particulæ ἂν, quæ est in vulgatis, & quam Br. otiosam prorsusque delendam censebat.

3 R. mavult συνεῖναι, ut aptum sit ex ἔοικεν.

4 V. ὁ χείρων.

5 R. susp. πραγματευομένυ μὲν καὶ αὐτῦ περὶ φ.

6 Teste H. Steph. legitur etiam δι' ἀντιλογίας.

7 V. Anon. ἀλαπαδνὸν, uti & legitur apud Diog. Laërt. in vita Zenonis.

8 V. αὐτῦ.

τερον, ὅλως τε μετεωρίσας καὶ συνεξάρας τὸ ἀξίωμα τοῦ ἤθους, Ἀναξαγόρας ἦν ὁ Κλαζομένιος· ὃν οἱ τότ' ἄνθρωποι Νοῦν προσηγόρευον, εἴτε τὴν σύνεσιν αὐτοῦ μεγάλην εἰς Φυσιολογίαν καὶ περιττὴν διαφανεῖσαν θαυμάσαντες, εἴθ' ὅτι τοῖς ὅλοις πρῶτος οὐ τύχην, οὐδ' ἀνάγκην, διακοσμήσεως ἀρχὴν, ἀλλὰ νοῦν ἐπέστησε καθαρὸν καὶ ἄκρατον, ἐν μεμιγμένοις [1] πᾶσι τοῖς ἄλλοις, ἀποκρίνοντα τὰς ὁμοιομερείας.

V. Τοῦτον ὑπερφυῶς τὸν ἄνδρα θαυμάσας ὁ Περικλῆς, καὶ τῆς λεγομένης μετεωρολογίας καὶ μεταρσιολεσχίας ὑποπιμπλάμενος, οὐ μόνον, ὡς ἔοικε, τὸ φρόνημα σοβαρὸν, καὶ τὸν λόγον ὑψηλὸν εἶχε καὶ καθαρὸν ὀχλικῆς καὶ πανούργου βωμολοχίας, ἀλλὰ καὶ προσώπου σύστασις [2] ἄθρυπτος εἰς γέλωτα, καὶ πρᾳότης πορείας, καὶ καταστολὴ περιβολῆς πρὸς οὐδὲν ἐκταραττομένη πάθος ἐν τῷ λέγειν, καὶ πλάσμα φωνῆς ἀθόρυβον, καὶ ὅσα τοιαῦτα, πάντας θαυμαστῶς ἐξέπληττε. λοιδορούμενος γοῦν ποτε καὶ κακῶς ἀκούων ὑπό τινος τῶν βδελυρῶν καὶ ἀκολάστων ὅλην ἡμέραν, ὑπέμεινε σιωπῇ κατ' ἀγορὰν ἅμα τι τῶν ἐπειγόντων καταπραττόμενος· ἑσπέρας δ' ἀπῄει κοσμίως οἴκαδε, παρακολουθοῦντος τοῦ ἀνθρώπου, καὶ πάσῃ χρωμένου βλασφημίᾳ πρὸς αὐτόν. ὡς δ' ἔμελλεν εἰσιέναι σκότους ὄντος ἤδη, προσέταξε τινὶ τῶν οἰκετῶν, φῶς λαβόντι, παραπέμψαι καὶ καταστῆσαι πρὸς τὴν οἰκίαν τὸν ἄνθρωπον. ὁ δὲ ποιητὴς Ἴων μοθωνικήν φησι τὴν ὁμιλίαν καὶ ὑπότυφον εἶναι τοῦ Περικλέους, καὶ ταῖς μεγαλαυχίαις αὐτοῦ πολλὴν ὑπερ-

1 Ita, duobus vocabulis, R. dedit de ſuo pro vulg. ἐμμεμιγμένοις, uno vocabulo — reliquis in rebus omnibus commixtis & inter ſe perturbatis. Br. voluit ἐμμεμιγμένον, ſcil. νοῦν.

2 V. e Junt. συστάσει; Junt. in ſeq. dat ἄθρυπτον. Anon. retinet accuſativum σύστασιν ἄθρυπτον εἰς γέλωτα, καὶ πρᾳότητα πορείας, καὶ καταστολὴν περιβολῆς πρὸς οὐδὲν ἐκταραττομένην.

ὑπεροψίαν ἀναμεμίχθαι καὶ περιφρόνησιν τῶν ἄλλων. ἐπαινεῖ δὲ τὸ Κίμωνος ἐμμελὲς καὶ ὑγρὸν καὶ μεμεσωμένον ἐν ταῖς περιφοραῖς. ἀλλ' Ἴωνα μὲν, ὥσπερ τραγικὴν διδασκαλίαν, ἀξιοῦντα τὴν ἀρετὴν ἔχειν τι πάντως καὶ σατυρικὸν μέρος, ἐῶμεν· τοὺς δὲ τοῦ Περικλέους τὴν σεμνότητα, δοξοκομπίαν τε καὶ τῦφον ἀποκαλοῦντας, ὁ Ζήνων παρεκάλει καὶ αὐτούς τι τοιοῦτον [1] δοξοκομπεῖν, ὡς τῆς προσποιήσεως αὐτῆς τῶν καλῶν ὑποποιούσης τινὰ λεληθότως ζῆλον καὶ συνήθειαν.

VI. Οὐ μόνον δὲ ταῦτα τῆς Ἀναξαγόρου συνουσίας ἀπέλαυσε Περικλῆς· ἀλλὰ καὶ δεισιδαιμονίας δοκεῖ γενέσθαι καθυπέρτερος, ὅση [2] πρὸς τὰ μετέωρα θάμβος ἐργάζεται τοῖς αὐτῶν τε τούτων τὰς αἰτίας ἀγνοοῦσι, καὶ περὶ τὰ θεῖα δαιμονῶσι [3] καὶ ταραττομένοις δι' ἀπειρίαν αὐτῶν· ἣν ὁ φυσικὸς λόγος ἀπαλλάττων, ἀντὶ τῆς φοβερᾶς καὶ φλεγμαινούσης δεισιδαιμονίας, τὴν ἀσφαλῆ μετ' ἐλπίδων [4] ἀγαθῶν εὐσέβειαν ἐνεργάζεται. λέγεται δέ ποτε κριοῦ μονόκερω κεφαλὴν ἐξ ἀγροῦ τῷ Περικλεῖ κομισθῆναι, καὶ Λάμπωνα μὲν τὸν μάντιν, ὡς εἶδε τὸ κέρας ἰσχυρὸν καὶ στερεὸν ἐκ μέσου τοῦ μετώπου πεφυκὸς, εἰπεῖν, ὅτι δυοῖν [5] οὐσῶν ἐν τῇ πόλει δυναστειῶν, τῆς Θουκυδίδου καὶ Περικλέους, εἰς ἕνα περιστήσεται τὸ κράτος, παρ' ᾧ γένοιτο τὸ σημεῖον· τὸν δ' Ἀναξαγόραν, τοῦ κρανίου διακοπέντος ἐπιδεῖξαι τὸν ἐγκέφαλον οὐ πεπληρωκότα τὴν βάσιν, ἀλλ' ὀξὺν ὥσπερ ᾠὸν, ἐκ τοῦ παντὸς ἀγγείου συνωλισθηκότα κατὰ τὸν τόπον ἐκεῖνον, ὅθεν ἡ ῥίζα τοῦ κέρατος

1 B. 3. τοιοῦτο.

2 Anon. ὅσην τό. Paulo post idem ἐνεργάζεται, pro ἐργάζεται.

3 Br. legi vult ἀδημονοῦσι, moerore anxiis.

4 Ante has voces Br. mavult καί.

5 V. δυεῖν.

τος εἶχε τὴν ἀρχήν. καὶ τότε μὲν θαυμασθῆναι τὸν Ἀναξαγόραν ὑπὸ τῶν παρόντων, ὀλίγῳ δ' ὕστερον τὸν Λάμπωνα, τοῦ μὲν Θουκυδίδου καταλυθέντος, τῶν δὲ τοῦ δήμου πραγμάτων ὁμαλῶς ἁπάντων ὑπὸ τῷ Περικλεῖ γενομένων.* ἐκώλυε δ' οὐδέν, οἶμαι, καὶ τὸν φυσικὸν ἐπιτυγχάνειν, καὶ τὸν μάντιν, τοῦ μὲν τὴν αἰτίαν, τοῦ δὲ τὸ τέλος καλῶς ἐκλαμβάνοντος· ὑπέκειτο γὰρ τῷ μέν, ἐκ τίνων γέγονε [1], καὶ πῶς πέφυκε, θεωρῆσαι· τῷ δέ, πρὸς τί γέγονε, καὶ τί σημαίνει, προειπεῖν. οἱ δὲ τῆς αἰτίας τὴν εὕρεσιν, ἀναίρεσιν εἶναι λέγοντες τοῦ σημείου, οὐκ ἐπινοοῦσιν ἅμα τοῖς θείοις καὶ τὰ τεχνητὰ [2] τῶν συμβόλων ἀθετοῦντες, ψόφους τε δίσκων, καὶ φῶτα πυρσῶν, καὶ γνωμόνων ἀποσκιασμούς· ὧν ἕκαστον αἰτίᾳ τινὶ καὶ κατασκευῇ, σημεῖόν εἶναί τινος πεποίηται. ταῦτα μὲν οὖν [3] ἴσως ἑτέρας ἐστὶ πραγματείας.

VII. Ὁ δὲ Περικλῆς, νέος μὲν ὤν, σφόδρα τὸν δῆμον εὐλαβεῖτο. καὶ γὰρ ἐδόκει Πεισιστράτῳ τῷ τυράννῳ τὸ εἶδος ἐμφερὴς εἶναι, τήν τε φωνὴν ἡδεῖαν οὖσαν αὐτοῦ καὶ τὴν γλῶσσαν εὔτροχον ἐν τῷ διαλέγεσθαι καὶ ταχεῖαν οἱ σφόδρα γέροντες ἐξεπλήττοντο πρὸς τὴν ὁμοιότητα. πλούτου δὲ καὶ γένους προσόντος αὐτῷ λαμ-

1 Ita R. dedit de suo pro vulg. γεγονέναι.

2 Br. hæc vox rarior displicet; cumque in B. 3. sit τὰ νητά, una addita litera, legendum censet τὰ θνητά, ut opponatur præcedenti τοῖς θείοις. Idem Lapum legisse suspicatur τὰ τεκμαρτά, cum vertat conjiciendi artem. R. τεχνητὰ σύμβολα explicat per indicia rerum ab aliis rebus effecta vel existentia, non a natura procreatis, sed ab arte humana elaboratis, ut tæda ardens, & gnomon umbra tempus significans, sunt res hominum manibus comparatæ, per quas nonnulla indicantur, quæ videntes intelligunt vel conjectant — σύμβολα, δι' ὧν συμβάλλεταί τι ὑπὸ τῶν ὁρώντων.

3 Cum hæc partic. Junt. & Ald. desit, suspicatur R. Plutarchum pro more suo loquendi dedisse καὶ ταῦτα μὲν ἴσως.

λαμπρῦ, καὶ Φίλων, οἱ πλεῖϛον ἠδύναντο, Φοβύμενος ἐξοϛρακιϑῆναι, τῶν μὲν πολιτικῶν ὐδὲν ἔπραττεν, ἐν δὲ ταῖς ϛρατείαις ἀνὴρ ἀγαθὸς ἦν καὶ Φιλοκίνδυνος. ἐπεὶ δ' Ἀριϛείδης μὲν ἀποτεθνήκει, καὶ Θεμιϛοκλῆς ἐξεπεπτώκει, Κίμωνα δ' αἱ ϛρατεῖαι τὰ πολλὰ τῆς Ἑλλάδος ἔξω κατεῖχον, ὕτω δὴ Φέρων ὁ Περικλῆς τῷ δήμῳ προσένειμεν ἑαυτὸν, ἀντὶ τῶν πλυσίων καὶ ὀλίγων τὰ τῶν πολλῶν καὶ πενήτων ἑλόμενος, παρὰ τὴν αὑτῦ Φύσιν ἥκιϛα δημοτικὴν ὖσαν. ἀλλ', ὡς ἔοικε, δεδιὼς μὲν ὑποψίᾳ περιπεσεῖν τυραννίδος, ὁρῶν δ' ἀριϛοκρατικὸν τὸν Κίμωνα, καὶ διαΦερόντως ὑπὸ τῶν καλῶν κἀγαθῶν [1] ἀγαπώμενον, ὑπῆλθε τὺς πολλὺς, ἀσφάλειαν μὲν ἑαυτῷ, δύναμιν δὲ κατ' ἐκείνυ παρασκευαζόμενος. εὐθὺς δὲ καὶ τοῖς περὶ τὴν δίαιταν, ἑτέραν τάξιν ὑπέθηκεν. ὁδόν τε γὰρ ἐν ἄϛει μίαν ἑωρᾶτο τὴν ἐπ' ἀγορὰν καὶ τὸ βυλευτήριον πορευόμενος· κλήσεις τε δείπνων καὶ τὴν τοιαύτην ἅπασαν ΦιλοΦροσύνην καὶ συνήθειαν ἐξέλιπεν. ὥς' ἐν [2] οἷς ἐπολιτεύσατο χρόνοις, μακροῖς γενομένοις, πρὸς μηδένα τῶν Φίλων ἐπὶ δεῖπνον ἐλθεῖν· πλὴν [3] Εὐρυπτολέμυ τῦ ἀνεψιῦ γαμῦντος, ἄχρι τῶν σπονδῶν [4] παραγενόμενος, εὐθὺς ἐξανέϛη. δειναὶ γὰρ αἱ ΦιλοΦροσύναι παντὸς ὄγκυ περιγενέσθαι, καὶ δυσΦύλακτον ἐν συνηθείᾳ τὸ πρὸς δόξαν σεμνόν ἐϛι. τῆς [5] ἀληθινῆς δ' ἀρετῆς κάλλιϛα Φαίνεται τὰ μάλιϛα Φαινόμενα, καὶ τῶν ἀγαθῶν ἀνδρῶν ὐδὲν ὕτω θαυμάσιον τοῖς ἐκτὸς, ὡς ὁ καθ' ἡμέραν βίος τοῖς συνῦσιν [6]. ὁ δὲ, καὶ τῦ δήμυ τὸ συνεχὲς Φεύγων



1 B. 3. addit ἀνδρῶν.

2 Ita dedit R. de suo pro vulg. ὡς ἐν.

3 V. πρὶν.

4 B. 3. τῶν ποδῶν.

5 Secutus est h. l. R. auctoritatem Br. cui ita distingui & scribi placuit. Vulg. lect. hæc est: σεμνὸν, ἐπὶ τῆς ἀλ. &c.

6 R. aut delenda videntur duo vocabula τοῖς συνῦσιν, aut addendum φαῦλος vel ἐκφαυλιϛέος, ut sententia sit sive istæc: extra-

γὰν καὶ τὸν κόρον, οἷον ἐκ διαλειμμάτων ἐπλησίαζεν [1], ἐκ ἐπὶ παντὶ πράγματι λέγων, ἐδ' ἀεὶ παριὼν εἰς τὸ πλῆθος, ἀλλ' ἑαυτὸν, ὥσπερ τὴν Σαλαμινίαν τριήρη, φησὶ Κριτόλαος, πρὸς τὰς μεγάλας χρείας ἐπιδιδὰς, τἄλλα δὲ, φίλες καὶ ῥήτορας ἑταίρες [2] καθιεὶς ἔπραττεν. ὧν ἕνα φασὶ γενέθαι τὸν Ἐφιάλτην, ὃς κατέλυσε τὸ κράτος τῆς ἐξ Ἀρεία πάγε βελῆς, πολλὴν, κατὰ τὸν Πλάτωνα, καὶ ἄκρατον τοῖς πολίταις ἐλευθερίαν οἰνοχοῶν. ὑφ' ἧς, ὥσπερ ἵππον, ἐξυβρίσαντα τὸν δῆμον οἱ κωμῳδοποιοὶ λέγεσι, πειθαρχεῖν ἐκέτι τολμᾶν, ἀλλὰ δάκνειν τὴν Εὔβοιαν, καὶ ταῖς νήσοις ἐπιπηδᾶν.

VIII. Τῇ μέντοι περὶ τὸν βίον κατασκευῇ καὶ τῷ μεγέθει τῷ φρονήματος ἁρμόζοντα λόγον, ὥσπερ ὄργανον, ἐξαρτυόμενος παρέτεινε [3] πολλαχῶ τὸν Ἀναξαγόραν· οἷον βαφὴν [4], τῇ ῥητορικῇ τὴν φυσιολογίαν ὑπο-

extraneis nihil perinde mirandum videtur virorum bonorum, quam vita domestica, sive hæc: cum vita virorum fortium domestica familiaribus contemnenda videtur, tum eadem extraneis videtur inprimis venerabilis.

1 R. susp. ἐκκλησίαζεν, concionatus est.

2 Lapum legisse ἑτέροις, *aliis* vertentem, annotat Xyl.

3 Br. placet lect. B. 3. παρεντείνε. V. παρέτεινεν ἢ κατετόνει. R. παρατείνειν significare videtur h. l. torquere veluti atque exagitare, h. e. crebro citare & usurpare, ut dicat Plutarchus, Periclem in concionando sæpissime artes ab Anaxagora acceptas ad usum vocasse.

4 Sequitur R. in h. v. auctoritatem Br. qui βαφὴν legi voluit pro βαφῇ. — Tinctura, qua ferrum solidatur, & in chalybem vertitur, firmum tenaxque, sed & flexile atque elasticum & acutum secansque redditur, h. l. βαφὴ appellatur. Rhetorica, s. exercitatio allocutionum in concione populi habendarum, comparatur cum ferro, nobilitando atque perficiendo per βαφὴν hanc, h. e. per disputationes e physica depromtas, qua universus philosophiæ ambitus intelligitur. — ὑποχεῖν vel ὑποχεῖσθαι est clam, paulatim, sine sensu instillare, infundere.

ὑποχεόμενος. τὸ γὰρ ὑψηλόνουν τοῦτο καὶ πάντη τελεσιουργὸν, ὥς ὁ θεῖος Πλάτων φησὶ, πρὸς τῷ εὐφυὴς εἶναι, κτησάμενος ἐκ φυσιολογίας, καὶ τὸ πρόσφορον ἑλκύσας ἐπὶ τὴν τῶν λόγων τέχνην, πολὺ πάντων διήνεγκε. διὸ καὶ τὴν ἐπίκλησιν [1] αὐτῷ γενέσθαι λέγουσι· καίτοι τινὲς ἀπὸ τῶν, οἷς ἐκόσμησε τὴν πόλιν, οἱ δ' ἀπὸ τῆς ἐν τῇ πολιτείᾳ καὶ ταῖς στρατηγίαις δυνάμεως, Ὀλύμπιον αὐτὸν οἴονται προσαγορευθῆναι· καὶ συνδραμεῖν οὐδὲν ἀπέοικεν ἀπὸ πολλῶν προσόντων τῷ ἀνδρὶ τὴν δόξαν [2]. αἱ μέντοι κωμῳδίαι τῶν τότε διδασκάλων σπουδῇ τε πολλὰς καὶ μετὰ γέλωτος ἀφεικότων φωνὰς εἰς αὐτὸν, ἐπὶ τῷ λόγῳ μάλιστα τὴν προσωνυμίαν γενέσθαι δηλοῦσι, βροντᾷν μὲν αὐτὸν καὶ ἀστράπτειν, ὅτε δημηγοροίη, δεινὸν δὲ κεραυνὸν ἐν τῇ [3] γλώσσῃ φέρειν λεγόντων. διαμνημονεύεται δέ τις καὶ Θουκυδίδου τοῦ Μιλησίου λόγος, εἰς τὴν δεινότητα τοῦ Περικλέους μετὰ παιδιᾶς εἰρημένος. ἦν μὲν γὰρ ὁ Θουκυδίδης τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν, καὶ πλεῖστον ἀντεπολιτεύσατο τῷ Περικλεῖ χρόνον· Ἀρχιδάμου δὲ, τοῦ Λακεδαιμονίων βασιλέως, πυνθανομένου, πότερον αὐτὸς, ἢ Περικλῆς, παλαίει βέλτιον· Ὅταν, εἶπεν, ἐγὼ καταβάλω παλαίων, ἐκεῖνος ἀντιλέγων, ὡς οὐ πέπτωκε [4], νικᾷ, καὶ μεταπείθει τοὺς ὁρῶντας. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ Περικλῆς περὶ τὸν λόγον εὐλαβὴς ἦν, ὥστ' ἀεὶ πρὸς τὸ βῆμα βαδίζων ηὔχετο τοῖς θεοῖς μηδὲ ῥῆμα μηδὲν ἐκπεσεῖν ἄκοντος αὐτοῦ πρὸς τὴν προκειμένην χρείαν ἀνάρμοστον. ἔγγραφον μὲν οὖν οὐδὲν ἀπολέλοιπε, πλὴν τῶν ψηφισμάτων· ἀπομνημονεύεται δ' ὀλίγα παντάπα-



1 Anon. addit Ὀλυμπίου ἐπικλ.

2 Vulg. dant τῷ ἀνδρὶ αὐτῷ τὴν δ. — R. αὐτῷ expunxit, quod aut e varia lectione, aut e scholio natum esse videatur.

3 Hunc artic. R. de suo dedit.

4 V. πέπωκε.

τάπασιν· οἷον, τὸ τὴν Αἴγιναν ὡς λήμην τȣ͂ Πειραιῶς ἀφελεῖν κελεῦσαι· καὶ τὸ, τὸν πόλεμον ἤδη φᾶναι καθορᾷν ἀπὸ Πελοποννήσȣ προσφερόμενον. καί ποτε τȣ͂ Σοφοκλέȣς, ὅτε συστρατηγῶν ἐξέπλευσε μετ᾽ αὐτȣ͂, παῖδα καλὸν ἐπαινέσαντος· Οὐ μόνον, ἔφη, τὰς χεῖρας, ὦ Σοφόκλεις, δεῖ καθαρὰς ἔχειν τὸν στρατηγὸν, ἀλλὰ καὶ τὰς ὄψεις. ὁ δὲ Στησίμβροτος φησὶν, ὅτι τȣ̀ς ἐν Σάμῳ τεθνηκότας ἐγκωμιάζων ἐπὶ τȣ͂ βήματος, ἀθανάτȣς ἔλεγε γεγονέναι, καθάπερ τȣ̀ς Θεȣ́ς. ȣ̓ γὰρ ἐκείνȣς αὐτȣ̀ς ὁρῶμεν, ἀλλὰ ταῖς τιμαῖς, ἃς ἔχȣσι, καὶ τοῖς ἀγαθοῖς, ἃ παρέχȣσιν [1], ἀθανάτȣς εἶναι τεκμαιρόμεθα· ταῦτ᾽ ȣ͂ν ὑπάρχειν καὶ τοῖς ὑπὲρ τῆς πατρίδος ἀποθανȣ͂σιν.

IX. Ἐπεὶ δὲ Θȣκυδίδης μὲν ἀριστοκρατικήν τινα τὴν τȣ͂ Περικλέȣς ὑπογράφει πολιτείαν, λόγῳ μὲν ȣ͂σαν δημοκρατίαν, ἔργῳ δ᾽ ὑπὸ τȣ͂ πρώτȣ ἀνδρὸς ἀρχήν· ἄλλοι δὲ πολλοὶ πρῶτον ὑπ᾽ ἐκείνȣ φασὶ τὸν δῆμον ἐπὶ κληρȣχίας καὶ θεωρικὰ καὶ μισθῶν διανομὰς προαχθῆναι, κακῶς ἐθισθέντα, καὶ γενόμενον πολυτελῆ καὶ ἀκόλαστον ὑπὸ τῶν τότε πολιτευμάτων, ἀντὶ σώφρονος καὶ αὐτȣργȣ͂· θεωρείσθω διὰ τῶν πραγμάτων αὐτῶν, ἡ αἰτία τῆς μεταβολῆς. ἐν ἀρχῇ μὲν γὰρ, ὥσπερ εἴρηται, πρὸς τὴν Κίμωνος δόξαν ἀντιτατόμενος, ὑπεποιεῖτο τὸν δῆμον· ἐλαττȣ́μενος δὲ πλȣ́τῳ καὶ χρήμασιν, ἀφ᾽ ὧν ἐκεῖνος ἀνελάμβανε τȣ̀ς πένητας, δεῖπνόν τε καθ᾽ ἡμέραν τῷ δεομένῳ παρέχων Ἀθηναίων, καὶ τȣ̀ς πρεσβυτέρȣς ἀμφιεννύων, τῶν τε χωρίων τȣ̀ς φραγμȣ̀ς ἀφαιρῶν, ὅπως ὀπωρίζωσιν οἱ βȣλόμενοι· τȣ́τοις ὁ Περικλῆς καταδημαγωγȣ́μενος, τρέπεται πρὸς τὴν τῶν δημοσίων διανομὴν, συμβȣλεύσαντος αὐτῷ Δημωνίδȣ τȣ͂ Οἴηθεν [2], ὡς Ἀριστοτέλης ἱστόρηκε. καὶ ταχὺ θεωρικοῖς καὶ

1 Ita legendum censuit Br. pro vulg. ἅπερ ἔχȣσιν.

2 Ita B. 3. Junt. & Flor. Vitiosam lectionem Ἴηθεν, quæ in vulg transiit, Aldina prima dedit. Intelligas curiam Acamantidis tribus per vocem Οἴαν.

καὶ δικαστικοῖς λήμμασιν, ἄλλαις τε μισθοφοραῖς [1] καὶ χορηγίαις συνδεκάσας τὸ πλῆθος, ἐχρῆτο κατὰ τῆς ἐξ Ἀρείȣ πάγȣ βȣλῆς, ἧς αὐτὸς ȣ̓ μετεῖχε, διὰ τὸ μήτ' ἄρχων, μήτε θεσμοθέτης, μήτε βασιλεὺς, μήτε πολέμαρχος λαχεῖν. αὗται γὰρ αἱ ἀρχαὶ κληρωταί τ' ἦσαν ἐκ παλαιȣ̃, καὶ δι' αὐτῶν οἱ δοκιμασθέντες ἀνέβαινον εἰς Ἄρειον πάγον. διὸ καὶ μᾶλλον ἰσχύσας ὁ Περικλῆς ἐν τῷ δήμῳ, κατεστασίασε τὴν βȣλὴν, ὥστε τὴν μὲν ἀφαιρεθῆναι τὰς πλείστας κρίσεις δι' Ἐφιάλτȣ, Κίμωνα δ' ὡς φιλολάκωνα καὶ μισόδημον ἐξοστρακισθῆναι, πλȣ́τῳ μὲν καὶ γένει μηδενὸς ἀπολειπόμενον, νίκας δὲ καλλίστας νενικηκότα τȣ̀ς βαρβάρȣς, καὶ χρημάτων πολλῶν καὶ λαφύρων ἐμπεπληκότα τὴν πόλιν, ὡς ἐν τοῖς περὶ ἐκείνȣ γέγραπται. τοσȣ̃τον ἦν τὸ κράτος ἐν τῷ δήμῳ τȣ̃ Περικλέȣς.

X. Ὁ μὲν ȣ̃ν ἐξοστρακισμὸς ὡρισμένην εἶχε νόμῳ δεκαετίαν τοῖς φεύγȣσιν· ἐν δὲ τῷ διὰ μέσȣ, Λακεδαιμονίων στρατῷ μεγάλῳ ἐμβαλόντων εἰς τὴν Ταναγραϊκὴν, καὶ τῶν Ἀθηναίων εὐθὺς ὁρμησάντων ἐπ' αὐτȣ̀ς, ὁ μὲν Κίμων ἐλθὼν ἐκ τῆς φυγῆς, ἔθετο μετὰ τῶν φυλετῶν εἰς λόχον τὰ ὅπλα, καὶ δι' ἔργων ἀπολύεσθαι τὸν Λακωνισμὸν ἐβȣ́λετο, συγκινδυνεύσας τοῖς πολίταις. οἱ δὲ φίλοι τȣ̃ Περικλέȣς συστάντες ἀπήλασαν αὐτὸν ὡς φυγάδα. διὸ καὶ δοκεῖ Περικλῆς ἐρρωμενεστάτην μάχην ἐκείνην ἀγωνίσασθαι, καὶ γενέσθαι πάντων ἐπιφανέστατος, ἀφειδήσας τȣ̃ σώματος. ἔπεσον δὲ καὶ τȣ̃ Κίμωνος οἱ φίλοι πάντες ὁμαλῶς, ȣ̀ς Περικλῆς συνεπῃτιᾶτο τȣ̃ Λακωνισμȣ̃· καὶ μετάνοια δεινὴ τȣ̀ς Ἀθηναίȣς καὶ πόθος ἔσχε τȣ̃ Κίμωνος, ἡττημένȣς μὲν ἐπὶ τῶν ὅρων τῆς Ἀττικῆς, προσδοκῶντας δὲ καὶ [2] βαρὺν εἰς ἔτȣς ὥραν πόλεμον. αἰσθόμενος ȣ̃ν ὁ Περικλῆς ȣ̓κ ὤκνησε χαρίσασθαι



1 Anon. μισθοφορίαις.
2 δὲ deest Juntinæ, & καὶ B. 3.

θαι τοῖς πολλοῖς, ἀλλὰ τὸ ψήφισμα γράψας αὐτὸς ἐκάλει τὸν ἄνδρα, κἀκεῖνος ἀπελθὼν [1] εἰρήνην ἐποίησε ταῖς πόλεσιν. οἰκείως γὰρ εἶχον οἱ Λακεδαιμόνιοι πρὸς αὐτὸν, ὥσπερ ἀπήχθοντο τῷ Περικλεῖ καὶ τοῖς ἄλλοις δημαγωγοῖς. ἔνιοι δέ φασιν ἐ πρότερον γραφῆναι τῷ Κίμωνι τὴν κάθοδον ὑπὸ τῦ Περικλέϋς, ἢ συνθήκας αὐτοῖς ἀποῤῥήτϋς γενέθαι δι' Ἐλπινίκης, τῆς Κίμωνος ἀδελφῆς. ὥςε Κίμωνα μὲν ἐκπλεῦσαι, λαβόντα ναῦς διακοσίας, καὶ τῶν ἔξω ςρατηγεῖν, καταςρεφόμενον τὴν βασιλέως χώραν· Περικλεῖ δὲ τὴν ἐν ἄςει δύναμιν ὑπάρχειν. ἐδόκει δὲ καὶ πρότερον ἡ Ἐλπινίκη τῷ Κίμωνι τὸν Περικλέα πρᾳότερον παρασχεῖν, ὅτε τὴν θανατικὴν δίκην ἔφυγεν [2]. ἦν μὲν γὰρ εἷς τῶν κατηγόρων ὁ Περικλῆς ὑπὸ τῦ δήμϋ προβεβλημένος. ἐλθϋσης δὲ πρὸς αὐτὸν τῆς Ἐλπινίκης καὶ δεομένης, μειδιάσας εἶπεν· Ὦ Ἐλπινίκη, γραῦς εἶ [3], ὡς πράγματα τηλικαῦτα δράσειν [4]. ἐ μὴν ἀλλὰ καὶ πρὸς τὸν λόγον ἅπαξ ἀνέςη, τὴν προβολὴν ἀφοσιϋμενος, καὶ τῶν κατηγόρων ἐλάχιςα τὸν Κίμωνα λυπήσας ἀπεχώρησε. πῶς ἂν ἔν τις Ἰδομενεῖ πιςεύσειε, κατηγορϋντι τῦ Περικλέϋς, ὡς τὸν δημαγωγὸν Ἐφιάλτην, φίλον γενόμενον, καὶ κοινωνὸν ὄντα τῆς ἐν τῇ πολιτείᾳ προαιρέσεως, δολοφονήσαντος, διὰ ζηλοτυπίαν καὶ φθόνον τῆς δόξης; ταῦτα γὰρ ἐκ οἶδ' ὅθεν συναγαγὼν, ὥσπερ χολὴν, τἀνδρὶ προσβέβληκε [5], πάντη μὲν ἴσως ἐκ ἀνεπιλήπτῳ,

1 Br. fufp. ἀνελθὼν vel ἐπελθὼν. R. autem tuetur lectionem vulg. cum Cimon Spartam profectus fit.

2 V. ἔφευγεν.

3 B. 3. Junt. & Ald. repetunt has voces, quod Br. probat; nec minus R. fi γραῦς fine εἶ iteretur.

4 V. πράσσειν. R. lect. vulg. fufpecta eft. Quærit, num θράσσειν, h. e. ταράσσειν — an δρασείειν.

5 Ita dedit R. de fuo pro vulg. προβέβληκε. Eft quafi προσεμήμεκε, vomitu in os ejus rejecit.

λήπ]ῳ, φρόνημα δ' εὐγενὲς ἔχοντι, καὶ ψυχὴν φιλότιμον, ἧς ἐδὲν ἐκφύεται [1] πάθος ὠμὸν ἔτω καὶ θηριῶδες. Ἐφιάλτην μὲν ἔν, φοβερὸν ὄντα τοῖς ὀλιγαρχικοῖς, καὶ περὶ τὰς εὐθύνας καὶ διώξεις τῶν τὸν δῆμον ἀδικέντων ἀπαραίτητον, ἐπιβελεύσαντες οἱ ἐχθροὶ δι' Ἀριςοδίκε τῦ Ταναγρικῦ κρυφαίως ἀνεῖλον, ὡς Ἀριςοτέλης εἴρηκεν. ἐτελεύτησε δὲ Κίμων ἐν Κύπρῳ ςρατηγῶν.

XI. Οἱ δ' ἀριςοκρατικοὶ μέγιςον μὲν ἤδη τὸν Περικλέα καὶ πρόσθεν ὁρῶντες γεγονότα τῶν πολιτῶν, βελόμενοι δ' ὅμως εἶναί τινα τὸν πρὸς αὐτὸν [2] ἀντιτασσόμενον ἐν τῇ πόλει, καὶ τὴν δύναμιν ἀμβλύνοντα, ὥςε μὴ κομιδῇ μοναρχίαν εἶναι. Θεκυδίδην τὸν Ἀλωπεκῆθεν, ἄνδρα σώφρονα καὶ κηδεςὴν Κίμωνος, ἀντέςησαν ἐναντιωσόμενον. ὃς ἧτ]ον μὲν ἂν πολεμικὸς τῦ Κίμωνος, ἀγοραῖος δὲ καὶ πολιτικὸς μᾶλλον, οἰκερῶν ἐν ἄςει, καὶ περὶ τὸ βῆμα τῷ Περικλεῖ συμπλεκόμενος, ταχὺ τὴν πολιτείαν εἰς τἀντίπαλον [3] κατέςησεν. ἐ γὰρ εἴασε τὲς καλὲς κἀγαθὲς καλεμένες ἄνδρας ἐνδιεσπάρθαι καὶ συμμεμίχθαι πρὸς τὸν δῆμον, ὡς πρότερον, ὑπὸ τῦ [4] πλήθες ἠμαυρωμένες τὸ ἀξίωμα· χωρὶς δὲ διακρίνας, καὶ συναγαγὼν εἰς ταυτὸ τὴν πάντων δύναμιν, ἐμβριθῆ γενομένην, ὥσπερ ἐπὶ ζυγῦ, ῥοπὴν ἐποίησεν. ἡ μὲν γὰρ [5] ἐξ ἀρχῆς διαπλοκή τις ὕπελος, ὥσπερ ἐν σιδήρῳ, διαφορὰν ὑποσημαίνεσα δημοτικῆς καὶ ἀριςοκρατικῆς προαιρέσεως· ἡ δ' ἐκείνων ἅμιλλα καὶ φιλοτιμία τῶν ἀνδρῶν, βαθυτάτην τομὴν τεμῦσα, τῆς πόλεως τὸ μὲν



1 Ita R. de ſuo dedit. Vulg. οἷς ἐδὲν ἐμφύεται.

2 Br. mavult τινὰ αὐτῶν, aliquem ex ſuo numero.

3 Sic R. dedit de ſuo. Vulg. omittunt articulum.

4 Pari modo hunc articulum debemus R.

5 Anon. ἦν μὲν γὰρ, quod Br. multum probat. In ſeq. R. ſuſpicatur: διαπλοκὴ ἀμυδρά τις ἦν, ὕπελον (in accuſ.) — Deeſſe vocabulum ἀμυδρὰ vel ſimile quodpiam, ex inſequentibus, his oppoſitis, apparere addit.

μὲν δῆμον, τὸ δ' ὀλίγους ἐποίησε καλεῖσθαι. διὸ καὶ τότε μάλιστα τῷ δήμῳ τὰς ἡνίας ἀνεὶς ὁ Περικλῆς, ἐπολιτεύετο πρὸς χάριν, ἀεὶ μέν τινα θέαν πανηγυρικὴν, ἢ ἑστίασιν, ἢ πομπὴν εἶναι μηχανόμενος ἐν ἄστει, καὶ διαπαιδαγωγῶν οὐκ ἀμούσοις ἡδοναῖς τὴν πόλιν· ἑξήκοντα δὲ τριήρεις καθ' ἕκαστον ἐνιαυτὸν ἐκπέμπων, ἐν αἷς πολλοὶ τῶν πολιτῶν ἔπλεον ὀκτὼ μῆνας [1] ἔμμισθοι, μελετῶντες ἅμα καὶ μανθάνοντες τὴν ναυτικὴν ἐμπειρίαν. πρὸς δὲ τούτοις, χιλίους μὲν ἔστειλεν εἰς Χεῤῥόνησον κληρούχους, εἰς δὲ Νάξον πεντακοσίους, εἰς δ' Ἄνδρον ἡμίσεις τούτων, εἰς δὲ Θρᾴκην χιλίους Βισάλταις συνοικήσοντας· ἄλλους δ' εἰς Ἰταλίαν, οἰκιζομένης Συβάρεως, ἣν Θουρίους προσηγόρευσαν. καὶ ταῦτ' ἔπραττεν, ἀποκουφίζων μὲν ἀργοῦ καὶ διὰ σχολὴν πολυπράγμονος ὄχλου τὴν πόλιν, ἐπανορθούμενος δὲ τὰς ἀπορίας τοῦ δήμου, φόβον δὲ καὶ φρουρὰν τοῦ μὴ νεωτερίζειν τι, παρακατοικίζων τοῖς συμμάχοις.

XII. Ὃ δὲ πλείστην μὲν ἡδονὴν ταῖς Ἀθήναις καὶ κόσμον ἤνεγκε, μεγίστην δὲ τοῖς ἄλλοις ἔκπληξιν ἀνθρώποις, μόνον δὲ τῇ Ἑλλάδι μαρτυρεῖ, μὴ καταψεύδεσθαι [2] τὴν λεγομένην δύναμιν αὐτῆς ἐκείνην καὶ τὸν παλαιὸν ὄλβον [3], ἡ τῶν ἀναθημάτων κατασκευὴ, τοῦτο

1 Lapus legit μνᾶς; id quod Xyl. probat. At melius sane habet μῆνας, cum octo menses tantundem valeant, ac si dixisset, potissimam anni partem, & de minis h. l. nullo modo cogitari possit, & octonæ minæ neque per annum, neque per mensem gregario militi sint datæ. *Reiske. Kind.*

2 Ita in composito dedit R. de suo, pro vulg. ψεύδεσθαι. Idem seq. αὐτῆς dedit pro αὐτῆς, & ἐκείνην pro ἐκείνης, ut sententia hæc sit, illam, ἐκείνην, Græciam puta, non falso de se prædicare istam vulgo jactatam famaque celebratam potentiam. Br. jam lect. ἐκείνην voluit, at ad δύναμιν retulit.

3 Br. vel legi voluit ὄλβον, ἣν, vel continuari sententiam post κατασκευὴ, per punctum seq. in vulg. distinctam.

τȣτο [1] μάλιϛα τῶν πολιτευμάτων τȣ̃ Περικλέȣς ἐβάσκαινον οἱ ἐχθροὶ, καὶ διέβαλλον ἐν ταῖς ἐκκλησίαις, βοῶντες· ὡς ὁ μὲν δῆμος ἀδοξεῖ καὶ κακῶς ἀκȣ́ει τὰ κοινὰ τῶν Ἑλλήνων χρήματα πρὸς αὑτὸν ἐκ Δήλȣ μεταγαγών. ἡ δ' ἔνεϛιν αὐτῷ πρὸς τȣ̀ς ἐγκαλȣ̃ντας εὐπρεπεϛάτη τῶν προφάσεων, δείσαντα τȣ̀ς βαρβάρȣς ἐκεῖθεν ἀνελέσθαι, καὶ φυλάττειν ἐν ὀχυρῷ τὰ κοινὰ, ταύτην ἀνῄρηκε Περικλῆς· καὶ δοκεῖ δεινὴν ὕβριν ἡ Ἑλλὰς ὑβρίζεσθαι, καὶ τυραννεῖσθαι περιφανῶς, ὁρῶσα τοῖς εἰσφερομένοις ὑπ' αὐτῆς ἀναγκαίως πρὸς τὸν πόλεμον, ἡμᾶς τὴν πόλιν καταχρυσȣ̃ντας καὶ καλλωπίζοντας, ὥσπερ ἀλαζόνα γυναῖκα, περιαπτομένην λίθȣς πολυτελεῖς, καὶ ἀγάλματα, καὶ ναȣ̀ς [2] χιλιοταλάντȣς. ἐδίδασκεν ȣ̃ν ὁ Περικλῆς τὸν δῆμον, ὅτι χρημάτων μὲν ȣ̓κ ὀφείλȣσι τοῖς συμμάχοις λόγον, προπολεμȣ̃ντες αὐτῶν, καὶ τȣ̀ς βαρβάρȣς ἀνείργοντες, ȣ̓χ ἵππον, ȣ̓ ναῦν, ȣ̓χ ὁπλίτην, ἀλλὰ χρήματα μόνον τελȣ́ντων· ἃ τῶν διδόντων ȣ̓κ ἔϛιν, ἀλλὰ τῶν λαμβανόντων, ἂν παρέχωσιν, ἀνθ' ὧν [3] λαμβάνȣσι. δεῖ δὲ, τῆς πόλεως κατεσκευασμένης ἱκανῶς τοῖς ἀναγκαίοις πρὸς τὸν πόλεμον, εἰς ταῦτα τὴν εὐπορίαν τρέπειν αὐτῆς, ἀφ' ὧν δόξα μὲν γιγνομένων [4] ἀΐδιος, εὐπορία δὲ γενομένων ἑτοίμη παρέσαι, παντοδαπῆς ἐργασίας φανείσης, καὶ ποικίλων χρειῶν, αἳ πᾶσαν μὲν τέχνην ἐγεί-

1 Ita Anon. dedit. Vulg. γȣ́τῳ.

2 Lapus perinde, ac si ναῦς esset scriptum, pro *templis naves* dedit.

3 V. B. 3. ἀνθ' ȣ̃.

4 Br. aptius visum est γεγενημένων; & postea γινομένων in præs. pro γενομ. — Posterius hoc habet V. & pro γιγνομένων dat γινομένων. R. vulgatum ordinem probavit & servavit, quamvis malit Plutarchum noluisse h. l. ineptire, verbisque ludere. Sensus ipse eo redit, ut Atheniensium ea tum dicat fuisse instituta, a quibus, dum fierent, gloria existeret immortalis, & a jam factis opulentia.

ἐγείρουσαι, πᾶσαν δὲ χεῖρα κινοῦσαι, σχεδὸν ὅλην ποιοῦσιν ἔμμισθον τὴν πόλιν, ἐξ αὐτῆς ἅμα κοσμουμένην καὶ τρεφομένην. τοῖς μὲν γὰρ ἡλικίαν ἔχουσι καὶ ῥώμην αἱ στρατεῖαι τὰς ἀπὸ τῶν κοινῶν εὐπορίας παρεῖχον· τὸν δ' ἀσύντακτον καὶ βάναυσον ὄχλον, οὔτ' ἄμοιρον εἶναι λημμάτων βουλόμενος, οὔτε λαμβάνειν ἀργὸν καὶ σχολάζοντα, μεγάλας κατασκευασμάτων ἐπιβολὰς, καὶ πολυτέχνους ὑποθέσεις ἔργων διατριβὴν ἐχόντων, ἐνέβαλε φέρων εἰς τὸν δῆμον, ἵνα μηδὲν ἧττον τῶν πλεόντων, καὶ φρουρούντων, καὶ στρατευομένων, τὸ οἰκουροῦν ἔχῃ πρόφασιν ἀπὸ τῶν δημοσίων ὠφελεῖσθαι καὶ μεταλαμβάνειν. ὅπου γὰρ ὕλη μὲν ἦν λίθος, χαλκὸς, ἐλέφας, χρυσὸς, ἔβενος, κυπάρισσος, αἱ δὲ ταύτην ἐκπονοῦσαι καὶ κατεργαζόμεναι τέχναι, τέκτονες, πλάσται, χαλκοτύποι, λιθουργοὶ [1], βαφεῖς, χρυσοῦ μαλακτῆρες, ἐλέφαντος, ζωγράφοι [2], ποικιλταὶ, τορευταί· πομποὶ δὲ τούτων καὶ κομιστῆρες, ἔμποροι, καὶ ναῦται, καὶ κυβερνῆται [3] κατὰ θάλατταν· οἱ δὲ κατὰ γῆν, ἁμαξοπηγοὶ, καὶ ζευγοτρόφοι, καὶ ἡνίοχοι, καὶ καλωστρόφοι, καὶ ληκυθουργοὶ [4], καὶ σκυτοτόμοι, καὶ ὁδοποιοὶ, καὶ μεταλ-

1 Anon. λινουργοὶ, quam lectionem Xyl. ad repetitionem vocis λιθουργοὶ, in vulg. paulo infra factam, male transtulit.

2 Xylandro vox ἐλέφαντος suspecta fuit, neque μαλακτῆρες ad id repeti posse putavit. Conjecit, deesse γλύπται, aut legendum esse ἐλεφαντογλύφοι. R. ita legendum videbatur χρυσουργοὶ, vel potius χρυσοχόοι, aurifabri, μαλακτῆρες ἐλέφαντος, qui ebur molle & ductile reddunt, ζωγράφοι, pictores — vel χρυσοῦ μαλακτῆρες καὶ ἐλέφαντος, qui aurum tenuissimas in bracteolas contundunt, & in subtilissima fila extrahunt, item qui ebur pellucidas in tabellas concidunt — vel χρυσοῦ μαλακτῆρες, Goldschläger und Golddratzieher, ἐλέφαντος ζωγράφοι, qui in ebore pingunt encausto.

3 duo vocabula καὶ κυβερν. R. e Junt. & Ald. addidit. Easd. exhibet Ed. Frst.

4 Hanc vocem dedit R. de suo pro vulg. λιθουργοὶ (quam Xyl.

ταλλεῖς· ἑκάστη δὲ τέχνη, καθάπερ στρατηγὸς, ἴδιον στράτευμα, τὸν θητικὸν ὄχλον καὶ ἰδιώτην συντεταγμένον εἶχεν, ὄργανον καὶ σῶμα τῆς ὑπηρεσίας γινόμενον· εἰς πᾶσαν, ὡς ἔπος εἰπεῖν, ἡλικίαν καὶ φύσιν αἱ χρεῖαι διένεμον καὶ διέσπειρον τὴν εὐπορίαν.

XIII. Ἀναβαινόντων δὲ τῶν ἔργων, ὑπερηφάνων μὲν μεγέθει, μορφῇ δ' ἀμιμήτων καὶ χάριτι, τῶν δημιουργῶν ἁμιλλωμένων ὑπερβαλέσθαι τὴν δημιουργίαν τῇ καλλιτεχνίᾳ, μάλιστα θαυμάσιον ἦν τὸ τάχος. ὧν γὰρ ἕκαστον [1] ᾤοντο πολλαῖς διαδοχαῖς καὶ ἡλικίαις μόλις ἐπὶ τέλος ἀφίξεσθαι, ταῦτα πάντα μιᾶς ἀκμῇ πολιτείας ἐλάμβανε τὴν συντέλειαν. καίτοι τότε [2] φασὶν Ἀγαθάρχου τοῦ ζωγράφου μέγα φρονοῦντος ἐπὶ τῷ ταχὺ καὶ ῥᾳδίως τὰ ζῶα ποιεῖν, ἀκούσαντα τὸν Ζεῦξιν εἰπεῖν· Ἐγὼ δ' ἐν πολλῷ χρόνῳ. ἡ γὰρ ἐν τῷ ποιεῖν εὐχέρεια καὶ ταχύτης οὐκ ἐντίθησι βάρος ἔργῳ μόνιμον, οὐδὲ κάλλους ἀκρίβειαν· ὁ δ' εἰς τὴν γένεσιν τῷ πόνῳ προδανεισθεὶς χρόνος, ἐν τῇ σωτηρίᾳ τοῦ γενομένου τὴν ἰσχὺν ἀποδίδωσιν. ὅθεν καὶ μᾶλλον θαυμάζεται τὰ Περικλέους ἔργα πρὸς πολὺν χρόνον ἐν ὀλίγῳ γενόμενα. κάλλει μὲν γὰρ ἕκαστον εὐθὺς ἦν τότε ἀρχαῖον, ἀκμῇ δὲ μέχρι νῦν πρόσφατόν ἐστι καὶ νεουργόν· οὕτως ἐπανθεῖ τις καινότης ἀεὶ [3] ἄθικτον ὑπὸ τοῦ χρόνου διατηροῦσα τὴν ὄψιν, ὥσπερ ἀειθαλὲς πνεῦμα καὶ ψυχὴν ἀγήρω καταμεμιγμένην τῶν ἔργων ἐχόντων. πάντα δὲ διεῖπε καὶ πάντων ἐπίσκοπος ἦν αὐτῷ Φειδίας, καίτοι μεγάλους

Xyl. uti ſupra annotatum eſt, cum λινουργοὶ mutaverat) — qui lecythos faciunt & vendunt, h. e. ampullas ſcorteas oleo ſervando, ad uſum balnearum & in itineribus. *Schirach* retinet lect. vulg. vertitque Steinbrecher, & ſupra Steinſchneider.

1 Ita & Anon. — alii ἕκαστος, ut Junt. & Ald.

2 Cum Zeuxis non eo tempore claruerit, Xyl. legendum putat ποτέ. Pro Ζεῦξιν V. dat Ζεύξιππον.

3 B. 3. Junt. ἀεὶ Ἰη.

γάλȣς ἀρχιτέκτονας ἐχόντων. καὶ τεχνίτας τῶν ἔργων [1]. τὸν μὲν γὰρ ἑκατόμπεδον Παρθενῶνα Καλλικράτης εἰργάζετο καὶ Ἰκτῖνος, τὸ δ' ἐν Ἐλευσῖνι τελεστήριον ἤρξατο μὲν Κόροιβος οἰκοδομεῖν, καὶ τȣς ἐπ' ἐδάφȣς κίονας ἔθηκεν ȣ̃τος, καὶ τοῖς ἐπιστυλίοις ἐπέζευξεν· ἀποθανόντος δὲ τȣ́τȣ, Μεταγένης ὁ Ξυπέτιος, τὸ διάζωμα καὶ τȣς ἄνω κίονας ἐπέστησε· τὸ δ' ὀπαῖον ἐπὶ τȣ̃ Ἀνακτόρȣ Ξενοκλῆς ὁ Χολαργεὺς ἐκορύφωσε· τὸ δὲ Μακρὸν τεῖχος, περὶ ȣ̃ Σωκράτης ἀκȣ̃σαί φησιν αὐτὸς εἰσηγȣμένȣ γνώμην Περικλέȣς, ἠργολάβησε Καλλικράτης. κωμῳδεῖ δὲ [2] τὸ ἔργον Κρατῖνος ὡς βραδέως περαινόμενον·

> Πάλαι γὰρ αὐτὸ (φησὶ) λόγοισι [3] προάγει Περικλέης,
> Ἔργοισι δ' ȣ̓δὲ κινεῖ.

Τὸ δ' Ὠδεῖον, τῇ μὲν ἐντὸς διαθέσει πολύεδρον καὶ πολύστυλον, τῇ δ' ἐρέψει περικλινὲς καὶ κάταντες ἐκ μιᾶς κορυφῆς [4] πεποιημένον, εἰκόνα λέγȣσι γενέσθαι καὶ μίμημα τῆς βασιλέως σκηνῆς, ἐπιστατȣ̃ντος καὶ τȣ́τῳ Περικλέȣς. διὸ καὶ πάλιν Κρατῖνος ἐν Θρᾴτταις παίζει πρὸς αὐτόν·

> Ὁ σχινοκέφαλος Ζεὺς ὅδε προσέρχεται
> Περικλέης, τᾠδεῖον ἐπὶ τȣ̃ κρανίȣ
> Ἔχων, ἐπειδὴ τȣ́στρακον παροίχεται.

Φιλοτιμȣ́μενος δ' ὁ Περικλῆς τότε πρῶτα [5] ἐψηφίσατο μȣσικῆς ἀγῶνα τοῖς Παναθηναίοις ἄγεσθαι, καὶ διέταξεν αὐτὸς

1 Bene obſervat R. hanc quoque ſententiam in eadem verba exire — ἐχόντων, ἔργων — in quæ proxima ſuperior exibat, & miratur hanc ſimilitudinem in tanta vicinitate.

2 deeſt B. 3. hæc partic.

3 B. 3. Junt. λόγοις. Seq. προάγει dedit R. pro vulg. προσάγει.

4 V. ὀροφῆς.

5 R. mavult πρῶτον adverb. — tunc primum.

αὐτὸς ἀθλοθέτης αἱρεθεὶς, καθότι χρὴ τȣς ἀγωνιζομένȣς αὐλεῖν, ἢ ᾄδειν, ἢ κιθαρίζειν. ἐθεῶντο δὲ καὶ τότε καὶ τὸν ἄλλον χρόνον ἐν Ὠδείῳ τȣς μȣσικȣς ἀγῶνας. τὰ δὲ Προπύλαια τῆς ἀκροπόλεως ἐξειργάσθη μὲν ἐν πενταετίᾳ, Μνησικλέȣς ἀρχιτεκτονȣ̃ντος. τύχη δὲ θαυμαστὴ συμβᾶσα περὶ τὴν οἰκοδομίαν ἐμήνυσε τὴν Θεὸν ȣ̓κ ἀποστατȣ̃σαν, ἀλλὰ συνεφαπτομένην τȣ̃ ἔργȣ καὶ συνεπιτελȣ̃σαν. ὁ γὰρ ἐνεργότατος καὶ προθυμότατος τῶν τεχνιτῶν, ἀποσφαλεὶς ἐξ ὕψȣς ἔπεσε, καὶ διέκειτο μοχθηρῶς, ὑπὸ τῶν ἰατρῶν ἀπεγνωσμένος. ἀθυμȣ̃ντος δὲ τȣ̃ Περικλέȣς, ἡ Θεὸς ὄναρ φανεῖσα συνέταξε θεραπείαν, ᾗ χρώμενος ὁ Περικλῆς, ταχὺ καὶ ῥᾳδίως ἰάσατο τὸν ἄνθρωπον. ἐπὶ τȣ́τῳ δὲ καὶ τὸ χαλκȣ̃ν ἄγαλμα τῆς Ὑγείας Ἀθηνᾶς ἀνέστησεν ἐν ἀκροπόλει παρὰ τὸν βωμὸν, ὃς καὶ πρότερον ἦν, ὡς λέγȣσιν. ὁ δὲ Φειδίας εἰργάζετο μὲν τῆς Θεȣ̃ τὸ χρυσȣ̃ν ἕδος, καὶ τȣ́τȣ δημιȣργὸς ἐν τῇ στήλῃ εἶναι γέγραπται· πάντα δ' ἦν σχεδὸν ἐπ' αὐτῷ, καὶ πᾶσιν, ὡς εἰρήκαμεν, ἐπεστάτει [1] τοῖς τεχνίταις διὰ φιλίαν Περικλέȣς. καὶ τȣ̃το τῷ μὲν φθόνον, τῷ δὲ βλασφημίαν ἤνεγκεν, ὡς ἐλευθέρας τῷ Περικλεῖ γυναῖκας εἰς τὰ ἔργα φοιτώσας ὑποδεχομένȣ τȣ̃ Φειδίȣ. δεξάμενοι δὲ τὸν λόγον οἱ κωμικοὶ, πολλὴν ἀσέλγειαν αὐτȣ̃ κατεσκέδασαν, εἴς τε τὴν Μενίππȣ γυναῖκα διαβάλλοντες, ἀνδρὸς φίλȣ καὶ ὑποστρατηγȣ̃ντος· εἴς τε τὰς Πυριλάμπȣς ὀρνιθοτροφίας, ὃς ἑταῖρος ὢν Περικλέȣς, αἰτίαν εἶχε ταῶνας ὑφιέναι ταῖς γυναιξὶν, αἷς ὁ Περικλῆς ἐπλησίαζε. καὶ τί ἄν τις ἀνθρώπȣς σατυρικȣς τοῖς βίοις, καὶ τὰς κατὰ τῶν κρειττόνων βλασφημίας ὥσπερ δαίμονι κακῷ, τῷ φθόνῳ τῶν πολλῶν, ἀποθύοντας ἑκάστοτε θαυμάσειεν, ὅπȣ καὶ Στησίμβροτος ὁ Θάσιος δεινὸν ἀσέβη-

1 Hanc lectionem restituit R, e Junt, & Ald. pro vulg. ἐπιστάτει.

ἀσέβημα καὶ μυθῶδες ἐξενεγκεῖν ἐτόλμησεν εἰς τὴν γυναῖκα τοῦ υἱοῦ κατὰ τοῦ Περικλέους; οὕτως ἔοικε πάντη χαλεπὸν εἶναι καὶ δυσθήρατον ἱστορίᾳ τἀληθὲς, ὅταν οἱ μὲν ὕστερον γεγονότες τὸν χρόνον ἔχωσιν ἐπίπροσθεν ὄντα [1] τῇ γνώσει τῶν πραγμάτων· ἡ δὲ τῶν πράξεων καὶ τῶν βίων [2] ἡλικιῶτις ἱστορία, τὰ μὲν φθόνοις καὶ δυσμενείαις, τὰ δὲ χαριζομένη καὶ κολακεύουσα, λυμαίνηται καὶ διαστρέφῃ τὴν ἀλήθειαν.

XIV. Τῶν δὲ περὶ τὸν Θουκυδίδην ῥητόρων καταβοώντων τοῦ Περικλέους, ὡς σπαθῶντος τὰ χρήματα, καὶ τὰς προσόδους ἀπολλύντος, ἠρώτησεν ἐν ἐκκλησίᾳ τὸν δῆμον, εἰ πολλὰ δοκεῖ δεδαπανῆσθαι· φησάντων δὲ, πάμπολλα· Μὴ τοίνυν, εἶπεν, ὑμῖν, ἀλλ᾽ ἐμοὶ δεδαπανήσθω· καὶ τῶν ἀναθημάτων ἰδίαν ἐμαυτοῦ ποιήσομαι τὴν ἐπιγραφήν. εἰπόντος οὖν ταῦτα τοῦ Περικλέους, εἴτε τὴν μεγαλοφροσύνην αὐτοῦ θαυμάσαντες, εἴτε πρὸς τὴν δόξαν ἀντιφιλοτιμούμενοι τῶν ἔργων, ἀνέκραγον κελεύοντες ἐκ τῶν δημοσίων ἀναλίσκειν καὶ χορηγεῖν, μηδενὸς φειδόμενον. τέλος δὲ πρὸς τὸν Θουκυδίδην εἰς ἀγῶνα περὶ τοῦ ὀστράκου καταστὰς καὶ διακινδυνεύσας, ἐκεῖνον μὲν ἐξέβαλε, κατέλυσε δὲ τὴν ἀντιτεταγμένην ἑταιρείαν.

XV. Ὡς οὖν παντάπασι λυθείσης τῆς διαφορᾶς, καὶ τῆς πόλεως οἷον ὁμαλῆς καὶ μιᾶς γενομένης, κομιδῇ περιήνεγκεν εἰς ἑαυτὸν τὰς Ἀθήνας, καὶ τὰ τῶν Ἀθηναίων [3] ἐξηρτημένα πράγματα, φόρους, καὶ στρατεύματα, καὶ τριήρεις, καὶ νήσους, καὶ θάλασσαν, καὶ πολλὴν μὲν δι᾽ Ἑλλήνων, πολλὴν δὲ καὶ διὰ βαρβάρων ἥκου-

1 Teste H. Steph. etiam legitur ἐπιπροσθοῦντα, quod idem ab omnibus lubentius receptum iri putat.

2 B. 3. βιβλίων.

3 R. dubitat, utrum rectius sit, vulgatum Ἀθηναίων, an Ἀθηνῶν, genitiv. ab Ἀθῆναι.

ἦκουσαν ἰσχὺν καὶ ἡγεμονίαν, ὑπηκόοις ἔθνεσι, καὶ φιλίαις βασιλέων καὶ συμμαχίαις πεφραγμένην δυναστῶν· οὐκέθ' ὁ αὐτὸς ἦν, οὐδ' ὁμοίως χειροήθης τῷ δήμῳ καὶ ῥάδιος [1] ὑπείκειν καὶ συνενδιδόναι ταῖς ἐπιθυμίαις, ὥσπερ πνοαῖς, τῶν πολλῶν· ἀλλ' ἐκ τῆς ἀνειμένης ἐκείνης καὶ ὑποθρυπτομένης ἔνια [2] δημαγωγίας, ὥσπερ ἀνθηρᾶς καὶ μαλακῆς ἁρμονίας, ἀριστοκρατικὴν καὶ βασιλικὴν ἐντεινάμενος πολιτείαν, καὶ χρώμενος αὐτῷ πρὸς τὸ βέλτιστον ὀρθῷ καὶ ἀνεγκλήτῳ, τὰ μὲν πολλὰ βουλόμενον ἦγε πείθων καὶ διδάσκων τὸν δῆμον· ἦν δ' ὅτε καὶ μάλα δυσχεραίνοντα κατατείνων καὶ προσβιάζων, ἐχειροῦτο τῷ συμφέροντι, μιμούμενος ἀτεχνῶς ἰατρὸν ποικίλῳ νοσήματι καὶ μακρῷ, κατὰ καιρὸν μὲν ἡδονὰς εὐλαβεῖς [3], κατὰ καιρὸν δὲ δηγμοὺς καὶ φάρμακα προσφέροντα ἐπὶ σωτηρίᾳ [4]. παντοδαπῶν γὰρ, ὡς εἰκὸς, παθῶν ἐν ὄχλῳ τοσαύτην τὸ μέγεθος ἀρχὴν ἔχοντι φυομένων, μόνος ἐμμελῶς ἕκαστα διαχειρίσασθαι πεφυκὼς, μάλιστα δ' ἐλπίσι καὶ φόβοις, ὥσπερ οἴαξι, προαναστέλλων τὸ θρασυνόμενον αὐτῶν, καὶ τὸ δύσθυμον ἀνιεὶς καὶ παραμυθούμενος, ἔδειξε τὴν ῥητορικὴν κατὰ Πλάτωνα ψυχαγωγίαν οὖσαν, καὶ μέγιστον ἔργον αὐτῆς, τὴν περὶ τὰ ἤθη [5] καὶ πάθη μέθοδον, ὥσπερ τινὰς τόνους καὶ φθόγγους ψυχῆς, μάλ' ἐμμελοῦς ἀφῆς καὶ

1 Ita dedit Anon. Vulgo legitur ῥαδίως.

2 Mavult R. five εἰς five πρὸς addi, quarum una alterave faltim, vel etiam κατ' fubintelligendum eft.

3 R. fufp. ἡδ. ἀβλαβεῖς, lectionem vulg. tamen retinens & bene explicans per oblectationes cum cautione conjunctas, quas & medicus cautus & parca manu indulget, & æger fevera cum diligentia atque circumfpectione percipit.

4 Ita R. dedit de fuo. Vulgo προσφέροντα τῇ σωτηρίᾳ. B. 3. dat προσφέροντι. Junt. & Ald. προσφέρων. V. Anon. & B. 3. σωτήρια.

5 Junt. dat εἴδη.

καὶ κρίσεως δεομένυς. αἰτία δ' ὐχ ἡ τῦ λόγυ ψιλῶς δύναμις, ἀλλ' ὡς Θυκυδίδης Φησὶν, ἡ περὶ τὸν βίον δόξα καὶ πίϛις τῦ ἀνδρὸς, ἀδωροτάτυ περιΦανῶς γενομένυ, καὶ χρημάτων κρείτlονος· ὃς τὴν πόλιν ἐκ μεγάλης μεγίϛην καὶ πλυσιωτάτην ποιήσας, καὶ γενόμενος καὶ δυνάμει πολλῶν βασιλέων καὶ τυράννων ὑπέρτερος, ὧν ἔνιοι καὶ ἐπὶ τοῖς υἱέσι διέθεντο, ἐκεῖνος μιᾷ δραχμῇ μείζονα τὴν ὐσίαν ὐκ ἐποίησεν, ἧς ὁ πατὴρ αὐτῷ κατέλιπε.

XVI. Καίτοι τὴν δύναμιν αὐτῦ σαΦῶς μὲν ὁ Θυκυδίδης διηγεῖται, κακοήθως δὲ παρεμΦαίνυσιν οἱ κωμικοὶ, Πεισιϛρατίδας μὲν νέυς τὺς περὶ αὐτὸν ἑταίρυς καλῦντες, αὐτὸν δ' ἀπομόσαι μὴ τυραννήσειν [1] κελεύοντες, ὡς ἀσυμμέτρυ πρὸς δημοκρατίαν καὶ βαρυτέρας περὶ αὐτὸν ὔσης ὑπεροχῆς. ὁ δὲ Τηλεκλείδης παραδεδωκέναι Φησὶν αὐτῷ τὺς Ἀθηναίυς

Πόλεών τε Φόρυς, αὐτάς τε τὰς πόλεις [2], τὰς μὲν
δεῖν, τὰς δ' ἀναλύειν.
Λάϊνα τείχη, τὰ μὲν οἰκοδομεῖν, τὰ δὲ αὐτὰ πάλιν
καταβάλλειν,
Σπονδὰς, δύναμιν, κράτος, εἰρήνην, πλῦτόν τ',
εὐδαιμονίαν τε.

καὶ ταῦτα καιρὸς ὐκ ἦν, ὐδ' ἀκμὴ καὶ χάρις ἀνθύσης ἐΦ' ὥραν [3] πολιτείας, ἀλλὰ τεσσαράκοντα μὲν ἔτη πρωτεύων ἐν Ἐφιάλταις, καὶ Λεωκράταις, καὶ Μυρωνίδαις, καὶ Κίμωσι, καὶ Τολμίδαις, καὶ Θυκυδίδαις· μετὰ δὲ τὴν Θυκυδίδυ κατάλυσιν καὶ τὸν ὀϛρακισμὸν, ὐκ ἐλάτlω τῶν πεντεκαίδεκα ἐτῶν διήνεγκε, καὶ μίαν [4] ὖσαν

1 B. 3. τυραννήσαι.
2 Br. deleri vult τὰς ante πόλεις, quod etiam deest B. 3. — & in versu seq. legi τὰ δὲ κ' αὐτά. Pro hac voce αὐτὰ R. mavult αὐτὸν, si metrum sinat.
3 Ita dedit R. de suo pro vulg. ἐΦ' ὥρᾳ.
4 Pro hoc vocabulo V. μή.

ὅσαν ἐν ταῖς ἐνιαυσίοις ϛρατηγίαις ἀρχὴν καὶ δυναϛείαν κτησάμενος, ἐφύλαξεν ἑαυτὸν ἀνάλωτον ὑπὸ χρημάτων. καίπερ ἐ παντάπασιν ἀργῶς ἔχων πρὸς χρηματισμὸν, ἀλλὰ τὸν πατρῷον καὶ δίκαιον πλοῦτον, ὡς μήτ' ἀμελέμενος ἐκφύγοι, μήτε πολλὰ πράγματα καὶ διατριβὰς ἀσχολεμένῳ παρέχοι, συνέταξεν εἰς οἰκονομίαν, ἣν ᾤετο ῥάϛην καὶ ἀκριβεϛάτην εἶναι. τὰς γὰρ ἐπετείες καρπὰς ἅπαντας ἀθρόως [1] ἐπίπρασκεν, εἶτα τῶν ἀναγκαίων ἕκαϛον ἐξ ἀγορᾶς ὠνέμενος, διῴκει τὸν βίον καὶ τὰ περὶ τὴν δίαιταν. ὅθεν ἐχ ἡδὺς ἦν ἐνηλίκοις παισὶν, ἐδὲ γυναιξὶ δαψιλὴς χορηγὸς, ἀλλ' ἐμέμφοντο τὴν ἐφήμερον ταύτην καὶ συνηγμένην εἰς τὸ ἀκριβέϛατον δαπάνην, ἐδενὸς, οἷον ἐν οἰκίᾳ μεγάλῃ καὶ πράγμασιν ἀφθόνοις, περιῤῥέοντος, ἀλλὰ παντὸς μὲν ἀναλώματος, παντὸς δὲ λήμματος δι' ἀριθμὲ καὶ μέτρε βαδίζοντος. ὁ δὲ πᾶσαν αὐτῷ τὴν τοιαύτην συνέχων ἀκρίβειαν, εἷς ἦν οἰκέτης, Εὐάγγελος, ὡς ἕτερος ἐδεὶς εὖ πεφυκὼς, ἢ κατεσκευασμένος ὑπὸ τῦ Περικλέες πρὸς [2] οἰκονομίαν. ἅπαντα [3] μὲν ἐν ταῦτα τῆς Ἀναξαγόρε σοφίας, εἴγε καὶ τὴν οἰκίαν ἐκεῖνος ἐξέλιπε, καὶ τὴν χώραν ἀφῆκεν [4] ἀργὴν καὶ μηλόβοτον, ὑπ' ἐνθεσιασμῦ καὶ μεγαλοφροσύνης. ἐ ταὐτὸν δ' ἐϛὶν, οἶμαι, θεωρητικῦ φιλοσόφε καὶ πολιτικῦ βίος, ἀλλ' ὁ μὲν ἀνόργανον καὶ ἀπροσδεᾶ [5] τῆς ἐκτὸς ὕλης ἐπὶ τοῖς καλοῖς κινεῖ τὴν διάνοιαν, τῷ δ' εἰς ἀνθρωπείας χρείας ἀναμιγνύντι τὴν ἀρε-



1 V. ἀθρόες.

2 Ita dedit V. — Vulgo legitur εἰς.

3 Ex mente R. ſententia poſtulat ἀπάρτητα, quod idem eſt atque ἀπηρτημένα, disjuncta, ſeparata. Br. annotat, ſenſum requirere ταῦτα ἐ τῆς, niſi legas ἀπᾴδει pro ἅπαντα. Anon. dat ταῦτα ἐ πρὸς τῆς Ἀν. — Xylander: Senſus non eſt obſcurus, ſed mutilus in Græco locus, non varius.

4 Br. mavult ἀνῆκεν.

5 V. ἀπροσδεῆ.

ἀρετὴν, ἔστιν ὃ γένοιτ' ἂν ἐ τῶν ἀναγκαίων μόνον, ἀλλὰ καὶ τῶν[1] καλῶν ὁ πλοῦτος· ὥσπερ ἦν καὶ Περικλεῖ, βοηθοῦντι πολλοῖς τῶν πενήτων. καὶ μέντοιγε τὸν Ἀναξαγόραν αὐτὸν λέγουσιν, ἀσχολουμένου Περικλέους, ἀμελούμενον κεῖσθαι, συγκεκαλυμμένον ἤδη γηραιὸν ἀποκαρτεροῦντα· προσπεσόντος δὲ τῷ Περικλεῖ τοῦ πράγματος, ἐκπλαγέντα θεῖν εὐθὺς ἐπὶ τὸν ἄνδρα, καὶ δεῖσθαι πᾶσαν δέησιν, ὀλοφυρόμενον οὐκ ἐκεῖνον, ἀλλ' ἑαυτὸν, εἰ τοιοῦτον ἀπολεῖ τῆς πολιτείας σύμβουλον [1]. ἐκκαλυψάμενον οὖν τὸν Ἀναξαγόραν εἰπεῖν πρὸς αὐτόν· Ὦ Περίκλεις, καὶ οἱ τοῦ λύχνου χρείαν ἔχοντες ἔλαιον ἐπιχέουσιν.

XVII. Ἀρχομένων δὲ Λακεδαιμονίων ἄχθεσθαι τῇ αὐξήσει τῶν Ἀθηναίων, ἐπαίρων ὁ Περικλῆς τὸν δῆμον ἔτι μᾶλλον μέγα φρονεῖν, καὶ μεγάλων αὐτὸν ἀξιοῦν πραγμάτων, γράφει ψήφισμα, πάντας Ἕλληνας τοὺς ὁπήποτε [2] κατοικοῦντας Εὐρώπης, ἢ τῆς Ἀσίας, παρακαλεῖν, καὶ μικρὰν πόλιν καὶ μεγάλην, εἰς σύλλογον πέμπειν Ἀθήναζε τοὺς βουλευσομένους περὶ τῶν Ἑλληνικῶν ἱερῶν, ἃ κατέπρησαν οἱ βάρβαροι, καὶ τῶν θυσιῶν, ἃς ὀφείλουσιν ὑπὲρ τῆς Ἑλλάδος εὐξάμενοι τοῖς Θεοῖς, ὅτε πρὸς τοὺς βαρβάρους ἐμάχοντο, καὶ τῆς θαλάττης, ὅπως πλέωσι πάντες ἀδεῶς, καὶ τὴν εἰρήνην ἄγωσιν. ἐπὶ ταῦτα δ' ἄνδρες εἴκοσι τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων ἐπέμφθησαν, ὧν πέντε μὲν, Ἴωνας καὶ Δωριεῖς τοὺς ἐν Ἀσίᾳ, καὶ νησιώτας ἄχρι Λέσβου καὶ Ῥόδου παρεκάλουν· πέντε δὲ τοὺς ἐν Ἑλλησπόντῳ καὶ Θρᾴκῃ μέχρι Βυζαντίου τόπους ἐπῄεσαν, καὶ πέντε ἐπὶ τούτοις εἰς Βοιωτίαν καὶ Φωκίδα καὶ Πελοπόν-

1 B. 3. *σύμμαχον*. Sequens *ἐκκαλυψ.* vertit Xyl. reducta veste, ut ante *συγκεκαλυμμένον*, velato corpore. Lapus exspirantem verterat.

2 V. B. 3. *ὁποίποτε*.

πόννησον. ἐκ δὲ ταύτης, διὰ Λοκρῶν ἐπὶ τὴν πρόσοικον Ἤπειρον ἕως Ἀκαρνανίας καὶ Ἀμβρακίας ἀπεστάλησαν. οἱ δὲ λοιποὶ δι' Εὐβοίας ἐπ' Οἰταίους, καὶ τὸν Μαλιέα κόλπον, καὶ Φθιώτας, καὶ Ἀχαιοὺς, καὶ Θεσσαλοὺς ἐπορεύοντο, συμπείθοντες ἰέναι καὶ μετέχειν τῶν βουλευμάτων, ἐπ' εἰρήνῃ καὶ κοινοπραγίᾳ [1] τῆς Ἑλλάδος. ἐπράχθη δ' οὐδὲν, οὐδὲ συνῆλθον αἱ πόλεις, Λακεδαιμονίων ὑπεναντιωθέντων, ὡς λέγεται, καὶ τὸ πρῶτον ἐν Πελοποννήσῳ τῆς πείρας ἐλεγχθείσης. τοῦτο μὲν οὖν παρεθέμην ἐνδεικνύμενος αὐτοῦ τὸ Φρόνημα καὶ τὴν μεγαλοφροσύνην.

XVIII. Ἐν δὲ ταῖς στρατηγίαις εὐδοκίμει μάλιστα διὰ τὴν ἀσφάλειαν, οὔτε μάχης ἐχούσης πολλὴν ἀδηλότητα καὶ κίνδυνον ἑκουσίως ἁπτόμενος, οὔτε τοὺς ἐκ τοῦ παραβάλλεσθαι χρησαμένους τύχῃ λαμπρᾷ, καὶ θαυμασθέντας ὡς μεγάλους, ζηλῶν καὶ μιμούμενος στρατηγούς· ἀεί τε λέγων πρὸς τοὺς πολίτας, ὡς ὅσον ἐπ' αὐτῷ μενοῦσιν ἀθάνατοι πάντα τὸν χρόνον. ὁρῶν δέ Τολμίδην τὸν Τολμαίου διὰ τὰς πρότερον εὐτυχίας, καὶ διὰ τὸ τιμᾶσθαι διαφερόντως ἐκ τῶν πολεμικῶν, σὺν οὐδενὶ καιρῷ παρασκευαζόμενον εἰς Βοιωτίαν ἐμβαλεῖν, καὶ πεπεικότα τῶν ἐν ἡλικίᾳ τοὺς ἀρίστους καὶ φιλοτιμοτάτους ἐθελοντὶ στρατεύεσθαι, χιλίους γενομένους, ἄνευ τῆς ἄλλης δυνάμεως, κατέχειν ἐπειρᾶτο καὶ παρακαλεῖν ἐν τῷ δήμῳ, τὸ μνημονευόμενον εἰπὼν, ὡς, εἰ μὴ πείθοιτο Περικλεῖ, τόν γε σοφώτατον οὐχ ἁμαρτήσεται σύμβουλον ἀναμείνας χρόνον. τότε μὲν οὖν μετρίως εὐδοκίμησε τοῦτ' εἰπὼν, ὀλίγαις δ' ὕστερον ἡμέραις ὡς ἀνηγγέλθη τεθνεὼς μὲν αὐτὸς Τολμίδης, περὶ Κορώνειαν ἡττηθεὶς μάχῃ, τεθνεῶτες δὲ πολλοὶ καὶ ἀγαθοὶ τῶν πολιτῶν, μεγά-



1 Ita Br. legendum censuit cum Anon. & Dacer. ex Ms. pro vulg. καινοπραγίᾳ.

μεγάλην τῦτο τῷ Περικλεῖ μετ' εὐνοίας δόξαν ἤνεγκεν, ὡς ἀνδρὶ φρονίμῳ καὶ φιλοπολίτῃ.

XIX. Τῶν δὲ στρατηγιῶν ἠγαπήθη μὲν ἡ περὶ Χεῤῥόνησον αὐτῦ μάλιστα, σωτήριος γενομένη τοῖς αὐτόθι κατοικῦσι τῶν Ἑλλήνων. ὐ γὰρ μόνον ἐποίκυς Ἀθηναίων χιλίυς κομίσας ἔῤῥωσεν εὐανδρίᾳ τὰς πόλεις, ἀλλὰ καὶ τὸν αὐχένα διαζώσας ἐρύμασι καὶ προβλήμασιν ἐκ θαλάτ]ης εἰς θάλατ]αν, ἀπετείχισε τὰς καταδρομὰς τῶν Θρᾳκῶν περικεχυμένων τῇ Χεῤῥονήσῳ· καὶ πόλεμον ἐνδελεχῆ καὶ βαρὺν ἐξέκλεισεν, ᾧ συνείχετο πάντα τὸν χρόνον ἡ χώρα, βαρβαρικαῖς ἀναμεμιγμένη γειτνιάσεσι, καὶ γέμυσα λῃστηρίων ὁμόρων καὶ συνοίκων. ἐθαυμάσθη δὲ καὶ διεβοήθη πρὸς τὺς ἐκ]ὸς ἀνθρώπυς, περιπλεύσας Πελοπόννησον, ἐκ Πηγῶν τῆς Μεγαρικῆς ἀναχθεὶς ἑκατὸν τριήρεσιν. ὐ γὰρ μόνον ἐπόρθησε τῆς παραλίας [1] πόλεις, ὡς Τολμίδης πρότερον, ἀλλὰ καὶ πόῤῥω θαλάτ]ης προελθὼν, τοῖς ἀπὸ τῶν νεῶν ὁπλίταις τὺς μὲν ἄλλυς εἰς τὰ τείχη συνέστειλε, δείσαντας αὐτῦ τὴν ἔφοδον, ἐν δὲ Νεμέᾳ Σικυωνίυς ὑποστάντας καὶ συνάψαντας μάχην, κατὰ κράτος τρεψάμενος, ἔστησε τρόπαιον. ἐκ δ' Ἀχαΐας, φίλης ὔσης, στρατιώτας ἀναλαβὼν εἰς τὰς τριήρεις, ἐπὶ τὴν ἀντιπέρας Ἤπειρον ἐκομίσθη τῷ στόλῳ, καὶ παραπλεύσας τὸν Ἀχελῷον, Ἀκαρνανίαν κατέδραμε· καὶ κατέκλεισεν Οἰνεάδας εἰς τὸ τεῖχος, καὶ τεμὼν τὴν γῆν καὶ κακώσας, ἀπῆρεν ἐπ' οἴκυ· φοβερὸς μὲν φανεὶς τοῖς πολεμίοις, ἀσφαλὴς δὲ καὶ δραστήριος τοῖς πολίταις. ὐδὲν γὰρ ὐδ' ἀπὸ τύχης πρόσκρυσμα συνέβη περὶ τὺς στρατευομένυς.

XX. Εἰς δὲ τὸν Πόντον εἰσπλεύσας στόλῳ μεγάλῳ καὶ κεκοσμημένῳ λαμπρῶς, ταῖς μὲν Ἑλληνίσι πόλεσιν,

1 Ita R. dedit e Junt. Ald. & B. 3. pro vulg. παραλίυ — oppida quædam regionis in Peloponneso mari aſſitæ. Anon. τὰς παραλίας. Pro πόλεις B. 3. πόλιν.

λεσιν, ὧν ἐδέοντο, διεπράξατο, καὶ προσηνέχθη φιλανθρώπως· τοῖς δὲ περιοικοῦσι βαρβάροις ἔθνεσι, καὶ βασιλεῦσιν αὐτῶν καὶ δυνασαῖς ἐπεδείξατο μὲν τῆς δυνάμεως τὸ μέγεθος, καὶ τὴν ἄδειαν, καὶ τὸ θάρσος, ᾗ βούλοιντο, πλεόντων, καὶ πᾶσαν ὑφ' αὐτοῖς πεποιημένων τὴν θάλασσαν. Σινωπεῦσι δὲ τρισκαίδεκα ναῦς ἀπέλιπε μετὰ Λαμάχου, καὶ σρατιώτας ἐπὶ Τιμησίλεων τύραννον. ἐκπεσόντος δὲ τούτου καὶ τῶν ἑταίρων, ἐψηφίσατο πλεῖν εἰς Σινώπην Ἀθηναίων ἐθελοντὰς ἑξακοσίους, καὶ συγκατοικεῖν Σινωπεῦσι, νειμαμένους οἰκίας [1] καὶ χώραν, ἣν πρότερον οἱ τύραννοι κατεῖχον. τἄλλα δ' οὐ συνεχώρει ταῖς ὁρμαῖς τῶν πολιτῶν, οὐδὲ συνεξέπιπτεν, ὑπὸ ῥώμης καὶ τύχης τοσαύτης ἐπαιρομένων Αἰγύπτου τε πάλιν ἀντιλαμβάνεσθαι, καὶ κινεῖν τῆς βασιλέως ἀρχῆς τὰ πρὸς θαλάσσῃ. πολλοὺς δὲ καὶ Σικελίας ὁ δύσερως ἐκεῖνος ἤδη καὶ δύσποτμος ἔρως εἶχεν, ὃν ὕσερον ἐξέκαυσαν οἱ περὶ τὸν Ἀλκιβιάδην ῥήτορες. ἦν δὲ καὶ Τυῤῥηνία καὶ Καρχηδὼν ἐνίοις ὄνειρος, οὐκ ἀπ' ἐλπίδος, διὰ τὸ μέγεθος τῆς ὑποκειμένης ἡγεμονίας, καὶ τὴν εὔροιαν τῶν πραγμάτων.

XXI. Ἀλλ' ὁ Περικλῆς κατεῖχε τὴν ἐκδρομὴν ταύτην, καὶ περιέκοπτε τὴν πολυπραγμοσύνην· καὶ τὰ πλεῖσα τῆς δυνάμεως ἔτρεπεν εἰς φυλακὴν καὶ βεβαιότητα τῶν ὑπαρχόντων, μέγα ἔργον ἡγούμενος ἀνείργειν Λακεδαιμονίους, καὶ ὅλως ὑπεναντιούμενος ἐκείνοις, ὡς ἄλλοις τε πολλοῖς ἔδειξε, καὶ μάλισα τοῖς περὶ τὸν ἱερὸν πραχθεῖσι πόλεμον. ἐπεὶ γὰρ οἱ Λακεδαιμόνιοι σρατεύσαντες εἰς Δελφοὺς, Φωκέων ἐχόντων τὸ ἱερὸν, Δελφοῖς ἀπέδωκαν, εὐθὺς ἐκείνων ἀπαλλαγέντων, ὁ Περικλῆς ἐπισρατεύσας, πάλιν εἰσήγαγε τοὺς Φωκέας.



1 Junt. in sing. *οἰκίαν*. Per tyrannos, de quibus paulo post mentio fit, intelligit Plutarchus Timosileon cum liberis atque necessariis & familiaribus.

καὶ τῶν Λακεδαιμονίων, ἣν ἔδωκαν αὐτοῖς Δελφοὶ προμαντείαν, εἰς τὰ μέτωπον ἐγκολαψάντων [1] τῦ χαλκῦ λύκυ, λαβὼν καὶ αὐτὸς προμαντείαν τοῖς Ἀθηναίοις, εἰς τὸν αὐτὸν λύκον κατὰ τὴν δεξιὰν πλευρὰν ἐνεχάραξεν.

XXII. Ὅτι δ' ὀρθῶς ἐν τῇ Ἑλλάδι τὴν δύναμιν τῶν Ἀθηναίων συνεῖχεν, ἐμαρτύρησεν αὐτὰ [2] τὰ γενόμενα. πρῶτον μὲν γὰρ Εὐβοεῖς ἀπέστησαν, ἐφ' ὓς διέβη μετὰ δυνάμεως. εἶτ' εὐθὺς ἀπηγγέλλοντο Μεγαρεῖς ἐκπεπολεμωμένοι [3], καὶ στρατιὰ πολεμίων ἐπὶ τοῖς ὅροις τῆς Ἀττικῆς ὖσα, Πλειστώνακτος ἡγυμένυ, βασιλέως Λακεδαιμονίων. πάλιν ὖν ὁ Περικλῆς κατὰ τάχος ἐκ τῆς Εὐβοίας ἀνεκομίζετο πρὸς τὸν ἐν τῇ Ἀττικῇ πόλεμον· καὶ συνάψαι μὲν εἰς χεῖρας ὐκ ἐθάρσησε πολλοῖς καὶ ἀγαθοῖς ὁπλίταις προκαλυμένοις· ὁρῶν δὲ τὸν Πλειστώνακτα νέον ὄντα κομιδῇ, χρώμενον δὲ μάλιστα Κλεανδρίδῃ τῶν συμβόλων, ὃν οἱ ἔφοροι φύλακα καὶ πάρεδρον αὐτῷ διὰ τὴν ἡλικίαν συνέπεμψαν, ἐπειρᾶτο τύτυ κρύφα· καὶ ταχὺ διαφθείρας χρήμασιν αὐτὸν, ἔπεισεν ἐκ τῆς Ἀττικῆς ἀπαγαγεῖν τὺς Πελοποννησίυς. ὡς δ' ἀπεχώρησεν ἡ στρατιὰ καὶ διελύθη κατὰ πόλεις, βαρέως φέροντες οἱ Λακεδαιμόνιοι, τὸν μὲν βασιλέα χρήμασιν ἐζημίωσαν, ὧν τὸ πλῆθος ὐκ ἔχων ἐκτῖσαι, μετέστησεν ἑαυτὸν ἐκ Λακεδαίμονος· τῦ δὲ Κλεανδρίδυ φεύγοντος θάνατον κατέγνωσαν. ὖτος δ' ἦν πατὴρ Γυλίππυ, τῦ περὶ Σικελίαν Ἀθηναίυς καταπολεμήσαντος. ἔοικε δ' ὥσπερ συγγενικὸν αὐτῷ προστρίψασθαι νόσημα τὴν φιλαργυρίαν ἡ φύσις, ὑφ' ἧς καὶ αὐτὸς αἰσχρῶς ἐπὶ κακοῖς ἔργοις ἁλὺς, ἐξέπεσε τῆς Σπάρ-

1 V. ἐκκοψάντων; & pro seq. λύκυ idem κύκλυ.

2 Br. magis placuit αὐτῷ ex B. 3.

3 Ita R. dedit secundum Anon. pro vulg. ἐκπεπολεμημένοι.

Σπάρτης. ταῦτα μὲν ἐν ἐν τοῖς περὶ Λυσάνδρε δεδηλώκαμεν.

XXIII. Τε δὲ Περικλέες ἐν τῷ τῆς στρατηγίας ἀπολογισμῷ δέκα ταλάντων ἀνάλωμα γράψαντος, ἀνηλωμένων εἰς τὸ δέον, ὁ δῆμος ἀπεδέξατο, μὴ πολυπραγμονήσας, μηδ' ἐλέγξας τὸ ἀπόῤῥητον. ἔνιοι δ' ἱστορήκασιν, ὧν ἐστι καὶ Θεόφραστος ὁ φιλόσοφος, ὅτι καθ' ἕκαστον ἐνιαυτὸν εἰς τὴν Σπάρτην ἐφοίτα δέκα τάλαντα παρὰ τε Περικλέες, οἷς τὲς ἐν τέλει πάντας θεραπεύων, παρῃτεῖτο τὸν πόλεμον, ἐ τὴν εἰρήνην ὠνέμενος, ἀλλὰ τὸν χρόνον, ἐν ᾧ παρασκευασάμενος καθ' ἡσυχίαν, ἔμελλε πολεμήσειν βέλτιον. εὐθὺς ἐν ἐπὶ τὲς ἀφεστῶτας τραπόμενος, καὶ διαβὰς εἰς Εὔβοιαν, πεντήκοντα ναυσὶ καὶ πεντακισχιλίοις ὁπλίταις κατεστρέψατο τὰς πόλεις. καὶ Χαλκιδέων μὲν [1] τὲς ἱπποβότας λεγομένες, πλέτῳ καὶ δόξῃ διαφέροντας, ἐξέβαλεν· Ἑστιαιεῖς δὲ πάντας ἀναστήσας ἐκ τῆς χώρας, Ἀθηναίες κατῴκισε· μόνοις τέτοις [2] ἀπαραιτήτως χρησάμενος, ὅτι ναῦν Ἀττικὴν αἰχμάλωτον λαβόντες, ἀπέκτειναν τὲς ἄνδρας.

XXIV. Ἐκ τέτε γενομένων σπονδῶν Ἀθηναίοις καὶ Λακεδαιμονίοις εἰς ἔτη τριάκοντα, ψηφίζεται τὸν εἰς Σάμον πλεν, αἰτίαν ποιησάμενος κατ' αὐτῶν, ὅτι τὸν πρὸς Μιλησίες κελευόμενοι διαλύσασθαι πόλεμον, ἐχ ὑπήκεον. ἐπεὶ δ' Ἀσπασίᾳ χαριζόμενος δοκεῖ πρᾶξαι τὰ πρὸς Σαμίες, ἐνταῦθ' ἂν εἴη καιρὸς διαπορῆσαι μάλιστα περὶ τῆς ἀνθρώπε, τίνα τέχνην, ἢ δύναμιν τοσαύτην ἔχεσα, τῶν τε πολιτικῶν τὲς πρωτεύοντας ἐχειρώσατο, καὶ τοῖς φιλοσόφοις ἐ φαῦλον, ἐδ' ὀλίγον



1 Ita legendum cenſuit Br., & dedit R. pro vulg. δὲ, cum Ἑστιαιεῖς δὲ ſequatur.

2 Hunc verborum ordinem dedit R. — Vulg. Ἀθηναίες μόνες κατῴκισε, τέτοις.

ὑπὲρ αὐτῆς παρέχε λόγον. ὅτι μὲν γὰρ ἦν Μιλησία γένος, Ἀξιόχυ θυγάτηρ, ὁμολογεῖται. φασὶ δ' αὐτὴν Θαργηλίαν τινὰ τῶν παλαιῶν Ἰάδων ζηλώσασαν, ἐπιθέθαι τοῖς δυνατωτάτοις ἀνδράσι. καὶ γὰρ ἡ Θαργηλία, τό τ' εἶδος εὐπρεπὴς γενομένη, καὶ χάριν ἔχυσα μετὰ δεινότητος, πλείςοις μὲν Ἑλλήνων συνῴκησεν ἀνδράσι, πάντας δὲ προσεποίησε βασιλεῖ τὺς πλησιάσαντας αὐτῇ, καὶ ταῖς πόλεσι μηδισμῦ δι' ἐκείνων ὑπέσπειρεν ἀρχὰς, δυνατωτάτων ὄντων καὶ μεγίςων. τὴν δ' Ἀσπασίαν οἱ μὲν ὡς σοφήν τινα καὶ πολιτικὴν ὑπὸ τῦ Περικλέυς σπυδαθῆναι λέγυσι. καὶ γὰρ Σωκράτης ἔςιν ὅτε μετὰ τῶν γνωρίμων ἐφοίτα, καὶ τὰς γυναῖκας ἀκροασομένας οἱ συνήθεις ἦγον ὡς αὐτὴν [1], καίπερ ὐ κοσμίυ προεςῶσαν ἐργασίας, ὐδὲ σεμνῆς, ἀλλὰ παιδίσκας ἑταιρύσας τρέφυσαν. Αἰσχίνης δέ φησι, καὶ Λυσικλέα, τὸν προβατοκάπηλον, ἐξ ἀγενῦς καὶ ταπεινῦ τὴν φύσιν, Ἀθηναίων γενέθαι πρῶτον, Ἀσπασίᾳ συνόντα μετὰ τὴν Περικλέυς τελευτήν. ἐν δὲ τῷ Μενεξένῳ τῷ Πλάτωνος, εἰ καὶ μετὰ παιδιᾶς τὰ πρῶτα γέγραπται, τοσῦτόν γ' ἱςορίας ἔνεςιν, ὅτι δόξαν εἶχε τὸ γύναιον ἐπὶ ῥητορικῇ πολλοῖς Ἀθηναίων ὁμιλεῖν. φαίνεται μέντοι μᾶλλον ἐρωτική τις ἡ τῦ Περικλέυς ἀγάπησις γενομένη πρὸς Ἀσπασίαν. ἦν μὲν γὰρ αὐτῷ γυνὴ προσήκυσα μὲν κατὰ γένος, συνῳκηκυῖα δ' Ἱππονίκῳ πρότερον, ἐξ ὗ Καλλίαν ἔτεκε τὸν πλύσιον· ἔτεκε δὲ καὶ παρὰ τῷ Περικλεῖ Ξάνθιππον καὶ Πάραλον. εἶτα τῆς συμβιώσεως ὐκ ὔσης αὐτοῖς ἀρεςῆς, ἐκείνην μὲν ἑτέρῳ βυλομένην συνεξέδωκεν, αὐτὸς δὲ τὴν Ἀσπασίαν λαβὼν, ἔςερξε διαφερόντως. καὶ γὰρ ἐξιὼν, ὥς φασι, καὶ εἰσιὼν ἀπ' ἀγορᾶς, ἠσπάζετο καθ' ἡμέραν αὐτὴν μετὰ

1 R. *ὡς* suffecit cum V. in locum *εἰς*, quod dant Vulg. — Xyl. vertit: & mulieres ad eam audiendam mittere solebant propinqui aut parentes, & annotat: Locus in Græco est mancus: divinavi igitur.

μετὰ τȢ καταφιλεῖν. ἐν δὲ ταῖς κωμῳδίαις 'Ομφάλη τε νέα καὶ Δηϊάνειρα καὶ πάλιν Ἥρα προσαγορεύεται. Κρατῖνος δ' ἄντικρυς παλλακὴν αὐτὴν εἴρηκεν ἐν τȢτοις·

— Ἥραν τε οἱ Ἀσπασίαν τίκτει,
Καὶ καταπυγοσύνηῦ παλλακὴν κυνώπιδα.

δοκεῖ δὲ καὶ τὸν νόθον ἐκ ταύτης τεκνῶσαι, περὶ Ȣ πεποίηκεν Εὔπολις ἐν Δημοσίοις [1] αὐτὸν μὲν Ȣτως ἐρωτῶντα·

Ὁ νόθος δέ μοι ζῇ;

τὸν δὲ Πυρωνίδην ἀποκρινόμενον·

Καὶ πάλαι γ' ἂν ἦν ἀνὴρ,
Εἰ μὴ τὸ τῆς πόρνης ὑποῤῥώδει [2] κακόν.

Οὕτω δὲ τὴν Ἀσπασίαν ὀνομαςὴν καὶ κλεινὴν γενέϑαι λέγȢσιν, ὥςε καὶ Κῦρον τὸν πολεμήσαντα βασιλεῖ περὶ τῆς τῶν Περσῶν ἡγεμονίας, τὴν ἀγαπωμένην ὑπ' αὐτȢ μάλιςα τῶν παλλακίδων Ἀσπασίαν ὀνομάσαι, καλȢμένην Μιλτὼ πρότερον. ἦν δὲ Φωκαῒς τὸ γένος, ἙρμοτίμȢ θυγάτηρ· ἐν δὲ τῇ μάχῃ ΚύρȢ πεσόντος, ἀπαχθεῖσα πρὸς βασιλέα, πλεῖςον ἴσχυσε· καὶ [3] ταῦτα μὲν ἐπελθόντα τῇ μνήμῃ κατὰ τὴν γραφὴν, ἀπώσαϑαι καὶ παρελθεῖν, ἴσως ἀπάνθρωπον ἦν.

XXV. Τὸν δὲ πρὸς ΣαμίȢς πόλεμον αἰτιῶνται μάλιςα τὸν Περικλέα ψηφίσαϑαι διὰ ΜιλησίȢς, Ἀσπασίας δεηθείσης. αἱ γὰρ πόλεις ἐπολέμȢν τὸν περὶ Πριήνης πόλεμον· καὶ κρατȢντες οἱ Σάμιοι, παύσαϑαι τῶν Ἀθηναίων κελευόντων, καὶ δίκας λαβεῖν καὶ δȢναι παρ' αὐτοῖς, Ȣκ ἐπείθοντο. πλεύσας Ȣν ὁ Περικλῆς, τὴν μὲν Ȣσαν ὀλιγαρχίαν κατέλυσεν ἐν Σάμῳ· τῶν δὲ πρώτων λαβὼν ὁμήρȢς πεντήκοντα καὶ παῖδας ἴσȢς, εἰς Λῆμ-

1 Anon. Δήμοις. Et ita legendum cenſet Br. — uti ſupra.
2 B. 3. ὑπωῤῥώδει.
3 Hanc copulativam addidit R. de ſuo.

Λῆμνον ἀπέςειλε. καίτοι φασὶν, ἕκαςον μὲν αὐτῷ τῶν ὁμήρων διδόναι τάλαντον ὑπὲρ ἑαυτῦ, πολλὰ δ' ἄλλα τὺς μὴ θέλοντας ἐν τῇ πόλει γενέϑαι δημοκρατίαν. ἔτι δὲ Πισσύθνης ὁ Πέρσης, ἔχων τινὰ πρὸς Σαμίυς εὔνοιαν, ἀπέςειλεν αὐτῷ μυρίυς χρυσῦς, παραιτύμενος τὴν πόλιν. ὐ μὴν ἔλαβε τύτων ὐδὲν ὁ Περικλῆς, ἀλλὰ χρησάμενος, ὥσπερ ἐγνώκει, τοῖς Σαμίοις, καὶ καταςήσας δημοκρατίαν, ἀπέπλευσεν εἰς τὰς Ἀθήνας. οἱ δ' εὐθὺς ἀπέςησαν, ἐκκλέψαντος αὐτοῖς τὺς ὁμήρυς Πισσύθνυ, καὶ τἄλλα παρεσκευάσαντο πρὸς τὸν πόλεμον. αὖθις ὖν ὁ Περικλῆς ἐξέπλευσεν ἐπ' αὐτὺς, ὐχ ἡσυχάζοντας, ὐδὲ κατεπληχότας, ἀλλὰ καὶ πάνυ προθύμως ἐγνωκότας ἀντιλαμβάνεϑαι τῆς θαλάττης. γενομένης δὲ καρτερᾶς ναυμαχίας περὶ νῆσον, ἣν Τραγίας καλῦσι, λαμπρῶς ὁ Περικλῆς ἐνίκα τέσσαρσι καὶ τεσσαράκοντα ναυσὶν, ἑβδομήκοντα καταναυμαχήσας, ὧν εἴκοσι ςρατιώτιδες [1] ἦσαν.

XXVII. Ἅμα δὲ τῇ νίκῃ καὶ τῇ διώξει τῦ λιμένος κρατήσας, ἐπολιόρκει τὺς Σαμίυς, ἀμωσγέπως ἔτι τολμῶντας ἐπεξιέναι καὶ διαμάχεϑαι πρὸ τῦ τείχυς. ἐπεὶ δὲ μείζων ἕτερος ςόλος ἦλθεν ἐκ τῶν Ἀθηνῶν, καὶ παντελῶς κατεκλείσθησαν οἱ Σάμιοι, λαβὼν ὁ Περικλῆς ἑξήκοντα τριήρεις, ἔπλευσεν εἰς τὸν ἔξω πόντον· ὡς μὲν οἱ πλεῖςοι λέγυσι, Φοινισσῶν νεῶν ἐπικύρων

1 R. dubitat, quid per has naves ſit intelligendum, partim cum, ſi de ſeptuaginta navibus ſolæ viginti militibus armatis inſtructæ fuerunt, magnum ſane non ſit facinus claſſe 44. navium vincere aliam, viginti tantum naves habentem; partim cum non ſit conſentaneum, ceteras 50. naves ſolos nautas vexiſſe, potius unamquemque earum 70. navium cum nautis etiam claſſiarios. At ſi ratio aliqua habenda eſt explicationis, quam Interpr. Thucyd. de hac voce dat: ςρατιώτας ἔχυσαι τὺς μέλλοντας πεζομαχεῖν —, mihi quidem hic ſenſus, ſatis planus, & ad rem ipſam aptus, erui poſſe videtur: wovon zwanzig Schiffe mit Mannſchaft beſezt waren, die die Samier zu einer Expedition aufs Land beſtimmt hatten.

νέρων τοῖς Σαμίοις προσφερομένων, ἀπαντῆσαι καὶ διαγωνίσασθαι πορρωτάτω βȣλόμενος· ὡς δὲ Στησίμβροτος, ἐπὶ Κύπρον ϛελλόμενος· ὅπερ ȣ̓ δοκεῖ πιθανὸν εἶναι. ὁποτέρῳ δ' ȣ̓͂ν ἐχρήσατο τῶν λογισμῶν, ἁμαρτεῖν ἔδοξε. πλεύσαντος γὰρ αὐτȣ̃, Μέλισσος ὁ Ἰθαγένȣς, ἀνὴρ φιλόσοφος, ϛρατηγῶν τότε τῆς Σάμȣ, καταφρονήσας τῆς ὀλιγότητος τῶν νεῶν, ἢ τῆς ἀπειρίας τῶν ϛρατηγῶν, ἔπεισε τȣ̀ς πολίτας ἐπιθέσθαι τοῖς Ἀθηναίοις. καὶ γενομένης μάχης, νικήσαντες οἱ Σάμιοι, καὶ πολλȣ̀ς μὲν αὐτῶν ἄνδρας ἑλόντες, πολλὰς δὲ ναῦς διαφθείραντες [1], ἐχρῶντο τῇ θαλάσσῃ, καὶ παρετίθεντο τῶν ἀναγκαίων πρὸς τὸν πόλεμον, ὅσα μὴ πρότερον εἶχον. ὑπὸ δὲ τȣ̃ Μελίσσȣ καὶ Περικλέα φησὶν αὐτὸν Ἀριϛοτέλης ἡττηθῆναι, ναυμαχȣ̃ντα πρότερον. οἱ δὲ Σάμιοι τȣ̀ς αἰχμαλώτȣς τῶν Ἀθηναίων ἀνθυβρίζοντες, ἔϛιζον εἰς τὸ μέτωπον γλαῦκας [2]. καὶ γὰρ ἐκείνȣς οἱ Ἀθηναῖοι σάμαιναν. ἡ δὲ σάμαινα, ναῦς ἐϛιν ὑπόπρωρος μὲν τὸ σίμωμα [3], κοιλοτέρα δὲ καὶ γαϛροειδής, ὥϛε καὶ ποντοπορεῖν καὶ ταχυναυτεῖν. ȣ̔́τω δ' ὠνομάσθη διὰ τὸ πρῶτον ἐν Σάμῳ φανῆναι, Πολυκράτȣς τυράννȣ κατασκευάσαντος. πρὸς ταῦτα τὰ ϛίγματα λέγȣσι καὶ τὸ Ἀριϛοφάνειον ᾐνίχθαι·

Σαμίων ὁ δῆμός ἐϛιν ὡς πολυγράμματος!

XXVII. Πυθόμενος δ' ȣ̓͂ν ὁ Περικλῆς τὴν ἐπὶ ϛρατοπέδȣ συμφορὰν, ἐβοήθει κατὰ τάχος. καὶ τȣ̃ Μελίσσȣ

1 R. annotat ad h. l. — alium ſic fuiſſe locutum: πολλȣ̀ς μὲν αὐτάνδρȣς ἑλόντες ναῦς, πολλὰς δὲ διαφθείραντες. Poſt τῇ θαλάσσῃ ſubaudi ἐλευθέρᾳ.

2 Br. mavult in ſing. γλαῦκα; ut poſtea σάμαιναν.

3 B. 3. σήμωμα. R. ſuſp. ὑπόσιμος μὲν εἰς τὸ πρώρωμα, ſubſima, h. e. non nihil obtuſa, & introrſum repreſſa, quoad partes anteriores: Vorne am Schnabel etwas platt, wenig gekrümmt, und wenig zugeſpizt: quamquam paulo poſt annotat, ſe non videre, quomodo navis circa proram ſima poſſit celeriter & cum impetu undas findere.

λίσσε πρὸς αὐτὸν ἀντιταξαμένε κρατήσας, καὶ τρεψάμενος τὲς πολεμίες, εὐθὺς περιετείχιζε, δαπάνῃ καὶ χρόνῳ μᾶλλον, ἢ τραύμασι καὶ κινδύνοις τῶν πολιτῶν, περιγενέσθαι καὶ συνελεῖν τὴν πόλιν βελόμενος. ἐπεὶ δὲ δυσχεραίνοντας τῇ τριβῇ τὲς Ἀθηναίες, καὶ μάχεσθαι προθυμεμένες, ἔργον ἦν καταχεῖν, εἰς ὀκτὼ [1] μέρη διελὼν τὸ πᾶν πλῆθος, ἀπεκλήρε, καὶ τῷ λαβόντι [2] τὸν λευκὸν κύαμον εὐωχεῖσθαι καὶ σχολάζειν παρεῖχε, τῶν ἄλλων μαχομένων. διὸ καί φασι τὲς ἐν εὐπαθείαις τισὶ γενομένες, λευκὴν ἡμέραν ἐκείνην ἀπὸ τε λευκε κυάμε προσαγορεύειν. Ἔφορος δὲ καὶ μηχαναῖς χρήσασθαι τὸν Περικλέα, τὴν καινότητα θαυμάσαντα [3], Ἀρτέμωνος τε μηχανικε παρόντος, ὃν χωλὸν ὄντα, καὶ φορείῳ πρὸς τὰ κατεπείγοντα τῶν ἔργων προσκομιζόμενον, ὀνομασθῆναι Περιφόρητον. τετο μὲν ἐν Ἡρακλείδης ὁ Ποντικὸς ἐλέγχει τοῖς Ἀνακρέοντος ποιήμασιν, ἐν οἷς ὁ περιφόρητος Ἀρτέμων ὀνομάζεται, πολλαῖς ἔμπροσθεν ἡλικίαις τε περὶ Σάμον πολέμε, καὶ τῶν πραγμάτων ἐκείνων. τὸν δ' Ἀρτέμωνα φησὶ τρυφερὸν μέν τινα τῷ βίῳ, καὶ πρὸς τὲς φόβες μαλακὸν ὄντα καὶ καταπλῆγα, τὰ πολλὰ μὲν οἴκοι καθέζεσθαι, χαλκῆν ἀσπίδα τῆς κεφαλῆς αὐτε δυοῖν [4] οἰκετῶν ὑπερεχόντων, ὥςε μηδὲν ἐμπεσεῖν τῶν ἄνωθεν· εἰ δὲ βιασθείη προελθεῖν, ἐν κλινιδίῳ κρεμαςῷ παρὰ τὴν γῆν αὐτὴν περιφερόμενον [5] κομίζεσθαι, καὶ διὰ τετο κληθῆναι Περιφόρητον.

XXVIII.

1 Præpositionem de suo addidit R.

2 Br. suspic. λαχόντι.

3 R. explicat per τῇ καινότητι αὐτῶν θελχθέντα vel κηληθέντα. Pro seq. παρόντας mavult idem πορόντος, præbitas, præstitas, suppeditatas ab Artemone.

4 B. 3. δυεῖν.

5 V. B. 3. παραφερόμενον.

XXVIII. Ἐννάτῳ δὲ μηνὶ τῶν Σαμίων παραστάντων, ὁ Περικλῆς τὰ τείχη καθεῖλε, καὶ τὰς ναῦς παρέλαβε, καὶ χρήμασι πολλοῖς ἐζημίωσεν· ὧν τὰ μὲν εὐθὺς ἤνεγκαν οἱ Σάμιοι, τὰ δ' ἐν χρόνῳ ῥητῷ ταξάμενοι κατοίσειν, ὁμήρους ἔδωκαν. Δοῦρις δ' ὁ Σάμιος τούτοις ἐπιτραγῳδεῖ, πολλὴν ὠμότητα τῶν Ἀθηναίων καὶ τοῦ Περικλέους κατηγορῶν, ἣν οὔτε Θουκυδίδης ἱστόρηκεν, οὔτ' Ἔφορος, οὔτ' Ἀριστοτέλης· ἀλλ' οὐδ' ἀληθεύειν ἔοικεν, ὡς ἄρα τοὺς τριηράρχους καὶ τοὺς ἐπιβάτας τῶν Σαμίων εἰς τὴν Μιλησίων ἀγορὰν ἀγαγὼν, καὶ σανίσι προσδήσας ἐφ' ἡμέρας [1] δέκα, κακῶς ἤδη διακειμένους προσέταξεν ἀνελεῖν, ξύλοις τὰς κεφαλὰς συγκόψαντας, εἶτα προβαλεῖν ἀκήδευτα τὰ σώματα. Δοῦρις μὲν οὖν, οὐδ' ὅπου μηδὲν αὐτῷ πρόσεστιν ἴδιον πάθος, εἰωθὼς κρατεῖν τὴν διήγησιν ἐπὶ τῆς ἀληθείας, μᾶλλον ἔοικεν ἐνταῦθα δεινῶσαι τὰς τῆς πατρίδος συμφορὰς ἐπὶ διαβολῇ τῶν Ἀθηναίων. ὁ δὲ Περικλῆς καταστρεψάμενος τὴν Σάμον, ὡς ἐπανῆλθεν εἰς τὰς Ἀθήνας, ταφάς τε τῶν ἀποθανόντων κατὰ τὸν πόλεμον ἐνδόξους ἐποίησε, καὶ τὸν λόγον εἰπὼν, ὥσπερ ἔθος ἐστὶν, ἐπὶ τῶν σημάτων, ἐθαυμαστώθη. καταβαίνοντα δ' αὐτὸν ἀπὸ τοῦ βήματος αἱ μὲν ἄλλαι γυναῖκες ἐδεξιοῦντο, καὶ στεφάνοις ἀνέδουν καὶ ταινίαις, ὥσπερ ἀθλητὴν νικηφόρον· ἡ δ' Ἐλπινίκη προσελθοῦσα πλησίον· Ταῦτ', ἔφη, θαυμαστὰ, Περίκλεις, καὶ ἄξια στεφάνων, ὃς ἡμῖν πολλοὺς καὶ ἀγαθοὺς ἀπώλεσας πολίτας, οὐ Φοίνιξι πολεμῶν, οὐδὲ Μήδοις, ὥσπερ οὑμὸς ἀδελφὸς Κίμων, ἀλλὰ σύμμαχον καὶ συγγενῆ πόλιν καταστρεφόμενος. Ταῦτα τῆς Ἐλπινίκης λεγούσης, ὁ Περικλῆς μειδιάσας ἀτρέμα, λέγεται τὸ τοῦ Ἀρχιλόχου πρὸς αὐτὴν εἰπεῖν·

Σὺ κἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφεο [2]

θαυ-

1 Ita R. dedit pro vulg. ἡμέραις.

2 Versum hunc ita emendavit R. — Vulgo legitur: Οὐκ ἂν μύροισι. &c. Constructio hæc est: σὺ, κἂν γραῦς οὖσα, ὅμως ἠλείφου

θαυμαστὸν δέ τι καὶ μέγα Φρονῆσαι, καταπολεμήσαντα τὰς Σαμίας, Φησὶν αὐτὸν ὁ Ἴων, ὡς τῦ μὲν Ἀγαμέμνονος ἔτεσι δέκα βάρβαρον πόλιν, αὐτῦ δὲ μησὶν ἐννέα τὰς πρώτας καὶ δυνατωτάτας Ἰώνων ἑλόντος. καὶ ὐκ ἦν ἄδικος ἡ ἀξίωσις, ἀλλ᾽ ὄντως πολλὴν ἀδηλότητα καὶ μέγαν ἔσχε κίνδυνον ὁ πόλεμος, εἴπερ, ὡς Θυκυδίδης Φησὶ, παρ᾽ ἐλάχιστον ἦλθε Σαμίων ἡ πόλις ἀφελέσθαι τῆς θαλάττης τὸ κράτος Ἀθηναίυς.

XXIX. Μετὰ ταῦτα, κυμαίνοντος ἤδη τῦ Πελοποννησιακῦ πολέμυ, Κερκυραίοις πολεμυμένοις ὑπὸ Κορινθίων, ἔπεισε τὸν δῆμον ἀποστεῖλαι βοήθειαν, καὶ προσλαβεῖν ἐῤῥωμένην ναυτικῇ δυνάμει νῆσον, ὡς ὅσον ὐδέπω Πελοποννησίων ἐκπεπολεμωμένων πρὸς αὐτύς. ψηΦισαμένυ δὲ τῦ δήμυ τὴν βοήθειαν, ἀπέστειλε δέκα ναῦς μόνας ἔχοντα Λακεδαιμόνιον, τὸν Κίμωνος υἱὸν, οἷον ἐΦυβρίζων. πολλὴ γὰρ ἦν εὔνοια καὶ Φιλία τῷ Κίμωνος οἴκῳ πρὸς Λακεδαιμονίυς. ὡς ἂν ὖν, εἰ μηδὲν ἔργον μέγα, μηδ᾽ ἐκπρεπὲς ἐν τῇ στρατηγίᾳ τῦ Λακεδαιμονίυ γένοιτο, προσδιαβληθείη μᾶλλον εἰς τὸν λακωνισμὸν, ὀλίγας αὐτῷ ναῦς ἔδωκε, καὶ μὴ βυλόμενον ἐξέπεμψε. καὶ ὅλως διετέλει κολύων [1] ὡς μηδὲ τοῖς ὀνόμασι γνησίυς, ἀλλ᾽ ὀθνείυς καὶ ξένυς, ὅτι τῶν Κίμωνος υἱῶν τῷ μὲν ἦν Λακεδαιμόνιος ὄνομα, τῷ δὲ Θεσσαλὸς, τῷ δ᾽ Ἠλεῖος. ἐδόκυν δὲ πάντες ἐκ γυναικὸς Ἀρκαδικῆς γεγονέναι. κακῶς ὖν ὁ Περικλῆς ἀκύων διὰ τὰς δέκα ταύτας τριήρεις, ὡς μικρὰν μὲν βοήθειαν τοῖς

ἠλείΦυ ἂν μύροις, tam es expudoratæ & perfrictæ frontis, ut, quamvis sis anus, tamen nil te pudeat unguentis uti. In ista oris tui fœditate, & in isto ætatis marcore, tamen affectas mores prostibulorum. Xyl. vertit: ne corpus unguentis, anus, tuum linas. Pro ἠλείΦεο V. ἠλείΦετο.

1 Hanc lectionem Anon. jam Br. probavit, & R. recepit pro vulg. κωλύων. Vox, omnino Plutarcho in hoc sensu perquam familiaris.

τοῖς δεηθεῖσι, μεγάλην δὲ πρόφασιν τοῖς ἐγκαλῦσι παρεσχηκὼς, ἑτέρας αὖθις ἔςειλε πλείονας εἰς τὴν Κέρκυραν, αἳ μετὰ τὴν μάχην ἀφίκοντο. χαλεπαίνȣσι δὲ τοῖς Κορινθίοις, καὶ κατηγορῦσι τῶν Ἀθηναίων ἐν Λακεδαίμονι προσεγένοντο Μεγαρεῖς, αἰτιώμενοι πάσης μὲν ἀγορᾶς, πάντων δὲ λιμένων, ὧν Ἀθηναῖοι κρατῦσιν, εἴργεθαι καὶ ἀπελαύνεθαι, παρὰ τὰ κοινὰ δίκαια καὶ τὰς γεγενημένας ὅρκȣς τοῖς Ἕλλησιν. Αἰγινῆται δὲ κακῦθαι δοκῦντες καὶ βίαια πάχειν, ἐποτνιῶντο κρύφα πρὸς τὰς Λακεδαιμονίȣς, φανερῶς ἐγκαλεῖν τοῖς Ἀθηναίοις ȣ̓ θαῤῥῦντες. ἐν δὲ τȣ́τῳ καὶ Ποτίδαια, πόλις ὑπήκοος Ἀθηναίων, ἄποικος δὲ Κορινθίων, ἀποςᾶσα καὶ πολιορκȣμένη, μᾶλλον ἐπετάχυνε [1] τὸν πόλεμον. ȣ̓ μὴν ἀλλὰ πρεσβειῶν τε πεμπομένων Ἀθήναζε, καὶ τȣ̃ βασιλέως τῶν Λακεδαιμονίων Ἀρχιδάμȣ τὰ πολλὰ τῶν ἐγκλημάτων εἰς διαλύσεις ἄγοντος, καὶ τὰς συμμάχȣς πραΰνοντος, ȣ̓κ ἂν ἐδόκει [2] συμπεσεῖν, ὑπό γε [3] τῶν ἄλλων αἰτιῶν, ὁ πόλεμος τοῖς Ἀθηναίοις, εἰ τὸ ψήφισμα καθελεῖν τὸ Μεγαρικὸν ἐπείσθησαν, καὶ διαλλαγῆναι πρὸς αὐτȣ́ς. διὸ καὶ μάλιςα πρὸς τȣ̃το Περικλῆς ἐναντιωθεὶς, καὶ παροξύνας τὸν δῆμον ἐμμεῖναι [4] τῇ πρὸς Μεγαρεῖς φιλονεικίᾳ, μόνος ἔχε τȣ̃ πολέμȣ τὴν αἰτίαν.

XXX. Λέγȣσι δὲ, πρεσβείας [5] Ἀθήναζε περὶ τȣ́των ἐκ Λακεδαίμονος ἀφιγμένης, καὶ τȣ̃ Περικλέȣς νόμον τινὰ προβαλομένȣ [6], κωλύοντα καθελεῖν τὸ πινάκιον,

1 Anon. ἐπάχυνε.

2 Anon. B. 3. δοκεῖ. Junt. Ald. δοκῇ.

3 Ita legi voluit Br. & dedit R. pro vulg. ὑπότε.

4 Ita dedit R. ſecundum Anon. Vulg. ἐμμεῖνας.

5 Ita legendum cenſuit Br. & poſtea ἀφιγμένης, pro vulg. πρέσβεις — ἀφιγμένȣς, in qua lectione Steph. multum laboravit, mendoſum quiddam ſuſpicatus.

6 Ita dedit R. de ſuo pro vulg. προβαλλομ.

νάκιον, ἐν ᾧ τὸ ψήφισμα γεγραμμένον ἐτύγχανεν, εἰπεῖν Πολυάρκη τῶν πρέσβεων τινά· Σὺ δὲ μὴ καθέλῃς, ἀλλὰ ϛρέψον εἴσω τὸ πινάκιον· ȣ γάρ ἐϛι νόμος ὁ τȣ̃το κωλύων. κομψȣ̃ δὲ τȣ̃ λόγȣ φανέντος, ȣ̓δέν τι μᾶλλον ὁ Περικλῆς ἐνέδωκεν. ὑπῆν μὲν ȣ̃ν τις, ὡς ἔοικεν, αὐτῷ καὶ ἰδία πρὸς τȣ̀ς Μεγαρεῖς ἀπέχθεια· κοινὴν δὲ καὶ φανερὰν ποιησάμενος [τὴν [1]] αἰτίαν κατ' αὐτῶν, ἀποτέμνεσθαι τὴν ἱερὰν ὀργάδα, γράφει ψήφισμα, κήρυκα πεμφθῆναι πρὸς αὐτȣ̀ς καὶ πρὸς Λακεδαιμονίȣς τὸν αὐτὸν, κατηγορȣ̃ντα τῶν Μεγαρέων. τȣ̃το μὲν ȣ̃ν τὸ ψήφισμα Περικλέȣς ἐϛὶν εὐγνώμονος καὶ φιλανθρώπȣ δικαιολογίας ἐχόμενον. ἐπεὶ δ' ὁ πεμφθεὶς κῆρυξ Ἀνθεμόκριτος αἰτίᾳ [2] τῶν Μεγαρέων ἀποθανεῖν ἔδοξε, γράφει ψήφισμα κατ' αὐτῶν Χαρῖνος, ἄσπονδον μὲν εἶναι καὶ ἀκήρυκτον ἔχθραν, ὃς δ' ἂν ἐπιβῇ τῆς Ἀττικῆς Μεγαρέων, θανάτῳ ζημιȣ̃σθαι· τȣ̀ς δὲ ϛρατηγȣ̀ς, ὅταν ὀμνύωσι τὸν πατρικὸν [3] ὅρκον, ἐπομνύειν, ὅτι καὶ δὶς ἀνὰ πᾶν ἔτος εἰς τὴν Μεγαρικὴν ἐμβαλȣ̃σι· ταφῆναι δ' Ἀνθεμόκριτον παρὰ τὰς Θριασίȣς [4] πύλας, αἳ νῦν Δίπυλον ὀνομάζονται. Μεγαρεῖς δὲ τὸν Ἀνθεμοκρίτȣ φόνον ἀπαρνȣ́μενοι, τὰς αἰτίας εἰς Ἀσπασίαν καὶ Περικλέα τρέπȣσι, χρώμενοι τοῖς περιβοήτοις καὶ δημώδεσι τȣ́τοις ἐκ τῶν Ἀχαρνέων ϛιχιδίοις·

Πόρνην δὲ Σίμαιθαν ἰόντες Μεγάραδε
Νεανίαι κλέπτȣσι μεθυσοκότταβοι·
Κᾆθ' οἱ Μεγαρεῖς ὀδύναις πεφυσιγγωμένοι,
Ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο [5].

XXXI.

1 deest B. 3. & paulo post Anon. τὸ τέμνεσθαι pro ἀποτέμνεσθαι.

2 Hanc lectionem, bene si habet, R. pro latinismo declarat, addens, alium ἀνοίᾳ vel ἀπονοίᾳ dixisse.

3 R. mavult πάτριον.

4 R. quærit, num Θριασίαι?

5 Ita ex Aristoph. & Athenæo legi voluit Br. pro Ἀσπασία, uti est in annotatione Edit. R. — Ἀσπασίᾳ autem in edit. Frft. Idem

XXXI. Τὴν μὲν ἦν ἀρχὴν ὅπως ἔσχεν ἐ ῥᾴδιον γνῶναι. τῦ δὲ μὴ λυθῆναι τὸ ψήφισμα πάντες ὡσαύτως τὴν αἰτίαν ἐπιφέρεσι τῷ Περικλεῖ. πλὴν οἱ μὲν ἐκ φρονήματος μεγάλε μετὰ γνώμης [1] κατὰ τὸ βέλτισον ἀπισχυρίσαθαι φασὶν αὐτὸν, πεῖραν ἐνδόσεως τὸ πρόσαγμα, καὶ τὴν συγχώρησιν ἐξομολόγησιν ἀσθενείας ἡγέμενον· οἱ δὲ μᾶλλον αὐθαδείᾳ τινὶ, καὶ φιλονεικίᾳ πρὸς ἔνδοξον [2] ἰσχὺν, περιφρονῆσαι Λακεδαιμονίων. ἡ δὲ χειρίςη μὲν αἰτία πασῶν, ἔχεσα δὲ πλείςες μάρτυρας, ἔτω πως λέγεται. Φειδίας ὁ πλάςης, ἐργολάβος μὲν ἦν τῦ ἀγάλματος, ὥσπερ εἴρηται· φίλος δὲ τῷ Περικλεῖ γενόμενος, καὶ μέγισον παρ᾽ αὐτῷ δυνηθεὶς, τὲς μὲν δι᾽ αὐτὸν ἔσχεν ἐχθρὲς φθονέμενος, οἱ δὲ, τῦ δήμε ποιέμενοι πεῖραν ἐν ἐκείνῳ, ποῖός τις ἔσοιτο Περικλεῖ κριτὴς, Μένωνά τινα τῶν Φειδίε συνεργῶν πείσαντες, ἱκέτην ἐν ἀγορᾷ καθίζεσιν, αἰτέμενον ἄδειαν ἐπὶ μηνύσει καὶ κατηγορίᾳ τῦ Φειδίε. προσδεξαμένε δὲ τῦ δήμε τὸν ἄνθρωπον, καὶ γενομένης ἐν ἐκκλησίᾳ διώξεως, κλοπαὶ μὲν ἐκ ἐλέγοντο. τὸ γὰρ χρυσίον ἔτως εὐθὺς ἐξ ἀρχῆς τῷ [3] ἀγάλματι προσειργάσατο καὶ περιέθηκεν ὁ Φειδίας, γνώμῃ τῦ Περικλέες, ὥςε πάνυ [4] δυνατὸν εἶναι περιελῦσιν ἀποδεῖξαι τὸν



Idem voluit δύω cum B. 3. in duali, & probavit, Xyl. alium versum, tanquam a librario Plutarchiano omissum, ex Aristophane addidisse: κἀντεῦθεν ἀρχὴ τῦ πολέμε κατεῤῥάγη. Cur autem, eodem judice, lectio Athenæi πόρνας perperam habeat, ego non video. Linea secunda horum versuum B. 3. dat μεθυσσοκότταβοι.

1 R. videtur deesse post h. v. ὀρθῆς, & addit, post κατὰ τὸ βέλτισον subaudiri posse πέρας, — excelsi animi cum pertinacia, & consilio recto, ad finem saluberrimum, obstitisse atque elusisse impetus adversariorum.

2 Teste H. Steph, etiam legitur πρὸς ἔνδειξιν περιφρονῆσαι.

3 Hunc artic. addidit R. de suo.

4 B. 3. Junt. Ald. πᾶν.

τὸν ςαθμόν. ὃ καὶ τότε τοὺς κατηγόρους ἐκέλευσε ποιεῖν ὁ Περικλῆς. ἡ δὲ δόξα τῶν ἔργων ἐπίεζε φθόνῳ τὸν Φειδίαν., καὶ μάλισθ' ὅτι τὴν πρὸς Ἀμαζόνας μάχην ἐν τῇ ἀσπίδι ποιῶν, αὐτοῦ τινα μορφὴν ἐνετύπωσε, πρεσβύτου φαλακροῦ, πέτρον ἐπηρμένου δι' ἀμφοτέρων τῶν χειρῶν, καὶ τοῦ Περικλέους εἰκόνα παγκάλην ἐνέθηκε μαχομένου πρὸς Ἀμαζόνα. τὸ δὲ σχῆμα τῆς χειρὸς, ἀνατεινούσης δόρυ πρὸ τῆς ὄψεως τοῦ Περικλέους, πεποιημένον εὐμηχάνως, οἷον ἐπικρύπτειν βούλεται τὴν ὁμοιότητα παραφαινομένην ἑκατέρωθεν. ὁ μὲν οὖν Φειδίας εἰς τὸ δεσμωτήριον ἀπαχθεὶς, ἐτελεύτησε νοσήσας, ὡς δέ φασιν ἔνιοι φαρμάκοις, ἐπὶ διαβολῇ τοῦ Περικλέους τῶν ἐχθρῶν παρασκευασάντων. τῷ δὲ μηνυτῇ Μένωνι, γράψαντος Γλύκωνος, ἀτέλειαν ὁ δῆμος ἔδωκε, καὶ προσέταξε τοῖς ςρατηγοῖς ἐπιμελεῖσθαι τῆς ἀσφαλείας τοῦ ἀνθρώπου.

XXXII. Περὶ δὲ τοῦτον τὸν χρόνον Ἀσπασία [1] δίκην ἔφευγεν ἀσεβείας, Ἑρμίππου τοῦ κωμῳδοποιοῦ διώκοντος, καὶ προσκατηγοροῦντος ὡς Περικλεῖ γυναῖκας ἐλευθέρας εἰς τὸ αὐτὸ φοιτώσας ὑποδέχοιτο. καὶ ψήφισμα Διοπείθης ἔγραψεν, εἰσαγγέλλεσθαι τοὺς [2] τὰ θεῖα μὴ νομίζοντας, ἢ λόγους περὶ τῶν μεταρσίων διδάσκοντας· ἀπερειδόμενος εἰς Περικλέα δι' Ἀναξαγόρου τὴν ὑπόνοιαν. δεχομένου δὲ τοῦ δήμου καὶ προσιεμένου τὰς διαβολὰς, οὕτως ἤδη ψήφισμα κυροῦται, Δρακοντίδου γράψαντος, ὅπως οἱ λόγοι τῶν χρημάτων ὑπὸ Περικλέους εἰς τοὺς Πρυτάνεις ἀποτεθεῖεν· οἱ δὲ δικαςαὶ τὴν ψῆφον ἀπὸ τοῦ βωμοῦ φέροντες ἐν τῇ πόλει [3] κρίνοιεν.

Ἄγνων

1 R. mavult καὶ Ἀσπασία.

2 V. legit τοῦ.

3 R. mavult τοῦ ἐν τῇ πόλει — i. e. τοῦ ἐν τῇ ἀκροπόλει. Judices arbitrarentur jurati, teſtulis ex ara depromtis, illa nempe ara, quæ in æde Minervæ in arce religioſiſſime colitur.

Ἄγνων [1] δὲ τȣτο μὲν ἀφεῖλε τȣ ψηφίσματος, κρίνεσθαι δὲ τὴν δίκην ἔγραψεν ἐν δικαςαῖς χιλίοις καὶ πεντακοσίοις, εἴτε κλοπῆς καὶ δώρων, εἴτ' ἀδικίας [2] βȣλοιτό τις ὀνομάζειν τὴν δίωξιν. Ἀσπασίαν μὲν ȣ̃ν ἐξῃτήσατο, πολλὰ πάνυ παρὰ τὴν δίκην, ὡς Αἰσχίνης φησὶν, ἀφεὶς ὑπὲρ αὐτῆς δάκρυα, καὶ δεηθεὶς τῶν δικαςῶν· Ἀναξαγόραν δὲ φοβηθεὶς ἐξέπεμψε καὶ πρȣ̃πεμψεν ἐκ τῆς πόλεως. ὡς δὲ διὰ Φειδίȣ προσέπταισε τῷ δήμῳ, φοβηθεὶς τὸ [3] δικαςήριον, μέλλοντα τὸν πόλεμον καὶ ὑποτυφόμενον ἐξέκαυσεν, ἐλπίζων διασκεδάσειν τὰ ἐγκλήματα, καὶ ταπεινώσειν τὸν φθόνον, ἐν πράγμασι μεγάλοις καὶ κινδύνοις τῆς πόλεως ἐκείνῳ μόνῳ διὰ τὸ ἀξίωμα καὶ τὴν δύναμιν ἀναθείσης ἑαυτήν. αἱ μὲν ȣ̃ν αἰτίαι, δι' ἃς ȣκ εἴασεν ἐνδȣ̃ναι Λακεδαιμονίοις τὸν δῆμον, αὗται λέγονται· τὸ δ' ἀληθὲς, ἄδηλον.

XXXIII. Οἱ δὲ Λακεδαιμόνιοι γινώσκοντες, ὡς ἐκείνȣ καταλυθέντος, εἰς πάντα μαλακωτέροις χρήσονται τοῖς Ἀθηναίοις, ἐκέλευον αὐτοῖς [4] τὸ ἄγος ἐλαύνειν, ᾧ τὸ μητρόθεν γένος τȣ̃ Περικλέȣς [5] ἔνοχον ἦν, ὡς Θȣκυδίδης εἴρηκεν. ἡ δὲ πεῖρα περιέςη τοῖς πέμψασιν εἰς τȣ̉ναντίον. ἀντὶ γὰρ ὑποψίας καὶ διαβολῆς ὁ Περικλῆς ἔτι μείζονα πίςιν ἔσχε καὶ τιμὴν παρὰ τοῖς πολί-



1 Pro hac voce V. dat ἄνθρωπον.

2 Cum edd. vetuftiores, Ald. Junt. cum B. 3. dent ἀδίκȣ, fufpicatur R. olim hic verfatum in libris fuiffe ἀδικίȣ. malæ fraudis, peculatus, opum interverfarum, quo læfa & imminuta fuiffent P. A. commoda a Pericle — crebris occurrentibus nominibus actionum in foro attico, in ιȣ exeunte, ut ἀγραφίȣ, λειποταξίȣ.

3 V. τὸ ὡς. B. 3. ὡς τὸ.

4 V. Anon. B. 3. αὐτȣ̃ς.

5 Cf. Plut. Solon. c. 12. Mater Periclis a Megacle Alcmæonis F. genus trahebat, qui ejus facinoris auctor fuit, cujus Plut. l. c. mentionem facit.

πολίταις, ὡς μάλιϛα μισȣ́ντων καὶ φοβȣμένων ἐκεῖνον τῶν πολεμίων. διὸ καὶ πρὶν ἐμβαλεῖν εἰς τὴν Ἀττικὴν τὸν Ἀρχίδαμον ἔχοντα τȣ̀ς Πελοποννησίȣς, προεῖπε τοῖς Ἀθηναίοις, ἂν ἄρα τἄλλα δῃῶν [1] ὁ Ἀρχίδαμος, ἀπέχηται τῶν ἐκείνȣ, διὰ τὴν ξενίαν τὴν ȣ̓͂σαν αὐτοῖς, ἢ διαβολῆς τοῖς ἐχθροῖς ἐνδιδȣ̀ς ἀφορμὰς, ὅτι τῇ πόλει καὶ τὴν χώραν καὶ τὰς ἐπαύλεις ἐπιδίδωσιν. ἐμβάλλȣσιν ȣ̓͂ν εἰς τὴν Ἀττικὴν ϛρατῷ μεγάλῳ Λακεδαιμόνιοι μετὰ τῶν συμμάχων, Ἀρχιδάμȣ τȣ͂ βασιλέως ἡγȣμένȣ. καὶ δῃȣ͂ντες τὴν χώραν, προῆλθον εἰς Ἀχαρνὰς, καὶ κατεϛρατοπέδευσαν, ὡς τῶν Ἀθηναίων ȣ̓κ ἀνεξομένων, ἀλλ' ὑπ' ὀργῆς [2] καὶ φρονήματος διαμαχȣμένων πρὸς αὐτȣ́ς. τῷ δὲ Περικλεῖ δεινὸν ἐφαίνετο πρὸς [3] ἑξακισμυρίȣς Πελοποννησίων καὶ Βοιωτῶν ὁπλίτας (τοσȣ͂τοι γὰρ ἦσαν οἱ τὸ πρῶτον ἐμβαλόντες) ὑπὲρ αὐτῆς τῆς πόλεως μάχην συνάψαι· τȣ̀ς δὲ βȣλομένȣς μάχεσθαι, καὶ δυσπαθȣ͂ντας πρὸς τὰ γινόμενα, κατεπράϋνε λέγων, ὡς δένδρα μὲν τμηθέντα καὶ κοπέντα φύεται ταχέως, ἀνδρῶν δὲ διαφθαρέντων αὖθις τυχεῖν ȣ̓ ῥᾴδιόν ἐϛι. τὸν δὲ δῆμον εἰς ἐκκλησίαν ȣ̓ συνῆγε, δεδιὼς βιασθῆναι παρὰ γνώμην, ἀλλ' ὥσπερ νεὼς κυβερνήτης, ἀνέμȣ κατιόντος ἐν πελάγει, θέμενος εὖ πάντα καὶ κατατείνας τὰ ὅπλα, χρῆται τῇ τέχνῃ, δάκρυα καὶ δεήσεις ἐπιβατῶν ναυτιώντων καὶ φοβȣμένων ἐάσας, ȣ̔́τως ἐκεῖνος, τό τ' ἄϛυ συγκλείσας, καὶ καταλαβὼν πάντα φυλακαῖς πρὸς ἀσφάλειαν, ἐχρῆτο τοῖς αὑτȣ͂ λογισμοῖς, βραχέα φροντίζων τῶν καταβοώντων καὶ δυσχεραινόντων. καίτοι πολλοὶ μὲν αὐτȣ͂ τῶν φίλων δεόμενοι προσέκειντο, πολλοὶ δὲ τῶν ἐχθρῶν ἀπειλȣ͂ντες καὶ κατηγορȣ͂ντες· πολλοὶ δ' ᾖδον ᾄσματα καὶ σκώμματα

1 B. 3. δῃῶν.

2 Ita V. Anon. & B. 3. recte dedere. Vulg. ὑπὲρ γῆς.

3 Vulcob. addit artic. τȣ̀ς.

ματα πρὸς αἰχύνην, ἐφυβρίζοντες αὐτοῦ τὴν ϛρατηγίαν, ὡς ἄνανδρον καὶ προϊεμένην τὰ πράγματα τοῖς πολεμίοις. ἐπεφύετο δὲ καὶ Κλέων, ἤδη διὰ τῆς πρὸς ἐκεῖνον ὀργῆς τῶν πολιτῶν πορευόμενος ἐπὶ τὴν δημαγωγίαν. ὡς τανάπαιϛα [1] ταῦτα δηλοῖ ποιήσαντος Ἑρμίππου·

Βασιλεῦ σατύρων, τί ποτ' οὐκ ἐθέλεις
Δόρυ βαϛάζειν, ἀλλὰ λόγους μὲν
Περὶ πολέμου δεινοὺς παρέχῃ [2],
Ψυχὴν δὲ Τέλητος ὑπέϛης [3];
Κἀγχειριδίου δ' ἀκόνῃ σκληρὰ
Παραθηγομένῃ βρύχει κοπίδας [4],
Δηχθεὶς αἴθωνι Κλέωνι [5].

 XXXIV.

1 Ita R. locum hunc emendavit, vulgo habentem ὥς' ἀνάπαιϛα. Br. voluit ὡς δὲ. Idem legit cum Salvinio δηλοῖ, ποιήσαντος loco vulg. δηλοποιήσαντος.

2 V. παρέχεις.

3 B. 3. ὑπέϛῃ. Xyl. adnotat: Teletem videtur innuere hominem timidum. Dacer. autem ita reddit: tu Teletis (viri cujusdam fortis) animos promisisti.

4 Locus sane obscurissimus & mendosissimus, qui nulla prorsus ratione restitui posse videtur. Dacerio quidem, quem Schirach sequitur, ita corrigi debere certum est: Κἀγχειριδίου δ' ἀκόνης σκληρᾶς Παραθηγομένης βρύχεις, κοπιᾷς: & cum tu videas ensem nudum, exacutum, tu dentibus frendes, & deficis, fatiscis — quod Schirach vertit: Wenn du die scharfe Spitze eines kleinen Degens gezuckt siehst, so zitterst und zagst du, so sehr dich auch der beissende Kleon angreift. At dubito, an hæc vel ista versio lectori satisfaciat — V. ἀκόνῃ σκληρᾷ παραθηγομένου. Anon. ἀκόνη σκληρῷ παραθηγομένη βρύχεις κοπίδας. Ego meam qualemcunque subjungere audeo conjecturam, non restituturus textum, sed aliquo modo lectorem hujus loci adjuturus. Hæc est: Κἀγχειριδίου δ' ἀκόνῃ σκληρᾷ παραθηγομένου βρύχεις ἢ κοπίδος, at tu fremis, si cultellus cote dura exacuitur, vel gladiolus.

5 Nec hujus versus verum sensum me intelligere, lubenter fateor. Bryanus cum Salvinio parodiam in vocibus αἴθωνι Κλέωνι

XXXIV. Πλὴν ὑπ' ὑδενὸς ἐκινήθη τῶν τοιύτων ὁ Περικλῆς, ἀλλὰ πρᾴως καὶ σιωπῇ τὴν ἀδοξίαν καὶ τὴν ἀπέχθειαν ὑφιςάμενος, καὶ νεῶν ἑκατὸν ἐπὶ τὴν Πελοπόννησον ςόλον ἐκπέμπων, αὐτὸς ὐ συνεξέπλευσεν, ἀλλ' ἔμεινεν οἰκυρῶν καὶ διὰ χειρὸς ἔχων τὴν πόλιν [1], ἕως ἀπηλλάγησαν οἱ Πελοποννήσιοι. θεραπεύων δὲ τὺς πολλὺς, ὅμως ἀσχάλλοντας ἐπὶ τῷ πολέμῳ, διανομαῖς τε χρημάτων ἀνελάμβανε, καὶ κληρυχίας ἀνέγραφεν [2]. Αἰγινήτας γὰρ ἐξελάσας ἅπαντας, διένειμε τὴν νῆσον Ἀθηναίων τοῖς λαχῦσιν. ἦν δέ τις παρηγορία καὶ ἀφ' ὧν ἔπασχον οἱ πολέμιοι. καὶ γὰρ οἱ περιπλέοντες τὴν Πελοπόννησον, χώραν τε πολλὴν, κώμας τε καὶ πόλεις μικρὰς διεπόρθησαν. καὶ κατα γῆν αὐτὸς ἐμβαλὼν εἰς τὴν Μεγαρικὴν, ἔφθειρε πᾶσαν. ἧ καὶ δῆλον, ὅτι [3] πολλὰ μὲν δρῶντες κακὰ τὺς Ἀθηναίυς, πολλὰ δὲ πάσχοντες ὑπ' ἐκείνων ἐκ θαλάττης, ὐκ ἂν εἰς μῆκος πολέμυ τοσῦτον [4] πρῦβησαν, ἀλλὰ ταχέως ἀπεῖπον, ὥσπερ ἐξ ἀρχῆς ὁ Περικλῆς προηγόρευεν [5], εἰ μή τι δαιμόνιον ὑπηναντιώθη τοῖς ἀνθρωπίνοις λογισμοῖς. νῦν δὲ πρῶτον μὲν ἡ λοιμώδης ἐνέπεσε φθορὰ, καὶ κατενεμήθη τὴν ἀκμάζυσαν ἡλικίαν καὶ δύναμιν· ὑφ' ἧς καὶ τὰ σώματα κακύμενοι καὶ τὰς ψυχὰς, παντάπασιν ἠγριώθησαν πρὸς τὸν Περικλέα,

Κλέωνι ad voces Homeri αἴθωνι σιδήρῳ obſervat. Juntina dat Κλαίων. Xyl. hos tres verſus ita vertit: „At pugionis mucro vehementer acutus, rigidusque bipennisque ferox ſermonis, ab ardente Cleone fremit morſus" — reſpiciens ad eum uſum vocis κοπίδος, quo Demoſthenes Phocionem ſolebat ſuorum κοπίδα ſermonum nominare, quod quæ ipſe propoſuiſſet, ea Phocion brevi, ſed vehementi oratione refutaret ac quaſi diffinderet.

1 Teſte H. Steph. in quibusdam eſt: τὴν ὅλην πόλιν.

2 V. ἀνέγραφον.

3 V. δῆλον ὖν ὅτι.

4 B. 3. τοσῦτο.

5 V. προηγόρευσεν.

ρικλέα, καὶ καθάπερ ἰατρὸν [1], ἢ πατέρα, τῇ νόσῳ παραφρονήσαντες, ἀδικεῖν ἐπεχείρησαν· ἀναπεισθέντες ὑπὸ τῶν ἐχθρῶν, ὡς τὴν μὲν νόσον ἡ τοῦ χωριτικοῦ πλήθους εἰς τὸ ἄστυ συμφόρησις ἐργάζεται, θέρους ὥρᾳ πολλῶν ὁμοῦ χύδην ἐν οἰκήμασι μικροῖς καὶ σκηνώμασι πνιγηροῖς ἠναγκασμένων διαιτᾶσθαι δίαιταν οἰκουρὸν καὶ ἀργὸν [2] ἀντὶ καθαρᾶς καὶ ἀναπεπταμένης τῆς πρότερον. τούτου δ' αἴτιος ὁ τῷ πολέμῳ τὸν ἀπὸ τῆς χώρας ὄχλον εἰς τὰ τείχη καταχεάμενος [3], καὶ πρὸς οὐδὲν ἀνθρώποις τοσούτοις χρώμενος, ἀλλ' ἐῶν ὥσπερ βοσκήματα καθειργμένους, ἀναπίμπλασθαι φθορᾶς ἀπ' ἀλλήλων, καὶ μηδεμίαν μεταβολὴν, μηδ' ἀναψυχὴν ἐκπορίζων.

XXXV. Ταῦτα βουλόμενος ἰᾶσθαι, καί τι παραλυπεῖν τοὺς πολεμίους, ἑκατὸν καὶ πεντήκοντα ναῦς ἐπλήρου, καὶ πολλοὺς καὶ ἀγαθοὺς ὁπλίτας καὶ ἱππέας ἀναβιβασάμενος, ἔμελλεν ἀνάγεσθαι, μεγάλην ἐλπίδα τοῖς πολίταις, καὶ φόβον οὐκ ἐλάττω [4] τοῖς πολεμίοις ἀπὸ τοσαύτης ἰσχύος παρασχών. ἤδη δὲ πεπληρωμένων τῶν νεῶν, καὶ τοῦ Περικλέους ἀναβεβηκότος ἐπὶ τὴν ἑαυτοῦ τριήρη, τὸν μὲν ἥλιον ἐκλιπεῖν συνέβη, καὶ γενέσθαι σκότος, ἐκπλαγῆναι δὲ πάντας, ὡς πρὸς μέγα σημεῖον.



1 Vulg. dant καθάπερ πρὸς ἰατρὸν, quam præpoſitionem R. ſuo arbitratu expunxit, ita ordinans conſtructionem: καὶ ἐπεχείρησαν ἀδικεῖν αὐτὸν, ſc. καθάπερ ἀδικοῦσιν οἱ νοσοῦντες παραφρονήσαντες τὸν ἰατρὸν, & conabantur eum vexare, ut faciunt ægri, mentis de ſtatu a vi morbi dejecti, in medicum inſurgentes. Meo quidem judicio apte ſtare poterit πρὸς, ſi καὶ, quod eſt ante καθάπερ, transmoveas poſt παραφρονήσαντες, ut legas καὶ ἀδικ. ἐπεχειρ.

2 V. Anon. ἀργήν.

3 R. mavult καταδεξάμενος. Idem cenſet, poſt vocem τῷ πολέμῳ paulo ante lectam, deeſſe πτοηθέντα aut ἐκπλαγέντα, aut ſimile quid aliud.

4 B. 3. Junt. Ald. ἔλαττον, unde R. etiam effici potuiſſe ἐλάττονα dicit.

ὁρῶν οὖν ὁ Περικλῆς περίφοβον τὸν κυβερνήτην καὶ διηπορημένον, ἀνέσχε τὴν χλαμύδα πρὸ τῆς ὄψεως αὐτοῦ, καὶ παρακαλύψας, ἠρώτησε, μή τι δεινὸν, ἢ δεινοῦ τινος οἴεται σημεῖον· ὡς δ' οὐκ ἔφη· Τί οὖν, εἶπεν, ἐκεῖνο τούτου διαφέρει, πλὴν ὅτι μεῖζόν τι τῆς χλαμύδος ἐστὶ τὸ πεποιηκὸς τὴν ἐπισκότησιν; Ταῦτα μὲν οὖν ἐν ταῖς σχολαῖς λέγεται τῶν φιλοσόφων. ἐκπλεύσας δ' οὖν ὁ Περικλῆς, οὔτ' ἄλλο τι δοκεῖ τῆς παρασκευῆς ἄξιον δρᾶσαι· πολιορκήσας τε τὴν ἱερὰν Ἐπίδαυρον, ἐλπίδα παρασχοῦσαν ὡς ἁλωσομένην, ἀπέτυχε διὰ τὴν νόσον. ἐπιγενομένη γὰρ οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ὁπωσοῦν τῇ στρατιᾷ συμμίξαντας [1] προσδιέφθειρεν. ἐκ τούτου χαλεπῶς διακειμένους τοὺς Ἀθηναίους πρὸς αὐτὸν, ἐπειρᾶτο παρηγορεῖν καὶ ἀναθαῤῥύνειν. οὐ μὴν [2] ἔλυσε τὴν ὀργὴν, οὐδὲ μετέπεισε πρότερον, ἢ τὰς ψήφους λαβόντας ἐπ' αὐτὸν εἰς τὰς χεῖρας, καὶ γενομένους κυρίους [3], ἀφελέσθαι τὴν στρατηγίαν, καὶ ζημιῶσαι χρήμασιν. ὧν ἀριθμὸν οἱ τὸν ἐλάχιστον, πεντεκαίδεκα τάλαντα, πεντήκοντα δ' οἱ τὸν πλεῖστον γράφουσιν. ἐπεγράφη δὲ τῇ δίκῃ κατήγορος, ὡς μὲν Ἰδομενεὺς λέγει, Κλέων· ὡς δὲ Θεόφραστος, Σιμμίας. ὁ δὲ Ποντικὸς Ἡρακλείδης Λακρατίδαν εἴρηκε.

XXXVI. Τὰ μὲν οὖν δημόσια ταχέως ἔμελλε παύσεσθαι [4], καθάπερ κέντρον, εἰς τοῦτον ἅμα πληγῇ τὸν

1 B. 3. Junt. συμπήξαντες.

2 B. 3. μὴν γάρ. Inde lectionem haud contemnendam effici posse οὐ μὴν παρέλυσε, ed. Reisk. ad l. h. adnotat.

3 R his verbis explicat h. l. „scil. earum rerum, quae in continenti commemorantur, abrogationis imperii, & irrogationis mulctae. Potest quoque αὐτῆς subaudiri, scil. τῆς ψήφου — cum facti essent compotes testulae, utram ferre mallent, damnantem, an absolventem.

4 B. 3. παύεσθαι. Lect. jam in textu receptam dedit R. de suo pro vulg. παύσασθαι.

τὸν θυμὸν ἀφεικότων τῶν πολλῶν· τὰ δ' οἰκεῖα μοχθηρῶς εἶχεν αὐτῷ κατά τε τὸν λοιμὸν ἐκ ὀλίγες ἀποβαλόντι τῶν ἐπιτηδείων, καὶ στάσει διατεταραγμένῳ [1] πόῤῥωθεν. ὁ γὰρ πρεσβύτατος [2] τῶν γνησίων υἱῶν, Ξάνθιππος, φύσει τε πονηρὸς [3] ὢν, καὶ γυναικὶ νέᾳ καὶ πολυτελεῖ συνοικῶν, Ἰσάνδρȣ θυγατρὶ, τȣ̃ Ἐπιλύκȣ, χαλεπῶς ἔφερε τὴν τȣ̃ πατρὸς ἀκρίβειαν, γλίσχρα καὶ κατὰ μικρὸν αὐτῷ χορηγȣ̃ντος. πέμψας ȣ̃ν πρός τινα τῶν φίλων, ἔλαβεν ἀργύριον, ὡς τȣ̃ Περικλέȣς κελεύσαντος. ἐκείνȣ δ' ὕστερον ἀπαιτȣ̃ντος, ὁ μὲν Περικλῆς καὶ δίκην [4] αὐτῷ προσέλαχε· τὸ δὲ μειράκιον ὁ Ξάνθιππος ἐπὶ τȣ́τῳ χαλεπῶς διατεθεὶς ἐλοιδόρει τὸν πατέρα, πρῶτον μὲν ἐκφέρων ἐπὶ γέλωτι τὰς οἴκοι διατριβὰς αὐτȣ̃, καὶ τȣ̀ς λόγȣς, ȣ̀ς ἐποίει μετὰ τῶν σοφιστῶν. πεντάθλȣ γὰρ [5] ἵππον ἀκοντίῳ πατάξαντος Ἐπιτιμίȣ τȣ̃ Φαρσαλίȣ ἀκȣσίως, καὶ κτεί-
ναν-

1 Ita dedit R. de suo pro vulg. διατεταραγμένων, cum ad αὐτῷ redeat. Sed quid sibi velint adjecta verba ejus — ut ἔχοντι, nescio. Forsan ut ἀποβαλόντι.

2 Vulg. addunt αὐτȣ̃ (non αὐτῷ, ut est in annotatione R. — saltim in ed. Frft.) Illud expunxit R. fretus auctoritate Ald. & Junt.

3 Hanc lectionem, quam dat Ald. & Junt. — restituit ex illis R pro lectione, quam Steph. dedit δαπανηρὸς, illam priorem prorsus mendosam declarans. Schirach Stephanicam est secutus — der von Natur verschwenderisch war — Equidem assentiri haud dubito.

4 Br. susp. καταδίκην, poenam, mulctam, cum καὶ & κατὰ sæpissime confundatur. Reiskio idem est ac si Plut. dixisset: ȣ̓ μόνον ȣ̓δὲν αὐτῷ ἀπέδωκεν, ἀλλὰ καὶ προσέλαχε δίκην, non tantum ei nihil reddidit, sed præterea quoque in foro persecutus eum est, quod ære mutuo suppeditando filii degeneris atque prodigi nutriret luxuriam.

5 Teste H. Steph. in quibusdam hic locus ita scriptus est: πεντάθλȣ γάρ τινος ἀκοντίῳ πατάξαντος Ἐπίτιμον τὸν Φαρσάλιον ἀκȣσίως καὶ κατακτείναντος: — & paulo post ἢ τὸν βαλόντα μᾶλλον.

νάντος, ἡμέραν ὅλην ἀναλῶσαι μετὰ Πρωταγόρυ διαπορῦντα, πότερον τὸ ἀκόντιον, ἢ τὸν βαλόντα, ἢ τὺς ἀγωνοθέτας κατὰ τὸν ὀρθότατον λόγον αἰτίυς χρὴ τῦ πάθυς ἡγεῖσθαι. πρὸς δὲ τύτοις, καὶ τὴν περὶ τῆς γυναικὸς διαβολὴν ὑπὸ τῦ Ξανθίππυ φησὶν ὁ Στησίμβροτος εἰς τὺς πολλὺς διασπαρῆναι, καὶ ὅλως ἀνήκεστον ἄχρι τῆς τελευτῆς τῷ νεανίσκῳ πρὸς τὸν πατέρα παραμεῖναι τὴν διαφοράν· ἀπέθανε γὰρ ὁ Ξάνθιππος ἐν τῷ λοιμῷ νοσήσας. ἀπέβαλε δὲ καὶ τὴν ἀδελφὴν ὁ Περικλῆς τότε, καὶ τῶν κηδεστῶν καὶ φίλων τὺς πλείστυς καὶ χρησιμωτάτυς πρὸς τὴν πολιτείαν. ὐ μὴν ἀπεῖπεν, ὐδὲ πρῦδωκε τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς ὑπὸ τῶν συμφορῶν· ἀλλ' ὐδὲ κλαίων, ὐδὲ κηδεύων, ὐδὲ πρὸς τάφῳ τινὸς ὤφθη τῶν ἀναγκαίων, πρίν γε δὴ καὶ τὸν περίλοιπον αὐτῦ τῶν γνησίων [1] ἀποβαλεῖν Πάραλον. ἐπὶ τύτῳ δὲ καμφθεὶς, ἐπειρᾶτο μὲν ἐγκαρτερεῖν τῷ ἤθει καὶ διαφυλάττειν τὸ μεγαλόψυχον· ἐπιφέρων δὲ τῷ νεκρῷ στέφανον, ἡττήθη τῦ πάθυς πρὸς τὴν ὄψιν, ὥστε κλαυθμόν τε ῥῆξαι, καὶ πλῆθος ἐκχέαι δακρύων, ὐδέποτε τοιῦτον ὐδὲν [2] ἐν τῷ λοιπῷ βίῳ πεποιηκώς.

XXXVII. Τῆς δὲ πόλεως πειρωμένης τῶν ἄλλων στρατηγῶν εἰς τὸν πόλεμον καὶ ῥητόρων, ὡς ὐδεὶς βάρος ἔχων ἰσόῤῥοπον, ὐδ' ἀξίωμα πρὸς τοσαύτην ἐχέγγυον ἡγεμονίαν ἐφαίνετο, ποθύσης δ' ἐκεῖνον καὶ καλύσης ἐπὶ τὸ βῆμα καὶ τὸ στρατήγιον, ἀθυμῶν καὶ κείμενος οἴκοι διὰ τὸ πένθος, ὑπ' Ἀλκιβιάδυ καὶ τῶν ἄλλων ἐπείσθη φίλων προελθεῖν [3]. ἀπολογησαμένυ δὲ τῦ δήμυ τὴν ἀγνωμοσύνην τὴν πρὸς αὐτὸν, ὑποδεξάμενος αὖθις τὰ πράγματα, καὶ στρατηγὸς αἱρεθεὶς εἰσηγήσατο

1 Teste H. Steph. additum est in quibusdam υἱῶν.
2 B. 3. ὐδέ.
3 Junt. προσελθεῖν.

σατο [1] λυθῆναι τὸν περὶ τῶν νόθων νόμον, ὃν αὐτὸς εἰσενηνόχει πρότερον· ὡς μὴ παντάπασιν ἐρημίᾳ διαδοχῆς, τὸν οἶκον ἐκλίποι τοὔνομα [2] καὶ τὸ γένος. εἶχε δ' οὕτω τὰ περὶ τὸν νόμον. ἀκμάζων ὁ Περικλῆς ἐν τῇ πολιτείᾳ πρὸ πάνυ πολλῶν [3] χρόνων, καὶ παῖδας ἔχων, ὥσπερ εἴρηται, γνησίους, νόμον ἔγραψε, μόνους Ἀθηναίους εἶναι τοὺς ἐκ δυοῖν [4] Ἀθηναίων γεγονότας. ἐπεὶ δὲ τοῦ βασιλέως τῶν Αἰγυπτίων δωρεὰν τῷ δήμῳ πέμψαντος τετρακισμυρίους πυρῶν μεδίμνους, ἔδει διανέμεσθαι τοὺς πολίτας [5], πολλαὶ μὲν ἀνεφύοντο δίκαι τοῖς νόθοις ἐκ τοῦ γράμματος ἐκείνου, τέως διαλανθάνουσαι καὶ παρορώμεναι, πολλοὶ δὲ καὶ συκοφαντήμασι περιέπιπτον. ἐπράθησαν [6] οὖν ἁλόντες ὀλίγῳ πεντακισχιλίων ἐλάττους; οἱ δὲ μείναντες ἐν τῇ πολιτείᾳ καὶ κριθέντες Ἀθηναῖοι, μύριοι καὶ τετρακισχίλιοι καὶ τεσσαράκοντα τὸ πλῆθος ἐξητάσθησαν. ὄντος οὖν δεινοῦ τοῦ [7] κατὰ

1 Teste H. Steph. etiam legitur ᾐτήσατο.

2 R. hic locus sanus non videtur. Alius, eo judice, dixisset ἐρημία (in nomin.) διαδοχῆς καταλάβῃ τὸν οἶκον, ἐπιλίποι τε τοὔνομα.

3 Br. mavult interjecta negativa particula πρὸ οὐ πάνυ πολλῶν, cum phrasis πρὸ πάνυ πολ. longius temporis intervallum dènotare videatur, quam principatus Periclis, quamquam per 40. annos duraverit, comprehendat.

4 B. 3. δυεῖν.

5 Dacerio cum Salvinio legendum videtur τοῖς πολίταις.

6 Locus Xylandro est suspectus: neque, tum præsertim, venditos, sed numero civium eos exclusos spurios existimat.

7 Hanc lectionem R. e Junt. & Ald. revocavit. Vulgatæ dant τόν. De suo porro R. dedit τοσούτων (subaudi ἀνθρώπων) pro vulg. τοσοῦτον, ut constructio ita sit formanda: ὄντος δεινοῦ τοῦ διαλυθῆναι τὸν νόμον, τὸν κατὰ τοσούτων ἰσχύσαντα, ὑπ' αὐτοῦ τοῦ γράψαντος αὐτόν: res nefanda cum videretur esse, quæ lex adversus tot numero miseros & insontes homines valuisset, si ea lex ab ipso ejus latore rursus rescinderetur. Vulcob. dat ἰσχύσαντος.

κατὰ τοσέτων ἰσχύσαντα τὸν νόμον ὑπ' αὐτȣ̃ πάλιν διαλυθῆναι τȣ̃ γράψαντος, ἡ παρȣ̃σα δυςυχία τῷ Περικλεῖ περὶ τὸν οἶκον ὡς δίκην τινὰ δεδωκότι τῆς ὑπεροψίας καὶ τῆς μεγαλαυχίας ἐκείνης, ἐπέκλασε τȣ̀ς Ἀθηναίȣς· καὶ δόξαντες αὐτὸν νεμεσητά τε παθεῖν [1], ἀνθρωπίνως τε δεῖσθαι, συνεχώρησαν ἀπογράψασθαι τὸν νόθον εἰς τȣ̀ς φράτορας, ὄνομα θέμενον τὸ αὐτȣ̃. καὶ τȣ̃τον μὲν ὕςερον ἐν Ἀργινȣ́σαις καταναυμαχήσαντα Πελοποννησίȣς ἀπέκτεινεν ὁ δῆμος μετὰ τῶν συςρατηγῶν.

XXXVIII. Τότε δὲ τȣ̃ [2] Περικλέȣς ἔοικεν ὁ λοιμὸς λαβέσθαι λαβὴν ȣ̓κ ὀξεῖαν, ὥσπερ ἄλλων, ȣ̓δὲ σύντονον,

1 Cum Junt. & Ald. dant αὐτόν τε νεμεσητά τε παθεῖν, colligi R. posse censet, Plutarchum dedisse αὐτὸν τε νεμεσητὰ πεπονθέναι. Sed „quærit, quid sint νεμεσητὰ — exprobranda, censuris, notis, exagitationibus digna? Vocabuli utique formatio significatum hunc secum fert: sed illum ab hujus loci sententia alienum. Num ergo, porro quærit, ἀνεμέσητα, non digna cujusquam insectatione, non ejusmodi, ut par sit quemquam ideo probris conscindi, aut flagello lætitiæ de cladibus alienis exsultantis uri — wo Tadelsucht und schadenfrohe Bitterkeit hämischer Vorwürfe keinen Platz hat — quia non flagitia, sed infortunia ista sunt, quæ nulli non homini nato contingunt, ipsisque adeo criminantibus.“ — Ingeniosa sane hæc est R. explicatio. At nonne lector, de sensu Plutarchi meditans, facilius de Nemesi, dea insolentiæ atque arrogantiæ vindice, cogitarit; præsertim cum paulo ante dictum sit δίκην τινὰ δεδωκότι τῆς ὑπεροψίας καὶ τῆς μεγαλαυχίας ἐκείνης — ita ut per νεμεσητὰ παθεῖν Plutarchus innuat, Periclem satis jam superque morte filiorum genuinorum Nemesi poenas arrogantiæ dedisse, nunc humanitate esse allevandum? — Prorsus congruum mihi videtur, Nemesi, sive vindictæ divinæ, qua Pericles afflictus civitati videbatur, humanitatem, seu ea officia, quæ homines afflicto debeant, aut ad quæ afflictus confugere soleat, quasi opponi. Neque sane intelligerem, quid Plutarchus velit per ἀνθρωπίνως, sive ut Br. mavult, ἀνθρωπίνων δεῖσθαι, si antecedens νεμεσητὰ alio modo explicaretur.

2 R. susp. τότε δὲ καὶ τȣ̃.

τονον, ἀλλ' ἀβληχρᾷ [1] τινι νόσῳ καὶ μῆκος ἐν ποικίλαις ἐχούσῃ μεταβολαῖς διαχρωμένην τὸ σῶμα σχολαίως, καὶ ὑπερείπουσαν τὸ φρόνημα τῆς ψυχῆς. ὁ γοῦν Θεόφραστος ἐν τοῖς ἠθικοῖς διαπορήσας, εἰ πρὸς τὰς τύχας τρέπεται τὰ ἤθη, καὶ κινούμενα τοῖς τῶν σωμάτων πάθεσιν ἐξίσταται τῆς ἀρετῆς, ἱστόρηκεν, ὅτι νοσῶν ὁ Περικλῆς ἐπισκοπουμένῳ τινὶ τῶν φίλων δείξειε [2] περίαπτον ὑπὸ τῶν γυναικῶν τῷ τραχήλῳ περιηρτημένον, ὡς σφόδρα κακῶς ἔχων, ὁπότε καὶ ταύτην ὑπομένοι τὴν ἀβελτερίαν. ἤδη δὲ πρὸς τῷ τελευτᾷν ὄντος αὐτοῦ περικαθήμενοι τῶν πολιτῶν οἱ βέλτιστοι, καὶ τῶν φίλων οἱ περιόντες, λόγον ἐποιοῦντο τῆς ἀρετῆς καὶ τῆς δυνάμεως, ὅση γένοιτο, καὶ τὰς πράξεις ἀνεμετροῦντο, καὶ τῶν τροπαίων τὸ πλῆθος· ἐννέα γὰρ ἦν ἃ στρατηγῶν καὶ νικῶν ἔστησεν ὑπὲρ τῆς πόλεως. ταῦτα, ὡς οὐκέτι συνιέντος, ἀλλὰ καθῃρημένου [3] τὴν αἴσθησιν αὐτοῦ, διελέγοντο πρὸς ἀλλήλους· ὁ δὲ πᾶσιν ἐτύγχανε τὸν νοῦν προσεσχηκὼς, καὶ φθεγξάμενος εἰς μέσον, ἔφη θαυμάζειν, ὅτι ταῦτα μὲν ἐπαινοῦσιν αὐτοῦ καὶ μνημονεύουσιν, ἃ καὶ πρὸς τύχην ἐστὶ κοινὰ, καὶ γέγονεν ἤδη πολλοῖς στρατηγοῖς· τὸ δὲ κάλλιστον καὶ μέγιστον, οὐ λέγουσιν. Οὐδεὶς γὰρ, ἔφη, δι' ἐμὲ τῶν ὄντων Ἀθηναίων μέλαν ἱμάτιον περιεβάλετο.

XXXIX. Θαυμαστὸς οὖν ὁ ἀνὴρ οὐ μόνον τῆς ἐπιεικείας καὶ πρᾳότητος, ἣν ἐν πράγμασι πολλοῖς καὶ μεγάλαις ἀπεχθείαις διετήρησεν, ἀλλὰ καὶ τοῦ φρονήματος, εἰ τῶν αὐτοῦ καλῶν ἡγεῖτο βέλτιστον εἶναι τὸ μήτε φθόνῳ, μήτε θυμῷ χαρίσασθαι μηδὲν ἀπὸ τηλικαύτης δυνάμεως, μηδὲ χρήσασθαί τινι τῶν ἐχθρῶν ὡς ἀνηκέστῳ.

1 Anon. ἀλλὰ βληχρᾷ, qua voce alibi Plut. eodem sensu utitur.

2 V. δόξειε.

3 Junt. καθῃρημένου.

sῳ. καί μοι δοκεῖ τὴν μειρακιώδη καὶ σοβαρὰν ἐκείνην προσωνυμίαν ἓν τοῦτο ποιεῖν ἀνεπίφθονον καὶ πρέπουσαν ὄντως, εὐμενὲς ἦθος, καὶ βίος ἐν ἐξουσίᾳ καθαρὸς καὶ ἀμίαντος [1], ['Ολύμπιον προσαγορεύεσθαι.] καθάπερ τὸ τῶν Θεῶν γένος ἀξιοῦμεν, αἴτιον μὲν ἀγαθῶν, ἀναίτιον δὲ κακῶν πεφυκὸς, ἄρχειν καὶ βασιλεύειν τῶν ὄντων. οὐχ ὥσπερ οἱ ποιηταὶ συνταράττοντες ἡμᾶς ἀμαθεστάταις δόξαις, ἁλίσκονται τοῖς αὐτῶν ποιήμασι, τὸν μὲν τόπον, ἐν ᾧ τοὺς Θεοὺς κατοικεῖν λέγουσιν, ἀσφαλὲς ἕδος καὶ ἀσάλευτον καλοῦντες, οὐ πνεύμασιν, οὐ νέφεσι χρώμενον [2], ἀλλ' αἰθρίᾳ μαλακῇ καὶ φωτὶ καθαρῷ τὸν ἅπαντα χρόνον ὁμαλῶς περιλαμπόμενον, ὡς τοιαύτης τῷ μακαρίῳ καὶ ἀθανάτῳ διαγωγῆς μάλιστα πρεπούσης· αὐτοὺς δὲ τοὺς Θεοὺς ταραχῆς καὶ δυσμενείας καὶ ὀργῆς, ἄλλων τε μεστοὺς παθῶν ἀποφαίνοντες, οὐδ' ἀνθρώποις νοῦν ἔχουσι προσηκόντων. ἀλλὰ ταῦτα μὲν ἴσως ἑτέρας δόξει πραγματείας εἶναι· τοῦ δὲ Περικλέους ταχεῖαν αἴσθησιν καὶ σαφῆ πόθον 'Αθηναίοις ἐνειργάζετο τὰ πράγματα. καὶ γὰρ οἱ ζῶντος βαρυνόμενοι τὴν δύναμιν ὡς ἀμαυροῦσαν αὐτοὺς, εὐθὺς ἐκποδὼν γενομένου, πειρώμενοι ῥητόρων καὶ δημαγωγῶν ἑτέρων, ἀνωμολογοῦντο [3] μετριώτερον ἐν ὄγκῳ, καὶ σεμνότερον ἐν πρᾳότητι μὴ φῦναι τρόπον· ἡ δ' ἐπίφθονος ἰσχὺς ἐκείνη, μοναρχία λεγομένη καὶ τυραννὶς πρότερον, ἐφάνη τότε σωτήριον ἔρυμα τῆς πολιτείας γενομένη. τοσαύτη φθορὰ [4] καὶ πλῆθος ἐπέκειτο κακίας.

1 V. οὕτως εὐμενὲς ἦθος καὶ βίον ἐν ἐξουσίᾳ καθαρὸν καὶ ἀμίαντον. B. 3. βίου ἐν ἐξουσίᾳ καθαροῦ καὶ ἀμιάντου. Seqq. duo vocabula 'Ολύμπιον προσαγορεύεσθαι, ut amputanda, R. uncis inclusit, e scholio nata, ad illa vocabula τὴν μειρακ. καὶ σοβ. ἐκ. προσωνυμίαν adscripta.

2 R. melius convenire censet τεθολωμένον.

3 Ita, in medio, dedit R. contractis duobus vocabulis vulgatæ lectionis ἀνωμολόγουν τὸ in unum.

4 Br. magis placeret φορὰ, si codd. faverent.

μίας τοῖς πράγμασιν, ἣν ἐκεῖνος ἀσθενῆ καὶ ταπεινὴν ποιῶν ἀπέκρυπτε, καὶ κατεκώλυεν ἀνήκεστον ἐξεσίᾳ [1] γενέσθαι.

# ΦΑΒΙΟΣ ΜΑΞΙΜΟΣ.

ΤΟΙΟΥΤΟΥ δὲ τȣ̃ Περικλέȣς ἐν τοῖς ἀξίοις μνήμης γεγονότος, ὡς παρειλήφαμεν, ἐπὶ τὸν Φάβιον τὴν ἱςορίαν μεταγάγωμεν. Νυμφῶν μιᾶς λέγȣσιν, οἱ δὲ γυναικὸς ἐπιχωρίας Ἡρακλεῖ μιγείσης, περὶ τὸν Θύμβριν ποταμὸν, γενέσθαι Φάβιον, ἄνδρα πολὺ [2] καὶ δόκιμον ἐν Ῥώμῃ τὸ Φαβίων γένος ἀφ' αὐτȣ̃ [3] παρασχόντα. τινὲς δὲ τȣ̀ς ἀπὸ τȣ̃ γένȣς τȣ́τȣ, πρώτȣς τῇ δι' ὀρυγμάτων χρησαμένȣς ἄγρα, Φοδίȣς ἱςορȣ̃σιν ὀνομάζεσθαι τὸ παλαιόν. ȣ̃τω γὰρ ἄχρι νῦν αἱ διώρυγαὶ, Φόσσαι, καὶ Φόδερε τὸ σκάψαι καλεῖται. χρόνῳ δὲ τῶν δυοῖν φθόγγων μεταπεσόντων, Φάβιοι προσηγορεύθησαν. πολλȣ̀ς δὲ καὶ [4] μεγάλȣς τῆς οἰκίας ἐξενεγκαμένης ἄνδρας, ἀπὸ Ῥȣ́λλȣ τȣ̃ μεγίςȣ, καὶ διὰ τȣ̃το Μαξίμȣ παρὰ Ῥωμαίοις ἐπονομασθέντος, τέταρτος ἦν Φάβιος Μάξιμος, περὶ ȣ̃ τάδε γράφομεν. ἦν δ' αὐτῷ σωματικὸν μὲν παρωνύμιον, ὁ Βερέκωσσος· εἶχε γὰρ ἀκροχορδόνα μικρὰν ἐπάνω τȣ̃ χείλȣς ἐπιπεφυκυῖαν. ὁ δ' Ὀȣικέλας [5] σημαίνει τὸ προβάτιον· ἐτέθη δὲ πρὸς τὴν πραότητα καὶ βαρύτητα τȣ̃ ἤθȣς ἔτι παιδὸς ὄντος. τὸ γὰρ ἡσύχιον αὐτȣ̃ καὶ σιωπηλὸν καὶ μετὰ πολλῆς εὐλα-

1 Br. probat lectionem B. 3. ἐν ἐξȣσίᾳ.

2 Dacer. ex Ms. & Vulc. ἄνδρα πολύανδρον

3 Ita secundum Anon. — Vulg. ἀπ' αὐτȣ̃.

4 Fl. habet πολλȣ̀ς καὶ μεγάλȣς. Hinc Br. suspicabatur l. πολλȣ̀ς δὲ καὶ, quod R. dedit.

5 Bryano sententia hærere videtur, nisi inclusis vocibus σημαίνει τὸ προβάτιον deletur δὲ post ἐτέθη cum B. 3.

εὐλαβείας τῶν παιδικῶν ἁπτόμενον ἡδονῶν, βραδέως δὲ καὶ διαπόνως δεχόμενον τὰς μαθήσεις, εὔκολον δὲ πρὸς τὰς συνήθεις καὶ κατήκοον ἀβελτερίας τινὸς καὶ νωθρότητος ὑπόνοιαν εἶχε παρὰ τοῖς ἐκτός· ὀλίγοι δ' ἦσαν οἱ τὸ δυσκίνητον ὑπὸ βάθους [1], καὶ τὸ μεγαλόψυχον καὶ λεοντῶδες ἐν τῇ φύσει καθορῶντες αὐτοῦ. ταχὺ δὲ τοῦ χρόνου προϊόντος, ὑπὸ τῶν πραγμάτων ἐγειρόμενος, διεσήμαινε καὶ τοῖς πολλοῖς ἀπάθειαν μὲν οὖσαν, τὴν δοκοῦσαν ἀπραγίαν [2], εὐβουλίαν δὲ, τὴν εὐλάβειαν· τὸ δὲ πρὸς μηδὲν ὀξὺ, μηδ' εὐκίνητον, ἐν πᾶσι μόνιμον καὶ βέβαιον. ὁρῶν δὲ καὶ τῆς πολιτείας τὸ μέγεθος, καὶ τῶν πολέμων τὸ πλῆθος, ἤσκει τὸ μὲν σῶμα πρὸς τοὺς πολέμους, ὥσπερ ὅπλον σύμφυτον, τὸν δὲ λόγον, ὄργανον πειθοῦς πρὸς τὸν δῆμον, εὖ μάλα πρεπόντως τῷ βίῳ κατακεκοσμημένον. οὐ γὰρ ἐπῆν ὡραϊσμὸς [3], οὐδὲ κενὴ καὶ ἀγοραῖος χάρις, ἀλλὰ νοῦς ἴδιον καὶ περιττὸν ἐν γνωμολογίαις σχῆμα καὶ βάθος ἔχων, ἃς μάλιστα ταῖς Θουκυδίδου προσεοικέναι λέγουσι. διασώζεται γὰρ αὐτοῦ λόγος, ὃν εἶπεν ἐν τῷ δήμῳ, τοῦ παιδὸς αὐτοῦ [4] μεθ' ὑπατείαν ἀποθανόντος ἐγκώμιον.

II. Πέντε δ' ὑπατειῶν, ἃς ὑπάτευσεν, ἡ πρώτη τὸν ἀπὸ Λιγύων θρίαμβον ἔσχεν. ἡττηθέντες γὰρ ὑπ' αὐτοῦ μάχῃ, καὶ πολλοὺς ἀποβαλόντες, εἰς τὰς Ἄλπεις ἀνεστάλησαν, καὶ τὴν πρόσοικον ἐπαύσαντο τῆς Ἰταλίας

1 Anon. πάθους.

2 In vetuſtioribus edd. legebatur εὐπραγίαν, quod cum nullo modo ferri poterat, H. Steph. cum ἀπραγίαν commutavit, quæ vox, eodem teſte, in quibusdam vetuſtis codd. extat. V. ἀργίαν. Xyl. præter ἀπραγίαν etiam ἀπραξίαν, aut δυσπραγίαν legi poſſe conjecit.

3 deeſt hæc vox B. 3. & Junt; item ſeq. χάρις Juntinæ.

4 Anon. αὐτῷ. Pro μεθ' ὑπάτ. Br. conjecerat καθ' ὑπάτ. filium poſt conſulatum mortem obiiſſe, rem levioris momenti cenſuit; in conſulatu, patris dolorem magis intendiſſe.

λίας ληϊζόμενοι καὶ κακῶς ποιοῦντες. ἐπεὶ δ' Ἀννίβας ἐμβαλὼν εἰς Ἰταλίαν, καὶ μάχῃ πρῶτον περὶ τὸν Τρεβίαν ποταμὸν ἐπικρατήσας, αὐτὸς μὲν ἤλαυνε διὰ Τυῤῥηνίας, πορθῶν τὴν χώραν, ἔκπληξιν δὲ δεινὴν καὶ φόβον εἰς τὴν Ῥώμην ἐνέβαλε· σημεῖα δὲ τὰ μὲν συνήθη Ῥωμαίοις ἀπὸ κεραυνῶν, τὰ δ' ὅλως ἐξηλλαγμένα καὶ πολλὴν ἀτοπίαν ἔχοντα προσέπιπτε· θυρεούς τε γὰρ ἀφ' αὑτῶν αἵματι [1] γενέσθαι διαβρόχους ἐλέχθη, καὶ θέρη σταχύων περὶ Ἄντιον ἔναιμα κείρεσθαι, καὶ λίθους μὲν ἐκ τοῦ ἀέρος διαπύρους καὶ φλεγομένους φέρεσθαι, τοῦ δ' ὑπὲρ Φαλερίους οὐρανοῦ ῥαγῆναι δόξαντος, ἐκπίπτειν καὶ διασπείρεσθαι πολλὰ γραμματεῖα [2], καὶ τούτων ἐν ἑνὶ [3] γεγραμμένον φανῆναι κατὰ λέξιν· ἌΡΗΣ ΤᾺ ἙΑΥΤΟΥ͂ ὍΠΛΑ ΣΑΛΕΥ͂ΕΙ· τὸν μὲν ὕπατον [4] Γάϊον Φλαμίνιον οὐδὲν ἤμβλυνε τούτων, ἄνδρα πρὸς τῷ φύσει θυμοειδεῖ [5] καὶ φιλοτίμῳ, μεγάλαις ἐπαιρόμενον εὐτυχίαις, ἃς πρόσθεν ηὐτύχησε [6] παραλόγως, τῆς τε βουλῆς ἀποκαλούσης, καὶ τοῦ συνάρχοντος ἐνισταμένου, συμβαλὼν βίᾳ τοῖς Γαλάταις καὶ κρατήσας. Φάβιον δὲ τὰ μὲν σημεῖα, καίπερ ἁπτόμενα [7] πολλῶν, ἧττον ὑπέθραττε, διὰ τὴν ἀλογίαν. τὴν δ' ὀλιγότητα τῶν πολεμίων καὶ τὴν ἀχρηματίαν πυνθανόμενος, καρτερεῖν παρεκάλει τοὺς Ῥωμαίους, καὶ μὴ μάχεσθαι πρὸς ἄνθρωπον ἐπ' αὐτὸ τοῦτο [8] διὰ πολλῶν ἀγώ-



1 V. ἐν αἵματι.

2 R. susp. πολλὰ πολλαχῆ γραμματεῖα.

3 Ita B. 3. — Vulgatis deest præpos. ἐν.

4 R. susp. τὸν μὲν ἕτερον ὕπατον. Sequentia Φάβιον δὲ idem valent ac si Plut. dixisset τὸν δ' ἕτερον ὕπατον. Nam Fabius Flaminii erat collega.

5 V. θυμωειδεῖ. B. 3. Junt. θυμοειδῆ.

6 V. αἷς πρόσθεν εὐτύχησε.

7 V. ἁπτομένων, vel ἁπτομένῳ. Prius e Junt.

8 Ita dedit R. pro vulg. ἐπ' αὐτῷ τούτῳ. — ad pugnandum in aperto campo, collatis signis.

ἀγώνων ἠσκημένῃ ϛρατιᾷ χρώμενον· ἀλλὰ τοῖς συμμάχοις ἐπιπέμπειν τὰς βοηθείας, καὶ τὰς πόλεις διὰ χειρὸς ἔχοντας, αὐτὴν ἐᾷν περὶ αὑτῇ [1] μαραίνεσθαι τὴν ἀκμὴν τȣ̃ Ἀννίβȣ, καθάπερ φλόγα λάμψασαν [2] ἀπὸ μικρᾶς καὶ κȣ́φης δυνάμεως.

III. Οὐ μὴν ἔπεισε τὸν Φλαμίνιον, ἀλλὰ φήσας ȣ̓κ ἀνέξεσθαι προσιόντα τῇ Ῥώμῃ τὸν πόλεμον, ȣ̓δ' ὥσπερ ὁ παλαιὸς Κάμιλλος, ἐν τῇ πόλει διαμαχεῖσθαι περὶ αὐτῆς, τὸν μὲν ϛρατὸν ἐξάγειν ἐκέλευσε τȣ̀ς χιλιάρχȣς, αὐτὸς δ' ἐπὶ τὸν ἵππον ἀλλόμενος, ἐξ ȣ̓δενὸς αἰτίȣ προδήλȣ παραλόγως ἐντρόμȣ τȣ̃ ἵππȣ γενομένȣ καὶ πτυρέντος, ἐξέπεσε, καὶ κατενεχθεὶς ἐπὶ κεφαλὴν, ὅμως ȣ̓δὲν ἔτρεψε τῆς γνώμης, ἀλλ' ὡς ὥρμησεν ἐξ ἀρχῆς ἀπαντῆσαι τῷ Ἀννίβᾳ, περὶ τὴν καλȣμένην Θρασυνίαν [3] λίμνην τῆς Τυῤῥηνίας παρετάξατο. τῶν δὲ ϛρατιωτῶν συμβαλόντων εἰς χεῖρας, ἅμα τῷ καιρῷ τῆς μάχης συνέπεσε σεισμὸς, ὑφ' ȣ̂ καὶ πόλεις ἀνετράπησαν, καὶ ῥεύματα ποταμῶν ἐξ ἕδρας μετέϛη, καὶ κρημνῶν ὑπώρειαι περιεῤῥάγησαν. ἀλλὰ καίπερ ȣ̂τω γενομένȣ βιαίȣ τȣ̃ [4] πάθȣς, ȣ̓δεὶς τὸ παράπαν ᾔσθετο τῶν μαχομένων. αὐτὸς μὲν ȣ̂ν ὁ Φλαμίνιος, πολλὰ καὶ τόλμης ἔργα καὶ ῥώμης ἐπιδεικνύμενος ἔπεσε [5], καὶ περὶ αὐτὸν οἱ κράτιϛοι· τῶν δ' ἄλλων τραπέντων πολὺς ἦν φόνος, καὶ πεντακιϛχίλιοι πρὸς μυρίοις κατεκόπησαν, καὶ ἑάλωσαν ἕτεροι τοσȣ̃τοι. τὸ δὲ Φλαμινίȣ σῶμα φιλοτιμȣ́μενος θάψαι καὶ κοσμῆσαι δι' ἀρετὴν ὁ Ἀννίβας, ȣ̓χ εὗρεν ἐν τοῖς νεκροῖς, ἀλλ' ἠγνοεῖτο τὸ παράπαν [6], ὅπως

1 Ita dedit R. de ſuo pro vulg. αὐτήν.
2 R. quaerit, num ἐκλάμψασαν.
3 Anon. Θρασυμένην.
4 Hunc artic. addidit R.
5 Ita Br. legi voluit cum B. 3. pro vulg. ἐξέπεσε.
6 Ita dedit R. de ſuo pro vulg. ἠγνόει τὸ παράπαν. Junt. & Ald. ἠγνοεῖτο παράπαν ſine artic.

ὅπως ἠφανίσθη. τὴν μὲν οὖν ἐπὶ τοῦ Τρεβίου γενομένην ἧτταν οὔθ' ὁ γράψας στρατηγὸς, οὔθ' ὁ πεμφθεὶς ἄγγελος ἀπ' εὐθείας ἔφρασεν, ἀλλ' ἐψεύσατο τὴν νίκην ἐπίδικον αὐτοῖς καὶ ἀμφίδοξον γενέσθαι. περὶ δὲ ταύτης ὡς πρῶτον ἤκουσεν ὁ στρατηγὸς Πομπώνιος, συναγαγὼν εἰς ἐκκλησίαν τὸν δῆμον, οὐ περιπλοκὰς, οὐδὲ παραγωγὰς [1], ἀλλ' ἄντικρυς ἔφη προσελθών. Νενικήμεθα, ὦ ἄνδρες Ῥωμαῖοι, μεγάλῃ μάχῃ, καὶ διέφθαρται τὸ στρατόπεδον, καὶ Φλαμίνιος ὕπατος ἀπόλωλεν. ἀλλὰ βουλεύεσθε περὶ σωτηρίας αὐτῶν καὶ ἀσφαλείας· Οὗτος μὲν οὖν ὥσπερ πνεῦμα τὸν λόγον ἐμβαλὼν εἰς πέλαγος τοσούτου δήμου, συνετάραξε τὴν πόλιν, οὐδ' ἑστάναι πρὸς τοσαύτην ἔκπληξιν οἱ λογισμοὶ καὶ διαμένειν ἐδύναντο. πάντες δ' εἰς μίαν γνώμην συνήχθησαν, ἀνυπευθύνου δεῖσθαι τὰ πράγματα μοναρχίας, ἣν δικτατωρίαν καλοῦσι, καὶ τοῦ μεταχειριουμένου ταύτην ἀθρύπτως καὶ ἀδεῶς ἀνδρός· εἶναι δὲ τοῦτον ἕνα Φάβιον Μάξιμον, ἰσόῤῥοπον ἔχοντα τῷ μεγέθει τῆς ἀρχῆς τὸ φρόνημα καὶ τὸ ἀξίωμα τοῦ ἤθους, ἡλικίας τε κατὰ τοῦτο γεγενημένον, ἐν ᾧ συνέστηκεν ἔτι [2] πρὸς τὰ τῆς ψυχῆς βουλεύματα τὸ σῶμα τῇ ῥώμῃ, καὶ συγκέκραται τῷ φρονίμῳ τὸ θαῤῥαλέον.

IV. Ὡς οὖν ταῦτ' ἔδοξεν, ἀποδειχθεὶς δικτάτωρ Φάβιος, καὶ ἀποδείξας αὐτὸς ἵππαρχον Λεύκιον Μινούκιον, πρῶτον μὲν ᾐτήσατο τὴν σύγκλητον, ἵππῳ χρῆσθαι παρὰ τὰς στρατείας. οὐ [3] γὰρ ἐξῆν, ἀλλ' ἀπηγόρευτο κατὰ δή τινα νόμον παλαιὸν, εἴτε τῆς ἀλκῆς [4] τὸ πλεῖστον ἐν τῷ πεζῷ τιθεμένων, καὶ διὰ τοῦτο τὸν στρατη-



1 Aut deesse aliquid censet R. aut legendum οὐ περιπλέκων, οὐδὲ παράγων. H. Steph. conjecit περιαγωγάς.

2 Post ἔτι R. deesse videtur ἀντίπαλον, aut certe subaudiendum.

3 V. οὐδέ.

4 V. ἀρχῆς.

στρατηγὸν οἰομένων δεῖν παραμένειν τῇ φάλαγγι, καὶ μὴ προλείπειν [1]. εἶθ', ὅτι τυραννικὸν εἰς ἅπαντα τἄλλα καὶ μέγα τὸ τῆς ἀρχῆς κράτος ἐστὶν, ἔν γε τούτῳ βουλομένων τὸν δικτάτωρα τοῦ δήμου φαίνεσθαι δεόμενον. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ Φάβιος, εὐθὺς ἐνδείξασθαι θέλων τῆς ἀρχῆς τὸ μέγεθος καὶ τὸν ὄγκον, ὡς μᾶλλον ὑπηκόοις χρῷτο καὶ πειθηνίοις τοῖς πολίταις, προῆλθε συνενεγκάμενος εἰς ταὐτὸ ῥαβδουχίας εἰκοσιτέσσαρας· καὶ τοῦ ἑτέρου τῶν ὑπάτων ἀπαντῶντος αὐτῷ, τὸν ὑπηρέτην πέμψας, ἐκέλευσε τοὺς ῥαβδούχους ἀπαλλάξαι, καὶ τὰ παράσημα τῆς ἀρχῆς ἀποθέμενον, ἰδιώτην ἀπαντᾷν. μετὰ δὲ ταῦτα καλλίστην ἀρχόμενος ἐκ Θεῶν ἀρχὴν, καὶ διδάσκων τὸν δῆμον ὡς ὀλιγωρίᾳ καὶ περιφρονήσει τοῦ στρατηγοῦ πρὸς τὸ δαιμόνιον, οὐ μοχθηρίᾳ τῶν ἀγωνισαμένων σφαλέντα, προὔτρεπε μὴ δεδιέναι τοὺς ἐχθροὺς, ἀλλὰ καὶ τοὺς Θεοὺς ἐξευμενίζεσθαι καὶ τιμᾷν· οὐ δεισιδαιμονίαν ἐνεργαζόμενος [2], ἀλλὰ θαῤῥύνων εὐσεβείᾳ τὴν ἀρετὴν, καὶ ταῖς παρὰ τῶν Θεῶν ἐλπίσι τὸν ἀπὸ τῶν πολεμίων φόβον ἀφαιρῶν καὶ παραμυθούμενος. ἐκινήθησαν δὲ τότε πολλαὶ καὶ τῶν ἀποῤῥήτων καὶ χρησίμων [3] αὐτοῖς βίβλων, ἃς Σιβυλλείους καλοῦσι· καὶ λέγεται συνδραμεῖν ἔνια τῶν ἀποκειμένων ἐν αὐταῖς λογίων πρὸς τὰς τύχας καὶ τὰς πράξεις ἐκείνας. καὶ τὸ μὲν γνωστὸν οὐκ ἦν ἑτέρῳ πυθέσθαι. προελθὼν [4] δ' ὁ δικτάτωρ εἰς τὸν ὄχλον, ηὔξατο τοῖς Θεοῖς ἐνιαυτοῦ μὲν αἰγῶν καὶ συῶν καὶ προβάτων καὶ βοῶν ἐπιγονὴν

1 Junt. προλιπεῖν.

2 Ita legendum censuit Br. — Vulg. ἐργαζόμενος. Pro seq. θαῤῥύνων V. θαῤῥῶν.

3 R. mavult χρησμίων. — Libri χρήσιμοι sunt χρησμῶν γέμοντες, oraculorum pleni. αὐτοῖς idem est ac παρ' αὐτοῖς, aut τῶν παρ' αὐτοῖς ἐν τοῖς χρησμῳδέσιν ἀριθμουμένων.

4 Ita R. dedit de suo pro vulg. προσελθών. Si hoc probaretur, sequens εἰς cum πρὸς mutandum censet.

γονὴν, ὅσην Ἰταλίας ὄρη [1] καὶ πεδία καὶ ποταμοὶ καὶ λειμῶνες εἰς ὥραν [2] ἐσομένην θρέψουσι, καταθύσειν ἅπαντα· θέας δὲ μουσικὰς καὶ θυμελικὰς ἄξειν ἀπὸ σηστερτίων τριακοσίων τριάκοντα τριῶν, καὶ δηναρίων τριακοσίων τριάκοντα τριῶν, ἔτι τριτημορίου προσόντος. τοῦτο τὸ κεφάλαιόν ἐστιν, ὀκτὼ μυριάδες δραχμῶν, καὶ δραχμαὶ τρισχίλιαι πεντακόσιαι ὀγδοήκοντα τρεῖς, καὶ δύο ὀβολοί [3]. λόγον δὲ τῆς εἰς τοῦτο τοῦ πλήθους [4] ἀκριβείας καὶ διανομῆς χαλεπόν ἐστιν εἰπεῖν· εἰ μή τις ἄρα βούλοιτο τῆς τριάδος ὑμνεῖν τὴν δύναμιν, ὅτι καὶ φύσει τέλειος, καὶ πρῶτος τῶν περιττῶν, ἀρχή τε πλήθους [5] ἐν αὐτῷ, τάς τε πρώτας διαφορὰς, καὶ τὰ παντὸς ἀριθμοῦ στοιχεῖα μίξας καὶ συναρμόσας εἰς ταυτὸν ἀνείληφε.

V. Τῶν μὲν οὖν πολλῶν ὁ Φάβιος τὴν γνώμην ἀπαρτήσας [6] πρὸς τὸ θεῖον, ἡδίω πρὸς τὸ μέλλον ἐποίησεν. αὐτὸς δὲ πάσας θέμενος ἐν αὐτῷ τὰς τῆς νίκης ἐλπίδας, ὡς καὶ τοῦ Θεοῦ τὰς εὐπραξίας δι' ἀρετῆς καὶ φρονήσεως παραδιδόντος, τρέπεται πρὸς Ἀννίβαν, οὐχ ὡς διαμαχούμενος, ἀλλὰ χρόνῳ τὴν ἀκμὴν αὐτοῦ, καὶ χρήμασι τὴν ἀπορίαν, καὶ πολυανθρωπίᾳ τὴν ὀλιγότητα τρίβειν καὶ ὑπαναλίσκειν βεβουλευμένος. ὅθεν ἀεὶ μετέωρος ἀπὸ [7] τῆς ἵππου τῶν πολεμίων ἐν τόποις ὀρεινοῖς στρατοπεδεύων ἐπῃωρεῖτο, καθημένου μὲν, ἡσυχάζων, κινουμένου δὲ, κατὰ τῶν ἄκρων κύκλῳ περιϊὼν καὶ παρα-



1 Ita Br. & Xyl. legendum conjecerunt pro vulg. ὅροι.
2 B. 3. ὥρας.
3 In hac summa determinanda Plutarchus discrepat a Livio, Lib. 22. c. 10.
4 R. susp. εἰς τοῦτο τὸ πλῆθος.
5 R. susp. πλήθους ὢν, ἐν αὐτῷ τάς τε πρ. aut sic καὶ πρῶτος τῶν περιττῶν ὢν, ἀρχὴν (in accus.) τε πλήθους ἐν αὐτῷ, τάς τε πρ. V. habet ἐν ἑαυτῷ.
6 V. ἀπαρτίσας. R. mavult ἀναρτήσας.
7 R. quærit, num ἄποθεν, procul?

παραφαινόμενος [1] ἐκ διαστήματος, ὅσον ἄκοντι μὴ βιασθῆναι μάχεσθαι· καὶ φόβον ὡς μαχησομένε [2] τοῖς πολεμίοις ἀπὸ τῆς μελλήσεως αὐτῆς [3] παρεῖχεν. ὅτω δὲ παραγαγὼν τὸν χρόνον, ὑπὸ πάντων κατεφρονεῖτο, καὶ κακῶς μὲν ἤκεεν ἐν τῷ στρατοπέδῳ, κομιδῇ δὲ τοῖς πολεμίοις ἄτολμος ἐδόκει, καὶ τὸ μηδὲν εἶναι, πλὴν ἑνὸς Ἀννίβε. μόνος δ' ἐκεῖνος αὐτε τὴν δεινότητα καὶ τὸν τρόπον, ᾧ πολεμεῖν ἐγνώκει, συνιδὼν, καὶ διανοηθεὶς, ὡς πάσῃ τέχνῃ καὶ βίᾳ κινητέος ἐστὶν εἰς μάχην ὁ ἀνὴρ, ἢ διαπέπρακται τὰ Καρχηδονίων, οἷς μέν εἰσι κρείττες, ὅπλοις, χρήσασθαι μὴ δυναμένων, οἷς δὲ λείπονται, σώμασι καὶ χρήμασιν, ἐλαττεμένων καὶ δαπανωμένων εἰς τὸ μηδὲν, ἐπὶ πᾶσαν ἰδέαν στρατηγικῶν σοφισμάτων καὶ παλαισμάτων [4] τρεπόμενος, καὶ πειρώμενος, ὥσπερ δεινὸς ἀθλητὴς λαβὴν ζητῶν, προσέβαλλε καὶ διετάραττε, καὶ μετῆγε πολλαχόσε τὸν Φάβιον, ἐκστῆσαι τῶν ὑπὲρ τῆς ἀσφαλείας λογισμῶν βελόμενος. τῷ δ' ἡ μὲν κρίσις [5] πίστιν ἔχοντι τε συμφέροντος, ἐν ἑαυτῇ βέβαιος εἱστήκει καὶ ἀμετάπτωτος· ἠνόχλει δ' αὐτὸν ὁ ἵππαρχος Μινέκιος, φιλομαχῶν ἀκαίρως καὶ θρασυνόμενος, καὶ δημαγωγῶν τὸ στράτευμα, μανικῆς φορᾶς καὶ κενῶν ἐλπίδων ὑπ' αὐτε πεπληρωμένον· οἳ τὸν μὲν Φάβιον σκώπτοντες καὶ καταφρο-

1 Ita R. dedit pro vulg. περιφαινόμ.

2 Ita R. dedit pro vulg. μαχησόμενος.

3 R. hanc lectionem, quam jam H. Steph. repositam voluit, ex Ald. revocavit, pro vulg. αὐτοῖς, quam Junt. dedit.

4 V. πλασμάτων.

5 Teste H. Steph. legitur etiam τῷ δὲ ἡ γνώμη πίστιν ἔχεσα τε συμφέροντος. R. hanc conjecturam lectoris judicio subjicit: τῷ δ' ἡ μὲν κρίσις, πίστιν ἔχεσα τε συμφέροντος ἐν ἑαυτῇ, βέβαιος. At ei judicium seu consilium, quod ceperat, de proeliis defugiendis, utpote in semet habens fidem utilitatis, h. e. de eo, quod expediret reip., alii nemini, praeterquam sibi soli fidens, firmum perstabat.

Φρονῦντες, Ἀννίβυ παιδαγωγὸν ἀπεκάλυν, τὸν δὲ Μινύκιον, καὶ μέγαν ἄνδρα, καὶ τῆς Ῥώμης ἄξιον ἡγῦντο ςρατηγόν. ὁ δὲ μᾶλλον εἰς Φρόνημα καὶ θράσος ἀνειμένος, ἐχλεύαζε μὲν τὰς ἐπὶ τῶν ἄκρων ςρατοπεδείας, ὡς καλὰ θέατρα τῦ δικτάτωρος ἀεὶ παρασκευαζομένυ θεωρήσυσι πορθυμένην καὶ Φλεγομένην τὴν Ἰταλίαν. ἠρώτα δὲ τὺς Φίλυς τῦ Φαβίυ, πότερον εἰς τὸν ὐρανὸν ἄρας ἀναφέρει τὸν ςρατὸν, ὡς τῆς γῆς ἀπεγνωκὼς, ἢ νέφη καὶ ὀμίχλας προβαλλόμενος, ἀποδιδράσκει τὺς πολεμίυς. ταῦτα τῶν Φίλων πρὸς τὸν Φάβιον ἀπαγγελλόντων, καὶ τὴν ἀδοξίαν τῷ κινδύνῳ λῦσαι παραινύντων· Οὕτω μέντ' ἂν, ἔφη, δειλότερος, ἢ νῦν εἶναι δοκῶ, γενοίμην, εἰ σκώμματα, καὶ λοιδορίας Φοβηθεὶς, ἐκπέσοιμι τῶν ἐμαυτῦ λογισμῶν. καίτοι τὸ μὲν ὑπὲρ πατρίδος, ὐκ αἰσχρὸν δέος· ἡ δὲ πρὸς δόξαν ἀνθρώπων, καὶ διαβολὰς καὶ ψόγυς ἔκπληξις, ὐκ ἀξίυ τηλικαύτης ἀρχῆς ἀνδρὸς, ἀλλὰ δυλεύοντος, ὧν κρατεῖν αὐτὸν καὶ δεσπόζειν κακῶς Φρονύντων προσήκει.

VI. Μετὰ ταῦτα γίνεται διαμαρτία τῦ Ἀννίβυ. βυλόμενος γὰρ ἀποσπάσαι τῦ Φαβίυ ποῤῥωτέρω τὸ ςράτευμα, καὶ πεδίων ἐπιλαβέσθαι προνομὰς ἐχόντων, ἐκέλευσε τὺς ὁδηγὺς μετὰ δεῖπνον εὐθὺς ἡγεῖσθαι πρὸς τὸ Κασινάτον. οἱ δὲ τῆς Φωνῆς διὰ βαρβαρισμὸν ὐκ ἐξακύσαντες ἀκριβῶς, ἐμβάλλυσιν αὐτῦ τὴν δύναμιν Φέροντες εἰς τὰ καταλήγοντα τῆς Καμπανίας εἰς πόλιν Κασιλίνον, ἣν τέμνει διὰ μέσης ῥέων ὁ Λοθρόνος ποταμὸς, ὃν Οὐατυράνον οἱ Ῥωμαῖοι καλῦσιν. ἔςι δ' ἡ χώρα, τὰ μὲν ἄλλα περιςεφὴς ὄρεσιν, αὐλὼν δ' ἀναπέπταται πρὸς τὴν θάλατταν, ἔνθα τὰ ἕλη [1] καταδίδωσι τῦ ποταμῦ περιχεομένυ, καὶ θῖνας ἄμμυ βαθείας ἔχει, καὶ τελευτᾷ πρὸς αἰγιαλὸν κυματώδη καὶ δύσορμον.



1 Vitiosum hunc locum judicat R., sed se nescire vitium tollere fatetur.

μον. ἐνταῦθα καταβαίνοντος τῦ Ἀννίβυ, περιελθὼν ἐμπειρίᾳ τῶν ὁδῶν ὁ Φάβιος, τὴν μὲν διέξοδον, ὁπλίτας τετρακισχιλίυς ἐπιςήσας, ἐνέφραξε· τὸν δ' ἄλλον ςρατὸν ὑπὲρ τῶν ἄλλων [1] ἄκρων ἐν καλῷ καθίσας, διὰ τῶν [2] ἐλαφροτάτων καὶ προχειροτάτων ἐνέβαλε τοῖς ἐσχάτοις τῶν πολεμίων, καὶ συνετάραξεν ἅπαν τὸ ςράτευμα· διέφθειρε δὲ περὶ ὀκτακοσίυς. ἐκ τύτυ βυλόμενος Ἀννίβας ἀπαγαγεῖν τὸ ςράτευμα, καὶ τὴν διαμαρτίαν τῦ τόπυ νοήσας καὶ τὸν κίνδυνον, ἀνεςαύρωσε μὲν τὺς ὁδηγὺς, ἐκβιάζεσθαι δὲ τὺς πολεμίυς καὶ προσμάχεσθαι [3] τῶν ὑπερβολῶν ἐγκρατεῖς ὄντας ἀπεγίνωσκε. δυσθύμως δὲ καὶ περιφόβως διακειμένων ἁπάντων, καὶ περιεςάναι σφᾶς πάντοθεν ἀφύκτυς ἡγυμένων ἀπορίας [4], ἔγνω δυλῦν [5] ἀπάτῃ τὺς πολεμίυς. ἦν δὲ τοιόνδε [6]. βῦς ὅσον δισχιλίας ἐκ τῶν αἰχμαλώτων ἐκέλευσε συλλαβόντας, ἀναδῆσαι δᾷδα [7] πρὸς ἕκαςον κέρας, ἢ λύγων, ἢ φρυγάνων αὔων φάκελον· εἶτα νυκτὸς ὅταν ἀρθῇ σημεῖον, ἀνάψαντας ἐλαύνειν ἐπὶ τὰς ὑπερβολὰς, παρὰ τὰ ςενὰ καὶ τὰς φυλακὰς τῶν πολεμίων. ἅμα δὲ ταῦτα παρεσκεύαζον, οἷς προσέτακτο, καὶ

1 Br. hanc vocem ἄλλων delendam cenſuit, eam ob proxime præcedens ἄλλον librarii calamo effluxiſſe putans, cum fruſtra Fabius exitum obſepſiſſet, niſi omnia juga præoccupaſſet. At R. lectionem vulg. retinet & defendit. „Unico tantum loco patebat oſtium, h. e. introitus & exitus in hanc vallem, per hiatum inter par montium oppoſitorum. Reliqua juga, inter ſe continuata, impervia erant. Oſtium illud oppilabat Fabius.“

2 Br. mavult μετὰ τῶν.

3 Ita legi voluit Br. pro vulg. προμάχεσθαι.

4 In ſuperioribus edd. habebatur ἀφύκτως ἡγυμένων ἀπορία. H. Steph.

5 V. περιελθεῖν ἢ δολῦν. Poſterius amplectitur Br. — prius, ut hujus tanquam inuſitatioris gloſſema, repudiat.

6 R. ſuſp. τοιάδε, in fem. ſc. ἀπάτη.

7 Ita V. — Vulgo δᾷδας in plur.

καὶ τὸν ἄλλον αὐτὸς ἀναστήσας στρατὸν, ἤδη σκότους ὄντος, ἦγε σχολαίως. αἱ δὲ βόες, ἄχρι μὲν τὸ πῦρ ὀλίγον ἦν, καὶ περιέκαιε τὴν ὕλην, ἀτρέμα προσεχώρουν ἐλαυνόμεναι πρὸς τὴν ὑπώρειαν· καὶ θαῦμα τοῖς καθορῶσι νομεῦσιν ἀπὸ τῶν ἄκρων καὶ βουκόλοις ἦσαν αἱ φλόγες ἄκροις ἐπιλάμπουσαι τοῖς κέρασιν, ὡς στρατοπέδου καθ' ἕνα κόσμον ὑπὸ λαμπάδων πολλῶν βαδίζοντος. ἐπεὶ δὲ πυρούμενον τὸ κέρας ἄχρι ῥίζης διέδωκε τῇ σαρκὶ τὴν αἴσθησιν, καὶ πρὸς τὸν πόνον διαφέρουσαι καὶ τινάσσουσαι τὰς κεφαλὰς ἀνεπίμπλαντο πολλῆς ἀπ' ἀλλήλων [1] φλογὸς, οὐκ ἐνέμειναν τῇ τάξει τῆς πορείας, ἀλλ' ἔκφοβοι καὶ περιαλγεῖς οὖσαι, δρόμῳ κατὰ τῶν ὀρῶν ἐφέροντο, λαμπόμεναι μὲν οὐρὰς ἄκρας καὶ μέτωπα, πολλὴν δὲ τῆς ὕλης, δι' ἧς ἔφευγον, ἀνάπτουσαι. δεινὸν οὖν ἦν θέαμα τοῖς παραφυλάττουσι τὰς ὑπερβολὰς Ῥωμαίοις. καὶ γὰρ αἱ φλόγες ἐῴκεσαν ὑπ' ἀνθρώπων θεόντων διαφερομέναις λαμπάσι· καὶ θόρυβος ἦν ἐν αὐτοῖς πολὺς καὶ φόβος, ἀλλαχόθεν ἄλλους ἐπιφέρεσθαι τῶν πολεμίων σφίσι, καὶ κυκλοῦσθαι πανταχόθεν ἡγουμένων. διὸ μένειν οὐκ ἐτόλμων, ἀλλὰ πρὸς τὸ μεῖζον ἀνεχώρουν στρατόπεδον, προέμενοι τὰ στενά. καὶ κατὰ τοῦτο δὲ [2] καιροῦ προσμίξαντες οἱ ψιλοὶ τοῦ Ἀννίβου, τὰς ὑπερβολὰς κατέσχον· ἡ δ' ἄλλη δύναμις ἤδη προσέβαινεν ἀδεῶς, πολλὴν καὶ βαρεῖαν ἐφελκομένη λείαν.

VII. Τῷ δὲ Φαβίῳ συνέβη μὲν ἔτι νυκτὸς αἰσθέσθαι τὸν δόλον [3]. φεύγουσαι γὰρ ἔνιαι τῶν βοῶν σποράδες ἧκον αὐτῷ [4] εἰς χεῖρας· ἐνέδρας δὲ δεδιὼς σκοταίους,

1 Ita Br. cum Anon. legendum censuit. Vulg. ἐπ' ἀλλήλων.

2 Br. placuit δὴ, tanquam particula expletiva, qua Plut. sæpius non sine aliqua elegantia utatur. R. tuetur lectionem vulg. quæ eadem sit, ac si dixisset οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ οἱ ψιλοὶ τοῦ Ἀν.

3 Anon. τοῦ δόλου.

4 B. 3. αὐτῶν.

ταίϐς, ἀτρέμα τὴν δύναμιν ἐν τοῖς ὅπλοις εἶχεν. ὡς δ' ἦν ἡμέρα, διώκων ἐξήπ]ετο τῶν ἐσχάτων, καὶ συμπλοκαὶ περὶ τὰς δυσχωρίας ἐγίνοντο, καὶ θόρυβος ἦν πολὺς, ἕως παρ' Ἀννίβϐ τῶν ὀρειβατεῖν δεινῶν Ἰβήρων ἄνδρες ἐλαφροὶ καὶ ποδώκεις, πεμφθέντες ἀπὸ τϐ ϛόματος, εἰς βαρεῖς ὁπλίτας τϐς Ῥωμαίϐς ἐνέβαλον, καὶ διαφθείραντες ἐκ ὀλίγϐς, ἀπέϛρεψαν τὸν Φάβιον. τότε δὴ [1] μάλιϛα κακῶς ἀκϐσαι καὶ καταφρονηθῆναι συνέβη τὸν Φάβιον. τῆς γὰρ ἐν τοῖς ὅπλοις τόλμης ὑφιέμενος, ὡς γνώμῃ καὶ προνοίᾳ καταπολεμήσων τὸν Ἀννίβαν, αὐτὸς ἡτ]ημένος τϐτοις καὶ κατεϛρατηγημένος ἐφαίνετο. βϐλόμενος δὲ μᾶλλον ἐκκαῦσαι τὴν πρὸς αὐτὸν ὀργὴν τῶν Ῥωμαίων ὁ Ἀννίβας, ὡς ἦλθεν ἐπὶ τϐς ἀγρϐς αὐτϐ, τὰ μὲν ἄλλα πάντα καίειν καὶ διαφθείρειν ἐκέλευσεν, ἐκείνων δ' ἀπεῖπεν ἅπ]εσθαι μόνων, καὶ παρακατέϛησε φυλακὴν ϐδὲν ἐῶσαν ἀδικεῖν, ϐδὲ λαμβάνειν ἐκεῖθεν. ταῦτα προσδιέβαλλεν εἰς Ῥώμην ἀναγγελθέντα· καὶ πολλὰ μὲν αὐτϐ πρὸς τὸν ὄχλον οἱ δήμαρχοι κατεβόων, ἐπάγοντος μάλιϛα Μετιλίϐ καὶ παροξύνοντος, ὃς [2] ϐ κατὰ τὴν πρὸς Φάβιον ἔχθραν, ἀλλ' οἰκεῖος ὢν Μινϐκίϐ τϐ ἱππάρχϐ, τιμὴν ᾤετο καὶ δόξαν ἐκείνῳ φέρειν τὰς τϐτϐ διαβολάς. ἐγεγόνει δὲ καὶ τῇ βϐλῇ δι' ὀργῆς, ϐχ ἥκιϛα μεμφομένῃ τὰς περὶ τῶν αἰχμαλώτων πρὸς Ἀννίβαν ὁμολογίας. ὡμολογήκεισαν γὰρ αὐτοῖς [3], ἄνδρα μὲν ἀνδρὶ λύεσθαι τῶν ἁλισκομένων, εἰ δὲ πλείϐς οἱ ἕτεροι γένοιντο, διδόναι δραχμὰς ὑπὲρ ἑϛάϛϐ τὸν κομιζόμενον [4] πεντήκοντα καὶ δια-

1 Br. mavult τότε δέ.

2 Hoc pronomen de fuo addidit R., quod fine eo conftru-ctio hiatura fit.

3 Ita ex emendatione R. — αὐτοῖς revocavit e Junt. atque Ald. — ὡμιλογ. in pl. dedit de fuo. Convenerat ipfis inter fe, Hannibali & Fabio. Vulg. ὡμολογήκει γὰρ αὐτῷ.

4 Ita R. de fuo dedit, pro vulg. τῶν κομιζομένων — ut qui referret capita, quae non potuiffent aliis paribus capitibus relui,

διακοσίας. ὡς ἐν γενομένης τῆς κατ' ἄνδρα διαμείψεως, εὑρέθησαν ὑπόλοιποι Ῥωμαίων παρ' Ἀννίβᾳ τεσσαράκοντα καὶ διακόσιοι, τούτων ἡ σύγκλητος ἔγνω τὰ λύτρα μὴ πέμπειν. καὶ προσῃτιᾶτο τὸν Φάβιον, ὡς οὐ πρεπόντως, οὔτε λυσιτελῶς ἄνδρας ὑπὸ δειλίας πολεμίων ἄγραν γενομένους, ἀνακομιζόμενον. ταῦτ' ἀκούσας ὁ Φάβιος, τὴν μὲν ὀργὴν ἔφερε πρᾴως τῶν πολιτῶν, χρήματα δ' οὐκ ἔχων, διαψεύσασθαι δὲ τὸν Ἀννίβαν καὶ προέσθαι τοὺς πολίτας οὐχ ὑπομένων, ἔπεμψε τὸν υἱὸν εἰς Ῥώμην, κελεύσας ἀποδόσθαι τοὺς ἀγροὺς, καὶ τὸ ἀργύριον εὐθὺς ὡς αὐτὸν ἐπὶ τὸ στρατόπεδον κομίζειν. ἀποδομένου δὲ τοῦ νεανίσκου τὰ χωρία, καὶ ταχέως ἐπανελθόντος, ἀπέπεμψε τὰ λύτρα τῷ Ἀννίβᾳ, καὶ τοὺς αἰχμαλώτους ἀπέλαβε· καὶ πολλῶν ἀποδόντων ὕστερον, παρ' οὐδενὸς ἔλαβεν, ἀλλ' ἀφῆκε πᾶσι.

VIII. Μετὰ δὲ [1] ταῦτα, τῶν ἱερέων καλούντων αὐτὸν εἰς Ῥώμην ἐπί τινας θυσίας, παρέδωκε τῷ Μινουκίῳ τὴν δύναμιν, ὑπὲρ τοῦ μὴ μάχεσθαι, μηδὲ συμπλέκεσθαι τοῖς πολεμίοις, οὐ μόνον ὡς αὐτοκράτωρ διαγορεύσας, ἀλλὰ καὶ παραινέσεις καὶ δεήσεις πολλὰς αὐτοῦ ποιησάμενος. ὧν ἐκεῖνος ἐλάχιστα φροντίσας, εὐθὺς ἐνέκειτο τοῖς πολεμίοις· καί ποτε παραφυλάξας τὸν Ἀννίβαν τὸ πολὺ τῆς στρατιᾶς ἐπὶ σιτολογίας ἀφεικότα, καὶ προσβαλὼν τῷ ὑπολιπομένῳ, κατέῤῥαξεν [2] εἰς τὸν χάρακα, καὶ διέφθειρεν οὐκ ὀλίγους· καὶ φόβον περιέστησε πᾶσιν ὡς πολιορκησομένοις ὑπ' αὐτοῦ. καὶ συλ-

relui, ideoque ære relui deberent, pro capite quoque penderet tantum —

1 V. δή.

2 Ita hunc locum emendavit R. in vulg. ſic habentem: προσβαλὼν, τῶν ὑπολειπομένων κατέῤῥαξεν. Ad τῷ ὑπολιπ. ſubauditur τῆς στρατιᾶς, adortus copiarum eam partem, quæ in caſtris remanſerat; ὑπολιπέσθαι enim ſolet pro ὑπολειφθῆναι uſurpari. V. Anon. κατήραξεν.

συλλεγομένης αὖθις εἰς τὸ στρατόπεδον τῷ Ἀννίβᾳ [1] τῆς δυνάμεως, ἀσφαλῶς ἀνεχώρησεν, αὐτόν τε μεγαλαυχίας ἀμέτρου, καὶ θράσους τὸ στρατιωτικὸν ἐμπεπληκώς. ταχὺ δὲ τοῦ ἔργου λόγος μείζων διεφοίτησεν εἰς Ῥώμην· καὶ Φάβιος μὲν ἀκούσας, ἔφη μᾶλλον τοῦ Μινουκίου φοβεῖσθαι τὴν εὐτυχίαν. ὁ δὲ δῆμος ἦρτο, καὶ μετὰ χαρᾶς εἰς ἀγορὰν συνέτρεχε. καὶ [2] Μετίλιος ὁ δήμαρχος ἐπὶ τοῦ βήματος καταστὰς ἐδημηγόρει, μεγαλύνων τὸν Μινούκιον, τοῦ δὲ Φαβίου κατηγορῶν οὐ μαλακίαν, οὐδ' ἀνανδρίαν, ἀλλ' ἤδη προδοσίαν. συναιτιώμενος ἅμα καὶ τῶν ἄλλων ἀνδρῶν τοὺς δυνατωτάτους καὶ πρώτους ἐπαγαγέσθαι τὸν πόλεμον ἐξ ἀρχῆς, ἐπὶ καταλύσει τοῦ δήμου, τήν τε πόλιν ἐμβαλεῖν εὐθὺς εἰς μοναρχίαν ἀνυπεύθυνον· ἣ διατρίβουσα τὰς πράξεις, ἵδρυσιν Ἀννίβᾳ παρέξει [3] καὶ χρόνον αὖθις ἐκ Λιβύης ἑτέραν δύναμιν προσγενέσθαι, ὡς κρατοῦντι τῆς Ἰταλίας.

IX. Ἐπεὶ δ' ὁ Φάβιος προσελθὼν ἀπολογεῖσθαι μὲν οὐδὲν ἐμέλλησε [4] πρὸς τὸν δήμαρχον, ἔφη δὲ τάχιστα τὰς θυσίας καὶ τὰς ἱερουργίας γενέσθαι, ὥστ' [5] ἐπὶ τὸ στράτευμα βαδιεῖσθαι τῷ Μινουκίῳ δίκην ἐπιθήσων, ὅτι

1 V. τοῦ Ἀννίβα.
2 deest B. 3.
3 B. 3. παρέξειν. Mox seq. χρόνον dedit R. pro vulg. χρόνῳ — satis otii, quo novae ex Africa copiae accedere possint.
4 V. ἐμέλησε, quod probat Br. ut sit Livio conforme: dictator concionibus se abstinuit. R. autem verbum μέλλειν, cum litera geminata, bene hic habere censet, & mavult aut οὐδ' ἐμέλλησε legi, aut οὐδὲν οὐδ' ἐμέλλησε, ne conatus quidem est oratione se defendere, ne in mentem quidem id sibi venire passus est.
5 R. sententia postulare videtur εἶτ' i. e. εἶτα. Post βαδιεῖσθαι subaudire vult ἔφη, ajebat se iturum. Prius ἔφη explicat per imperabat.

ὅτι κωλύσαντος αὐτῦ τοῖς πολεμίοις συνέβαλε, θόρυβος διῆξε τῦ δήμυ πολὺς, ὡς κινδυνεύσαντος [1] τῦ Μινυκίυ. καὶ γὰρ εἶρξαι τῷ δικτάτωρι καὶ θανατῶσαι πρὸ δίκης ἔξεστι. καὶ τῦ Φαβίυ τὸν θυμὸν ἐκ πολλῆς πρᾳότητος κεκινημένον, ᾤοντο βαρὺν εἶναι καὶ δυσπαραίτητον. ὅθεν οἱ μὲν ἄλλοι καταδείσαντες ἡσυχίαν ἦγον. ὁ δὲ Μετίλιος, ἔχων τὴν ἀπὸ τῆς δημαρχίας ἄδειαν, (μόνη γὰρ αὕτη δικτάτωρος αἱρεθέντος ἡ ἀρχὴ τὸ κράτος ὐκ ἀπόλλυσιν, ἀλλὰ μένει, τῶν ἄλλων καταλυθεισῶν) ἐνέκειτο τῷ δήμῳ πολὺς, μὴ προέσθαι δεόμενος τὸν Μινύκιον, μηδ' ἐάσαι παθεῖν, ἃ Μάλιος Τυρκυάτος ἔδρασε τὸν υἱὸν, ἀριστεύσαντος καὶ στεφανωθέντος ἀποκόψας πελέκει τὸν τράχηλον· ἀφελέσθαι δὲ τῦ Φαβίυ τὴν τυραννίδα, καὶ τῷ δυναμένῳ καὶ βυλομένῳ σώζειν ἐπιτρέψαι τὰ πράγματα. τοιύτοις λόγοις κινηθέντες οἱ ἄνθρωποι, τὸν μὲν Φάβιον ὐκ ἐτόλμησαν ἀναγκάσαι καταθέσθαι τὴν μοναρχίαν, καίπερ ἀδοξῦντα, τὸν δὲ Μινύκιον ἐψηφίσαντο, τῆς στρατηγίας ὁμότιμον ὄντα, διέπειν τὸν πόλεμον ἀπὸ τῆς αὐτῆς ἐξυσίας τῷ δικτάτωρι· πρᾶγμα μὴ πρότερον ἐν Ῥώμῃ γεγονὸς, ὀλίγῳ δ' ὕστερον αὖθις γενόμενον, μετὰ τὴν ἐν Κάνναις ἀτυχίαν. καὶ γὰρ τότ' ἐπὶ τῶν στρατοπέδων Μάρκος ἦν Ἰύνιος δικτάτωρ, καὶ κατὰ πόλιν τὸ βυλευτικὸν ἀναπληρῶσαι δεῆσαν, ἅτε δὴ πολλῶν ἐν τῇ μάχῃ συγκλητικῶν ἀπολωλότων, ἕτερον εἵλοντο δικτάτωρα, Φάβιον Βυτεῶνα. πλὴν ἐῦτος μὲν, ἐπεὶ [προῆλθε [2],] κατ-

1 Anon. κινδυνεύσοντος, quod repofitum voluit H. Steph. — R. autem tuetur lectionem vulg, — eique videtur deesse ἂν, aut certe fubaudiendum.

2 Vulg. ita habent ἐπεὶ προῆλθε, κατέλεξε. Vitiofam hanc lectionem emendare voluit Br. inferendo καὶ ex B. 3. ante κατέλ. — R. autem προῆλθε, ut redundans uncis inclufit; aut, fi fervetur, comma poft βυλὴν lin. feq. puncto mutandum cenfet, & ad αὐθημερὸν addendum δὲ.

κατέλεξε τὰς ἄνδρας καὶ συνεπλήρωσε τὴν βυλὴν, αὐθήμερὸν ἀφεὶς τὰς ῥαβδέχες, καὶ διαφυγὼν τὰς προαγαγόντας [1], εἰς τὸν ὄχλον ἐμβαλὼν καὶ καταμίξας ἑαυτὸν, ἤδη τι τῶν ἑαυτῦ διοικῶν καὶ πραγματευόμενος, ὥσπερ ἰδιώτης, ἐπὶ τῆς ἀγορᾶς ἀνεςρέφετο.

X. Τὸν δὲ Μινύκιον ἐπὶ τὰς αὐτὰς τῷ δικτάτωρι πράξεις ἀποδείξαντες, ᾤοντο κεκολῦσθαι καὶ γεγονέναι ταπεινὸν παντάπασιν ἐκεῖνον, ὐκ ὀρθῶς ςοχαζόμενοι τῦ ἀνδρός. ὐ γὰρ αὐτῦ συμφορὰν ἡγεῖτο τὴν ἐκείνων ἄγνοιαν [2], ἀλλ' ὥσπερ Διογένης ὁ σοφὸς, εἰπόντος τινὸς πρὸς αὐτὸν, Οὗτοι σῦ καταγελῶσιν, Ἀλλ' ἐγὼ, εἶπεν, ὐ καταγελῶμαι· μόνυς ἡγύμενος καταγελᾶσθαι τὰς ἐνδιδόντας, καὶ πρὸς τὰ τοιαῦτα διαταραττομένυς· ὕτω [3] Φάβιος ἔφερεν ἀπαθῶς καὶ ῥᾳδίως, ὅσον ἐπ' αὐτῷ, τὰ γινόμενα, συμβαλλόμενος ἀπόδειξιν τῶν φιλοσόφων τοῖς ἀξιῦσι, μήτε ὑβρίζεσθαι, μήτ' ἀτιμῦσθαι τὸν ἀγαθὸν ἄνδρα καὶ σπυδαῖον. ἠνία δ' αὐτὸν ἡ τῶν πολλῶν ἀβυλία διὰ [4] τὰ κοινὰ, δεδωκότων ἀφορμὰς ἀνδρὸς ὐχ ὑγιαινύσῃ φιλοτιμίᾳ πρὸς τὸν πόλεμον. καὶ δεδοικὼς, μὴ παντάπασιν ἐκμανεὶς ὑπὸ κενῆς δόξης καὶ ὄγκυ, φθάσῃ τι κακὸν ἀπεργασάμενος, λαθὼν ἅπαντας ἐξῆλθε· καὶ παραγενόμενος εἰς τὸ ςρατόπεδον, καὶ καταλαβὼν τὸν Μινύκιον ὐκέτι καθεκτὸν, ἀλλὰ βαρὺν καὶ τετυφωμένον, καὶ παρὰ μέρος ἄρχειν ἀξιῦντα, τῦ-

το

1 Ita dedit R. de suo pro vulg. προάγοντας, a quibus in forum deductus fuisset ad honorem istum capessendum.

2 Bigotius ad marginem codicis sui emendaverat ἄνοιαν. *Dacer.*

3 R. mavult ὕτω καὶ.

4 Hæc præpos. R. delenda videtur, ut e calce vocabuli proximi ἀβυλία orta, his verbis locum explicans: „Sententia hæc subjicit ἀβυλία, λυμαίνεσθαι τὰ κοινὰ δεδ. vecordia plebejanorum, qui remp. pessumdandi opportunitates hominis levis & vani ambitioni male sanæ dedissent. Nam post ἀνδρὸς videtur κύφυ aut tale quid deesse."

τὸ μὲν ἐ συνεχώρησε, τὴν δὲ δύναμιν διενείματο πρὸς αὐτὸν, ὡς μέρες μόνον [1] ἄρχειν βέλτιόν τι ὄν, ἢ πάντων παρὰ μέρος. καὶ τὸ μὲν πρῶτον τῶν ταγμάτων καὶ τέταρτον αὐτὸς ἔλαβε, τὸ δὲ δεύτερον καὶ τρίτον ἐκείνῳ παρέδωκεν, ἐπίσης καὶ τῶν συμμαχικῶν διανεμηθέντων. σεμνυνομένε δὲ τε Μινεκίε, καὶ χαίροντος ἐπὶ τῷ τὸ πρόσχημα τῆς ἀκροτάτης καὶ μεγίσης ἀρχῆς ὑφεῖσθαι καὶ προπεπηλακίσθαι δι' αὐτὸν, ὑπεμίμνησκεν ὁ Φάβιος, ὡς ἐκ ὄντος αὐτῷ [2] πρὸς Φάβιον, ἀλλ' εἰ σωφρονεῖ, πρὸς Ἀννίβαν τε ἀγῶνος· εἰ δὲ καὶ πρὸς τὸν συνάρχοντα φιλονεικεῖ, σκοπεῖν, ὅπως τε νενικημένε καὶ καθυβρισμένε παρὰ τοῖς πολίταις, ὁ τετιμημένος καὶ νενικηκὼς ἐ φανεῖται μᾶλλον ὀλιγωρῶν τῆς σωτηρίας αὐτῶν καὶ τῆς ἀσφαλείας.

XI. Ὁ δὲ ταῦτα μὲν εἰρωνείαν ἡγεῖτο γεροντικὴν, παραλαβὼν δὲ τὴν ἀποκληρωθεῖσαν δύναμιν, ἰδίᾳ καὶ χωρὶς ἐςρατοπέδευσεν, ἐδὲν ἀγνοῦντος τε Ἀννίβε τῶν γινομένων, ἀλλὰ πᾶσιν ἐφεδρεύοντος. ἦν δὲ λόφος κατὰ μέσον, καταληφθῆναι μὲν ἐ χαλεπὸς, ὀχυρὸς δὲ καταληφθεὶς ςρατοπέδῳ, καὶ διαρκὴς εἰς ἅπαντα. τὸ δὲ πέριξ πεδίον, ὀφθῆναι μὲν ἄπωθεν, ὁμαλὸν διὰ ψιλότητα καὶ λεῖον, ἔχον δέ τινας ἐ μεγάλας τάφρες ἐν αὐτῷ, καὶ κοιλότητας ἄλλας. διὸ καὶ τὸν λόφον ἐκ τε ῥᾴςε κρύφα καταχεῖν παρὸν, ἐκ ἠθέλησεν ὁ Ἀννίβας, ἀλλ' ἀπέλιπε μάχης ἐν μέσῳ πρόφασιν. ὡς δ' εἶδε κεχωρισμένον τε Φαβίε τὸν Μινέκιον, νυκτὸς μὲν εἰς τὰς τάφρες καὶ τὰς κοιλότητας κατέσπειρε τῶν ςρατιωτῶν τινάς. ἅμα δὲ [τῇ [3]] ἡμέρᾳ, φανερῶς ἐπεμ-

1 B. 3. Junt. Ald. μόνος. Sequens τι R. videtur redundare.

2 B. 3. Junt. Ald. ὄντος μὲν αὐτῷ.

3 Hunc art. uncis inclusit R., quia in hac dictione ἅμα ἡμέρᾳ omitti soleat.

ἔπεμψεν οὐ πολλοὺς καταληψομένους τὸν λόφον, ὡς ἐπάγοιτο [1] συμπεσεῖν περὶ τοῦ τόπου τὸν Μινούκιον. ὃ δὴ καὶ συνέβη. πρῶτον μὲν γὰρ ἀπέστειλε τὴν κούφην στρατιὰν, ἔπειτα τοὺς ἱππεῖς, τέλος δ' ὁρῶν τὸν Ἀννίβαν παραβοηθοῦντα τοῖς ἐπὶ τοῦ [2] λόφου, πάσῃ τῇ δυνάμει κατέβαινε συντεταγμένος· καὶ μάχην καρτερὰν θέμενος, ἠμύνετο τοὺς ἐπὶ [3] τοῦ λόφου βάλλοντας, συμπλεκόμενος καὶ ἴσα φερόμενος. ἄχρις οὗ καλῶς ἠπατημένον ὁρῶν ὁ Ἀννίβας, καὶ γυμνὰ παρέχοντα τοῖς ἐνεδρεύουσι τὰ νῶτα, τὸ σημεῖον αἴρει. πρὸς δὲ τοῦτο πολλαχόθεν ἐξανισταμένων ἅμα καὶ μετὰ κραυγῆς προσφερομένων, καὶ τοὺς ἐσχάτους ἀποκτιννύντων, ἀδιήγητος κατεῖχε ταραχὴ καὶ πτοία τοὺς Ῥωμαίους· αὐτοῦ τε τοῦ Μινουκίου τὸ θράσος κατακέκλαστο, καὶ πρὸς ἄλλον ἄλλοτε τῶν ἡγεμόνων διεπάπταινεν, οὐδενὸς ἐν χώρᾳ μένειν τολμῶντος, ἀλλὰ πρὸς φυγὴν ὠθουμένων οὐ σωτήριον. οἱ γὰρ Νομάδες ἤδη κρατοῦντες κύκλῳ περιήλαυνον τὸ πεδίον, καὶ τοὺς ἀποσκιδναμένους ἔκτεινον.

XII. Ἐν τοσούτῳ δὲ κακῷ τῶν Ῥωμαίων ὄντων, οὐκ ἔλαθεν ὁ κίνδυνος τὸν Φάβιον, ἀλλὰ καὶ τὸ μέλλον, ὡς ἔοικεν, ἤδη προειληφὼς, τήν τε δύναμιν συντεταγμένην εἶχεν ἐπὶ τῶν ὅπλων [4], καὶ τὰ πραττόμενα γινώσκειν ἐφρόντιζεν, οὐ δι' ἀγγέλων, ἀλλ' αὐτὸς ἔχων

1 V. *ἐπαγάγοιτο* vel *ἀπείτητο.*

2 Artic. hunc dedit R. de suo.

3 R. mavult *ἀπό.*

4 Br. reponendum censuit *ἐπὶ τῶν λόφων*, cum dictio Plutarchi, si significaret, ut verti solet, *instructam in armis*, esse deberet *ἐν τοῖς ὅπλοις*, aut hæc verba prorsus omittenda forent, quia *συντεταγμένη* per se totum illud exprimit; & cum Fabius castra in jugis habuerit, & ex hac causa in seq. Annibal eum vocet *ἐπὶ τῶν ἄκρων καθημένην νεφέλην.* R. autem lectioni vulg. inhæret, quæ una utrumque significet, tam *in armis*, quam in *castris.* — Tenebat copias intra vallem, stantes in acie, & armatas, ut si confestim dimicandum sit.

ἔχων κατασκοπὴν πρὸ τȣ̃ χάρακος. ὡς ȣ̃ν κατεῖδε κυκλȣ́μενον καὶ ταραττόμενον τὸ ϛράτευμα, καὶ κραυγὴ προσέπιπτεν ȣ̓ μενόντων, ἀλλ᾽ ἤδη πεφοβημένων [1] καὶ τρεπομένων, μηρόν τε πληξάμενος καὶ ϛενάξας [2] μέγα, πρὸς μὲν τȣ̀ς παρόντας εἶπεν· Ὦ Ἡράκλεις, ὡς τάχιον [3] μὲν, ἢ ἐγὼ προσεδόκων, βράδιον δ᾽, ἢ αὐτὸς ἔσπευδε, Μινȣ́κιος ἑαυτὸν ἀπολώλεκε. τὰς δὲ σημαίας ἐκφέρειν κατὰ τάχος, καὶ τὸν ϛρατὸν ἕπεσθαι κελεύσας, ἀνεβόησε· Νῦν τις [4], ὦ ϛρατιῶται, Μάρκȣ Μινȣκίȣ μεμνημένος ἐπειγέσθω· λαμπρὸς γὰρ ἀνὴρ καὶ φιλόπατρις. εἰ δέ τι, σπεύδων ἐξελάσαι τȣ̀ς πολεμίȣς, ἥμαρτεν, αὖθις αἰτιασόμεθα. πρῶτος μὲν ȣ̃ν ἐπιφανεὶς [5] τρέπεται καὶ διασκίδνησι τȣ̀ς ἐν τῷ πεδίῳ περιελαύνοντας Νομάδας· εἶτα πρὸς τȣ̀ς μαχομένȣς, καὶ κατὰ νώτȣ τῶν Ῥωμαίων ὄντας ἐχώρει, καὶ τȣ̀ς ἐμποδὼν ἔκτεινεν, οἱ δὲ λοιποὶ [6], πρὶν ἀποληφθῆναι, καὶ γενέσθαι περιπετεῖς, οἷς αὐτοὶ τȣ̀ς Ῥωμαίȣς ἐποίησαν, ἐγκλίναντες ἔφυγον. ὁρῶν δ᾽ ὁ Ἀννίβας τὴν μεταβολὴν,



1 V. πεφορημένων.

2 V. ϛενάξας ἅμα.

3 Cum Livius Fabium ita loquentem faciat: Non celerius, quam timui, deprehendit fortuna temeritatem — Br. facilem, ut concordet Plut. cum Livio, fore mutationem censet, ȣ̓ τάχιον.

4 Br. susp νῦν πᾶς; quid sit τὶς ἐπειγέσθω, se non capere fatetur. R. rem præclare expedit. Eo judice τὶς idem est ac βȣλόμενος. „Jam mihi quis, h. e. quicunque vir fortis haberi vult, incitatus eat, festinet, id est, velim vos omnes acerrime contendere. Dictio in omnibus linguis usitatissima. Τὶς respondet nostrati *man* — *Nun sey man mir muthig und wacker, und schreite frisch zum Werk*, id est, *Cameraden, haltet euch brav.*

5 Quærant velim, adnotat R., num πρῶτος ἐπιφανεὶς idem sit, atque ἅμα τῷ πρῶτον ἐπιφανῆναι, ut primum in conspectum venit. V. pro πρῶτος dat πρῶτον, ex Catal. Var. ed. Frft.

6 Teste H. Steph. etiam legitur οἱ δὲ πλεῖϛοι.

λὴν, καὶ τὸν Φάβιον εὐρώςως παρ' ἡλικίαν διὰ τῶν μαχομένων ὠθέμενον ἄνω πρὸς τὸν Μινέκιον εἰς τὸν λόφον, ἐπέχε τὴν μάχην, καὶ τῇ σάλπιγγι σημήνας ἀνάκλησιν, ἀπῆγεν εἰς τὸν χάρακα τὰς Καρχηδονίας. ἀσμένως καὶ τῶν Ῥωμαίων ἀναςρεφομένων [1]. λέγεται δ' αὐτὸν ἀπιόντα, περὶ τῦ Φαβίυ πρὸς τὰς φίλυς εἰπεῖν τι τοιῦτον μετὰ παιδιᾶς· Οὐκ ἐγὼ μέντοι πρῦλεγον ὑμῖν πολλάκις τὴν ἐπὶ τῶν ἄκρων ταύτην [2] καθημένην νεφέλην, ὅτι μετὰ ζάλης ποτὲ καὶ καταιγίδων ὄμβρον ἐκρήξει;

XIII. Μετὰ δὲ τὴν μάχην Φάβιος μὲν, ὅσυς ἔκτεινε τῶν πολεμίων, σκυλεύσας ἀνεχώρησεν, ὐδὲν ὑπερήφανον, ὐδ' ἐπαχθὲς εἰπὼν περὶ τῦ συνάρχοντος· Μινέκιος δὲ τὴν αὐτῦ ςρατιὰν ἀθροίσας· Ἄνδρες, ἔφη, συςρατιῶται, τὸ μὲν ἁμαρτεῖν μηδὲν ἐν πράγμασι μεγάλοις, μεῖζον, ἢ κατ' ἄνθρωπόν ἐςι· τὸ δ' ἁμαρτόντα χρήσασθαι τοῖς πταίσμασι διδάγμασι πρὸς τὸ λοιπὸν, ἀνδρὸς ἀγαθῦ καὶ νῦν ἔχοντος. ἐγὼ μὲν ὖν ὁμολογῶ μικρὰ μεμφόμενος τὴν τύχην, περὶ μειζόνων ἐπαινεῖν. ἃ γὰρ ὐκ ᾐσθόμην χρόνον τοσῦτον, ἡμέρας μέρει μικρῷ πεπαίδευμαι, γνὺς ἐμαυτὸν ὐκ ἄρχειν ἑτέρων δυνάμενον, ἀλλ' ἄρχοντος ἑτέρυ δεόμενον, καὶ μὴ φιλοτιμύμενον [3] νικᾶν, ὑφ' ὧν νικᾶσθαι κάλλιον. ὑμῖν δὲ τῶν μὲν ἄλλων ἐςὶν ἄρχων ὁ δικτάτωρ· τῆς δὲ πρὸς ἐκεῖνον εὐχαριςίας αὐτὸς ἡγεμὼν ἔςομαι, πρῶτον ἐμαυτὸν εὐπει-

1 V. *ἀναςρεφομένων* vel *ἀνατρεπομένων*. Posterius etiam habet B. 3. Teste H. Steph. est in quodam vetusto cod. *ἀποτρεπομένων*.

2 Teste H. Steph. etiam legitur *πέτων*. (Ita V.) & postea *χαλάζης* pro *ζάλης*.

3 R. susp. *μὴ καλῶς φιλοτ.* — cognovi me contendere, sed parum honeste, parumque decenter contendere de gloriæ victoria cum iis, a quibus vinci multo sit honestius atque gloriosius.

εὐπειθῆ καὶ ποιοῦντα τὸ κελευόμενον ὑπ' ἐκείνου παρεχόμενος. Ταῦτ' εἰπὼν, καὶ τοὺς αἰετοὺς [1] ἔρεσθαι κελεύσας, καὶ πάντας ἀκολουθεῖν, ἦγε πρὸς τὸν χάρακα τοῦ Φαβίου. καὶ παρελθὼν ἐντὸς, ἐβάδιζεν ἐπὶ τὴν στρατηγικὴν σκηνὴν, ὥστε θαυμάζειν καὶ διαπορεῖν πάντας. προελθόντος δὲ τοῦ Φαβίου, θέμενος ἔμπροσθεν τὰς σημαίας, αὐτὸς μὲν ἐκεῖνον πατέρα μεγάλῃ φωνῇ, οἱ δὲ στρατιῶται τοὺς στρατιώτας, πάτρωνας ἠσπάζοντο. τοῦτο δ' ἐστὶ τοῖς ἀπελευθέροις προσφώνημα πρὸς τοὺς ἀπελευθερώσαντας. ἡσυχίας δὲ γενομένης, ὁ Μινούκιος εἶπε· Δύο νίκας, ὦ δικτάτωρ, τῇ σήμερον ἡμέρᾳ νενίκηκας, ἀνδρίᾳ μὲν τοὺς πολεμίους [2], εὐβουλίᾳ δὲ καὶ χρηστότητι τὸν συνάρχοντα· καὶ δι' ἧς μὲν σέσωκας ἡμᾶς, δι' ἧς δὲ πεπαίδευκας, ἡττημένους μὲν αἰσχρὰν ἧτταν ὑπ' ἐκείνου [3], καλὴν δὲ καὶ σωτήριον ὑπὸ σοῦ. πατέρα δή σε χρηστὸν προσαγορεύω [4], τιμιωτέραν οὐκ ἔχων προσηγορίαν, ἐπεὶ τῆς γε τοῦ τεκόντος [5] μείζων ἡ παρὰ σοῦ χάρις αὕτη. ἐγεννήθην μὲν γὰρ ὑπ' ἐκείνου μόνος, σώζομαι δ' ὑπὸ σοῦ μετὰ τοσούτων. Ταῦτ' εἰπὼν καὶ περιβαλὼν τὸν Φάβιον, ἠσπάζετο. τὸ δ' αὐτὸ καὶ τοὺς στρατιώτας ἦν ὁρᾷν πράττοντας· ἐνεφύοντο γὰρ ἀλλήλοις καὶ κατεφίλουν, ὥστε μεστὸν εἶναι χαρᾶς καὶ δακρύων ἡδίστων τὸ στρατόπεδον.

XIV. Ἐκ τούτου Φάβιος μὲν ἀπέθετο τὴν ἀρχὴν, ὕπατοι δ' αὖθις ἀπεδείκνυντο. καὶ τούτων οἱ μὲν πρῶτοι διεφύλαξαν, ἣν ἐκεῖνος ἰδέαν τοῦ πολέμου κατέστησε, μάχεσθαι μὲν ἐκ παρατάξεως φεύγοντες [6] πρὸς Ἀννίβαν, τοῖς



1 Antea legabatur *αὐτοὺς*. *H. Steph.*

2 Teste H. Steph. quidam codd. habent Ἀννίβαν. B. 3. τὸν Ἀννίβαν.

3 V. ἐκείνων.

4 B. 3. προσονομάζω.

5 B. 3. τεκόντος χάριτος.

6 Junt. dat φεύγων, in seqq. partic. ἐπιβ. & κωλ. non a vulgatis dissentiens.

τοῖς δὲ συμμάχοις ἐπιβοηθῦντες, καὶ τὰς ἀποστάσεις κωλύοντες. Τερέντιος δὲ Βάῤῥων εἰς τὴν ὑπατείαν προαχθεὶς ἀπὸ γένυς ἀσήμυ, βίυ δὲ διὰ δημοκοπίαν καὶ προπέτειαν ἐπισήμυ, δῆλος ἦν εὐθὺς ἀπειρίᾳ καὶ θρασύτητι τὸν περὶ τῶν ὅλων ἀναῤῥίψων κύβον. ἐβόα γὰρ ἐν ταῖς ἐκκλησίαις, μένειν τὸν πόλεμον, ἄχρις ὗ Φαβίοις χρῆται στρατηγοῖς ἡ πόλις, αὐτὸς δὲ τῆς αὐτῆς ἡμέρας ὄψεσθαί τε καὶ νικήσειν τὺς πολεμίυς. ἅμα δὲ τύτοις τοῖς λόγοις συνῆγε καὶ κατέγραφε δύναμιν τηλικαύτην, ἡλίκῃ [1] πρὸς ὐδένα πώποτε τῶν πολεμίων ἐχρήσαντο Ῥωμαῖοι. μυριάδες γὰρ ἐννέα δισχιλίων ἀνδρῶν δέυσαι συνετάχθησαν εἰς τὴν μάχην, μέγα δέος Φαβίῳ καὶ τοῖς νῦν ἔχυσι Ῥωμαίων [2]. ὐ γὰρ ἤλπιζον ἕξειν ἀναφορὰν τὴν πόλιν ἐν τοσαύτῃ σφαλεῖσαν ἡλικίᾳ. διὸ καὶ τὸν συνάρχοντα τῦ Τερεντίυ Παῦλον Αἰμίλιον, ἄνδρα πολλῶν [3] πολέμων ἔμπειρον, ὐκ ἀρεστὸν δὲ τῷ δήμῳ, καὶ καταπλῆγα, ἔκ τινος καταδίκης πρὸς τὸ δημόσιον αὐτῷ γεγενημένης, ἀνίστη [4] καὶ παρεθάῤ-

1 Ita legendum censuit H. Steph. pro vulg. ἡλίκην, & dat Anon.

2 Post Ῥωμαίων legitur in quibusdam, teste H. Steph. ἐμβυλόντες. Ita habet V. — Locum quidem Plut. hoc & alio participio carere posse, ita ut μέγα δέος per appositionem dictum intelligatur, aut etiam ὖσαι subaudiatur, Steph. facile concedit. Si quis autem ἐμβαλόντες inseri voluerit, ex usu defendit masculinum partic. cum foemin. μυριάδες jungendum, cum hoc nomen sit collectivum, & in hujusmodi locis non πρὸς τὴν φωνὴν, seu τὴν λέξιν, sed πρὸς τὸ σημαινόμενον respiciatur.

3 Hanc vocem ex seq. lin. qua in vulgatis post καταπλῆγα legitur, ad veram sedem suam reduxisse R. nemo facile negabit. Br. lectionem veterem emendare voluit addendo artic. τῶν πολλῶν, vel potius legendo τῶν πολιτῶν.

4 Ita R. dedit in imperf. pro vulg. ἀνίστη, excitabat perculsum, animi dejectum.

ἐθάῤῥυνεν ἐπιλαμβάνεσθαι τῆς ἐκείνε μανίας· διδάσκων, ὡς ἐ πρὸς Ἀννίβαν αὐτῷ μᾶλλον, ἢ πρὸς Τερέντιον ὑπὲρ τῆς πατρίδος ὁ ἀγὼν ἔσοιτο. σπεύσειν [1] γὰρ μάχην γενέσθαι τὸν μὲν ἐκ αἰσθανόμενον τῆς δυνάμεως [2], τὸν δ' αἰσθανόμενον τῆς περὶ αὐτὸν ἀσθενείας. Ἐγὼ δ', εἶπεν, ὦ Παῦλε, Τερεντίε πιςεύεσθαι δικαιότερός εἰμι, περὶ τῶν Ἀννίβε πραγμάτων διαβεβαιέμενος, ὡς, εἰ μηδεὶς αὐτῷ μαχεῖται τἔτον τὸν ἐνιαυτὸν, ἀπολεῖται μένων ὁ ἀνὴρ, ἢ φεύγων ἄπεισιν· ᾧ γε καὶ νῦν νικᾶν καὶ κρατεῖν δοκἕντι, τῶν μὲν πολεμίων ἐδεὶς προσκεχώρηκε, τῆς δ' οἴκοθεν δυνάμεως ἐδ' ἡ τρίτη μοῖρα πάνυ περίεςι. Πρὸς ταῦτα λέγεται τὸν Παῦλον εἰπεῖν· Ἐμοὶ μὲν, ὦ Φάβιε, τὰ ἐμαυτἕ σκοπἕντι κρεῖτ]όν ἐςι τοῖς τῶν πολεμίων ὑποπεσεῖν δόρασιν, ἢ πάλιν ταῖς ψήφοις τῶν πολιτῶν· εἰ δ' ἕτως ἔχει τὰ δημόσια πράγματα, πειράσομαι μᾶλλόν σοι δοκεῖν ἀγαθὸς εἶναι ςρατηγὸς, ἢ πᾶσι τοῖς ἄλλοις ἐπὶ τἀναντία βιαζομένοις.



1 V. B. 3. σπεύδειν.

1 R. susp. τῆς αὐτῆς δυνάμεως, hasque voces ad Varronem refert, haud intelligentem, quæ sint & quantæ vires, qui nervi suarum copiarum; ideo belli cupidiorem, & in id tota vi incubiturum. Sequentia de Hannibale explicat, bellum *defugituro*, utpote suæ infirmitatis probe intelligente. Unde hæc ex textu R. colligat, Hannibalem esse defugiturum bellum, me nescire fateor, cum Fabius clare dicit, ex utraque parte pugnam iri acceleratum. Quis Hannibalem porro ignorat, de quo Livius eadem oratione, quæ Fabio tribuit, l. 22. c. 39. hæc habet: Omnia audentem contemnet Annibal: nil temere agentem metuet. — Aliter Xyl. vertit: utrumque pugnam acceleraturum: Terentium, quod vires hostium ignoraret: Annibalem, quod sibi suæ imbecillitatis esset conscius. In priori Schirach hunc sequitur; in posteriori discrepat: denn Varro werde eilen, eine Schlacht zu liefern, und die Stärke des Hannibals verkennen, dieser aber werde *gar wohl die Schwäche des Varro kennen.* Quam versionem quin lector facile adprobet, non est, quod dubitem. V. dat περὶ αὐτόν.

Ταύτην ἔχων τὴν προαίρεσιν ὁ Παῦλος, ἐξῆλθεν ἐπὶ τὸν πόλεμον.

XV. Ἀλλ' ὁ Τερέντιος ἐμβαλὼν αὐτὸν εἰς τὸ παρ' ἡμέραν ἄρχειν, καὶ τῷ Ἀννίβᾳ παραστρατοπεδεύσας περὶ [1] τὸν Αὐφίδιον ποταμὸν καὶ τὰς λεγομένας Κάννας, ἅμ' ἡμέρᾳ τὸ τῆς μάχης σημεῖον ἐξέθηκεν· ἔστι δὲ χιτὼν κόκκινος ὑπὲρ τῆς στρατηγικῆς σκηνῆς διατεινόμενος· ὥστε καὶ τοὺς Καρχηδονίους ἐξ ἀρχῆς διαταραχθῆναι, τήν τε τόλμαν τοῦ στρατηγοῦ, καὶ τὸ τοῦ στρατοπέδου πλῆθος ὁρῶντας, αὐτοὺς δ' οὐδ' ἥμισυ μέρος ὄντας. Ἀννίβας δὲ τὴν δύναμιν ἐξοπλίζεσθαι κελεύσας, αὐτὸς ἱππότης μετ' ὀλίγων ὑπὲρ λόφου τινὸς μαλακοῦ κατεσκόπει τοὺς πολεμίους ἤδη καθισταμένους εἰς τάξιν. εἰπόντος δέ τινος τῶν περὶ αὐτὸν ἀνδρὸς ἰσοτίμου, τοὔνομα Γίσκωνος, ὡς θαυμαστὸν αὐτῷ φαίνεται τὸ πλῆθος τῶν πολεμίων, συναγαγὼν τὸ πρόσωπον ὁ Ἀννίβας· Ἕτερον, εἶπεν, ὦ Γίσκων, λέληθέ σε τούτου θαυμασιώτερον. ἐρομένου δὲ τοῦ Γίσκωνος τὸ ποῖον; Ὅτι, ἔφη, τούτων ὄντων τοσούτων, οὐδεὶς ἐν αὐτοῖς Γίσκων καλεῖται. γενομένου δὲ παρὰ δόξαν αὐτοῖς τοῦ σκώμματος, ἐμπίπτει γέλως πᾶσι· καὶ κατέβαινον ἀπὸ τοῦ λόφου, τοῖς ἀπαντῶσιν ἀεὶ τὸ πεπαιγμένον ἀπαγγέλλοντες, ὥστε διὰ πολλῶν [2] πολὺν εἶναι τὸν γέλωτα, καὶ μηδ' ἀναλαβεῖν ἑαυτοὺς

1 V. παρά. Cum pro seq. Αὐφίδιον (Anon. Αὔφιδον.) B. 3. Junt. & Ald. habeat Ἀμφίδιον, hanc obſervationem R. ſubjungit: „Quod in libris eſt Ἀμφίδιον, non ita prorſus eſt improbandum, modo teneatur, illud μ, more Græcorum illud multis literis inutiliter præponentium, redundare, ut πέμπερι aliud nihil eſt, neque aliter ab ipſis pronunciatur, quam a nobis peperi. Ita Ἀμφίδιος non aliter pronunciatur, quam Ἀφίδιος; & ſic pronunciabant Aufidus, quaſi ſine u eſſet exaratum. Omnia nomina ab au incipientia illi per longum a pronunciabant, ita ut u nullum audiretur. Auguſtus, ſemper ut Aguſtus.“

2 R. ſuſp. διὰ πολλοῦ, ſcil. χρόνου, admodum diu.

τὰς δύναθαι τὰς [1] περὶ Ἀννίβαν. τοῦτο τοῖς Καρχηδονίοις ἰδοῦσι θάῤῥος παρέσχε, λογιζομένοις ἀπὸ πολλοῦ καὶ ἰσχυροῦ τοῦ καταφρονοῦντος ἐπιέναι γέλων οὕτως, ὡς καὶ παίζειν, τῷ στρατηγῷ [2] παρὰ τὸν κίνδυνον.

XVI. Ἐν δὲ τῇ μάχῃ στρατηγήμασιν ἐχρήσατο, πρώτῳ μὲν, τῷ ἀπὸ τοῦ τόπου, ποιησάμενος κατὰ νώτου τὸν ἄνεμον. πρηστῆρι γὰρ ἐοικὼς φλέγοντι κατεῤῥήγνυτο, καὶ τραχὺν ἐκ πεδίων ὑφάμμων καὶ ἀναπεπταμένων αἴρων κονιορτὸν, ὑπὲρ τὴν φάλαγγα τῶν Καρχηδονίων ἐπὶ τοὺς Ῥωμαίους ἐώθει, καὶ προσέβαλλε τοῖς προσώποις ἀποστρεφομένοις καὶ συνταραττομένοις. δευτέρῳ δὲ, τῷ περὶ τὴν τάξιν· ὃ γὰρ ἦν ἰσχυρότατον αὐτῷ [3] καὶ μαχιμώτατον τῆς δυνάμεως ἑκατέρωσε τοῦ μέσου τάξας, τὸ μέσον αὐτὸ [4] συνεπλήρωσεν ἐκ τῶν ἀχρειοτάτων, ἐμβόλῳ τούτῳ προέχοντι πολὺ τῆς ἄλλης φάλαγγος χρησάμενος, εἴρητο δὲ τοῖς κρατίστοις, ὅταν τούτους διακόψαντες οἱ Ῥωμαῖοι, καὶ φερόμενοι πρὸς τὸ εἶκον, ἐκφερομένου [5] τοῦ μέσου καὶ κόλπον λαμβάνοντος, ἐντὸς γένωνται τῆς φάλαγγος, ὀξέως ἑκατέρωθεν ἐπιστρέψαντας, ἐμβαλεῖν τε πλαγίοις, καὶ περιπτύσσειν, ὄπισθεν συγκλείοντας. ὃ δὴ καὶ δοκεῖ τὸν πλεῖστον ἀπεργάσασθαι φόνον. ὡς γὰρ ἐνέδωκε τὸ μέσον, καὶ τοὺς Ῥωμαίους ἐδέξαντο διώκοντας, ἡ δὲ φάλαγξ τοῦ Ἀννίβου, μεταβαλοῦσα τὸ σχῆμα, μηνοειδὴς ἐγεγόνει, καὶ τῶν ἐπιτάκτων [6] οἱ ταξίαρχοι, ταχὺ τοὺς μὲν ἐπ' ἀσπίδα, τοὺς δ' ἐπὶ



1 V. e Junt. B. 3. τοῖς.

2 V. τὸν στρατηγόν.

3 Ita dedit Anon. Vulg. αὐτῶν.

4 Ita correxit Br. pro vulg. αὐτὸς συνεπλ.

5 Ita una voce dedit Fl. & Ald. — Vulg. duabus vocibus ἐκ φερομένου. Br. voluit ἐμφερομένου, media acie introrsum repulsa, ut infra τὸ μέσον dicitur ἐνδιδόναι

6 Ita R. dedit de suo pro vulg. ἐπιλέκτων. — in subsidiis, in postrema acie locatorum.

δ' ἐπὶ δόρυ κλίναντες, προσέπεσον κατὰ τὰ γυμνὰ, πάντας, ὅσοι μὴ τὴν κύκλωσιν ὑπεκκλίναντες [1] ἔφθασαν, ἐν μέσῳ κατειργάσαντο καὶ διέφθειραν. λέγεται δὲ καὶ τοῖς ἱππεῦσι τῶν Ῥωμαίων σύμπτωμα παράλογον γενέσθαι. τὸν γὰρ Παῦλον, ὡς ἔοικε, τρωθεὶς ὁ ἵππος ἀπεσείσατο, καὶ τῶν περὶ αὐτὸν ἄλλος καὶ ἄλλος ἀπολιπὼν τὸν ἵππον, πεζὸς τῷ ὑπάτῳ προσήμυνε. τοῦτο δ' οἱ ἱππεῖς [2] ἰδόντες, ὡς παραγγέλματος κοινοῦ δεδομένου, πάντες ἀποπηδήσαντες, πεζοὶ συνεπλέκοντο τοῖς πολεμίοις. ἰδὼν δ' Ἀννίβας· Τοῦτ' ἔφη, μᾶλλον ἠβουλόμην, ἢ εἰ δεδεμένους παρέλαβον. ἀλλὰ ταῦτα μὲν οἱ τὰς διεξοδικὰς γράψαντες ἱστορίας ἀπηγγέλκασι. τῶν δ' ὑπάτων, ὁ μὲν Βάῤῥων ὀλιγοστὸς ἀφίππευσεν εἰς Οὐενουσίαν πόλιν· ὁ δὲ Παῦλος ἐν τῷ βυθῷ καὶ κλύδωνι τῆς φυγῆς ἐκείνης, βελῶν τε πολλῶν ἔτι [3] τοῖς τραύμασιν ἐγκειμένων ἀνάπλεως τὸ σῶμα, καὶ τὴν ψυχὴν πένθει τοσούτῳ βαρυνόμενος, πρός τινι λίθῳ καθῆστο, τὸν ἐπισφάξοντα τῶν πολεμίων ἀναμένων. ἦν δὲ δι' αἵματος πλῆθος, ᾧ συνεπέφυρτο τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, οὐ πολλοῖς διάδηλος, ἀλλὰ καὶ φίλοι καὶ θεράποντες αὐτὸν ὑπ' ἀγνοίας παρῆλθον. μόνος δὲ Κορνήλιος Λέντλος, εὐπατρίδης νέος, ἰδὼν καὶ προνοήσας, ἀπεπήδησε τοῦ ἵππου, καὶ προσαγαγὼν παρεκάλει χρῆσθαι καὶ σώζειν αὐτὸν τοῖς πολίταις, ἄρχοντος ἀγαθοῦ τότε μάλιστα χρῄζουσιν. ὁ δὲ ταύτην μὲν ἀπετρίψατο [4] τὴν δέησιν, καὶ τὸ μειράκιον αὖθις ἠνάγκασεν ἐπὶ τὸν ἵππον ἀναβῆναι δακρύον [5]. εἶτα δὲ τὴν δεξιὰν ἐμβαλὼν, καὶ συνεξαναστὰς· Ἀπάγγελλε, εἶπεν, ὦ Λέντλε, Φαβίῳ

1 Ita R. dedit de suo pro vulg. ἐπεκκλ.

2 Ita cum artic. dedit Fl. — quod Br. probavit. Vulg. omittunt articulum.

3 Ita R. dedit pro vulg. ἐπὶ.

4 Ita B. 3. quod Br. lectioni vulg. ἀπετρέψατο antetulit.

5 Anon. δακρύων.

Φαβίῳ Μαξίμῳ, καὶ γενȣ̃ μάρτυς αὐτὸς, ὅτι Παῦλος Αἰμίλιος ἐνέμεινεν αὐτȣ̃ τοῖς λογισμοῖς ἄχρι τέλȣς, καὶ τῶν ὁμολογηθέντων πρὸς ἐκεῖνον ȣ̓δὲν ἔλυσεν, ἀλλ' ἐνικήθη πρότερον ὑπὸ Βάῤῥωνος, εἶθ' ὑπ' Ἀννίβȣ. Τοσαῦτ' ἐπιςείλας, τὸν μὲν Λέντλον ἀπέπεμψεν, αὐτὸς δὲ ῥίψας ἑαυτὸν εἰς τȣ̀ς φονευομένȣς, ἀπέθανε. λέγονται δὲ πεσεῖν μὲν ἐν τῇ μάχῃ Ῥωμαίων πεντακισμύριοι, ζῶντες δ' ἁλῶναι τετρακιχίλιοι· καὶ μετὰ τὴν μάχην οἱ ληφθέντες ἐπ' ἀμφοτέροις τοῖς ςρατοπέδοις, μυρίων ȣ̓κ ἐλάττȣς.

XVII. Τὸν δ' Ἀννίβαν ἐπὶ τηλικȣ́τῳ κατορθώματι τῶν φίλων παρορμώντων ἅμ' ἕπεθαι τῇ τύχῃ, καὶ συνεπεισπεσεῖν ἅμα τῇ φυγῇ τῶν πολεμίων εἰς τὴν πόλιν, πεμπταῖον γὰρ ἀπὸ τῆς νίκης ἐν Καπιτωλίῳ δειπνήσειν, ȣ̓ ῥᾴδιον εἰπεῖν, ὅςις ἀπέτρεψε λογισμός· ἀλλὰ μᾶλλον δαίμονος, ἢ Θεȣ̃ τινος, ἐμποδὼν ςάντος ἔοικεν ἔργον, ἡ πρὸς τȣ̃το μέλλησις αὐτȣ̃ καὶ δειλίασις [1] γενέθαι. διὸ καὶ Βάρκαν τὸν Καρχηδόνιον εἰπεῖν μετ' ὀργῆς πρὸς αὐτὸν λέγȣσι· Σὺ νικᾷν οἶδας, νίκῃ δὲ χρῆθαι ȣ̓κ οἶδας. καίτοι τοσαύτην μεταβολὴν ἡ νίκη περὶ αὐτὸν ἐποίησεν, ὡς πρὸ τῆς μάχης, ȣ̓ πόλιν, ȣ̓κ ἐμπόριον, ȣ̓ λιμένα τῆς Ἰταλίας ἔχοντα, χαλεπῶς δὲ καὶ μόλις τὰ ἐπιτήδεια τῇ ςρατιᾷ δι' ἁρπαγῆς κομιζόμενον, ὁρμώμενον ἀπ' ȣ̓δενὸς βεβαίȣ πρὸς τὸν πόλεμον, ἀλλ', ὥσπερ λῃςηρίῳ μεγάλῳ, τῷ ςρατοπέδῳ πλανώμενον καὶ περιφερόμενον, τότε πᾶσαν ὀλίγȣ δεῖν ὑφ' αὐτῷ [2] ποιήσαθαι τὴν Ἰταλίαν. τὰ γὰρ πλεῖςα καὶ μέγιςα τῶν ἐθνῶν αὐτῷ προσεχώρησεν ἑκȣ́σια, καὶ Καπύην, ἣ μέγιςον ἔχει μετὰ Ῥώμην ἀξίωμα τῶν πόλεων, προσθεμένην κατέχεν. ȣ̓ μόνον δ' ἦν ἄρα τὸ φίλων

1 De hac voce R. dubitat, nefcius, an usquam fimplex reperiatur, compofitam autem ἀποδειλ. ufitatiorem exiftimans.
2 V. ὑφ' ἑαυτόν.

φίλων πεῖραν λαβεῖν, ὡς Εὐριπίδης φησὶν, ȣ̓ σμικρὸν κακὸν, ἀλλὰ καὶ τὸ φρονίμων ϛρατηγῶν. ἡ γὰρ πρὸ τῆς μάχης Φαβίȣ δειλία καὶ ψυχρότης λεγομένη, μετὰ τὴν μάχην εὐθὺς ȣ̓δ' ἀνθρώπινος ἐδόκει λογισμὸς, ἀλλὰ θεῖόν τι χρῆμα διανοίας καὶ δαιμόνιον, ἐκ τοσȣ́τȣ τὰ μέλλοντα προορωμένης, ἃ μόλις ἦν πιϛὰ τοῖς [1] πάσχȣσιν. ὅθεν εὐθὺς εἰς ἐκεῖνον ἡ Ῥώμη συνενεγκȣ̃σα τὰς λοιπὰς ἐλπίδας, καὶ προσφυγȣ̃σα τῇ γνώμῃ τȣ̃ ἀνδρὸς ὥσπερ ἱερῷ καὶ βωμῷ, πρώτην καὶ μεγίϛην αἰτίαν ἔσχε τȣ̃ μεῖναι καὶ μὴ διαλυθῆναι, τὴν ἐκείνȣ φρόνησιν, καθάπερ [2] ἐν τοῖς Κελτικοῖς πάθεσιν. ὁ γὰρ ἐν οἷς ȣ̓δὲν ἐδόκει δεινὸν εἶναι καιροῖς εὐλαβὴς φαινόμενος καὶ δύσελπις [3], τότε πάντων καταβεβληκότων ἑαυτȣ̀ς εἰς ἀπέραντα πένθη καὶ ταραχὰς ἀπράκτȣς, μόνος ἐφοίτα διὰ τῆς πόλεως, πρᾴῳ βαδίσματι, καὶ προσώπῳ καθεϛῶτι, καὶ φιλανθρώπῳ προσαγορεύσει, κοπετȣ̀ς τε γυναικείȣς ἀφαιρῶν, καὶ συϛάσεις εἴργων τῶν εἰς τὸ δημόσιον ἐπὶ κοινοῖς [4] ὀδυρμοῖς ἐκφερομένων. βȣλήν τε συνελθεῖν ἔπεισε καὶ παρεθάρσυνε τὰς ἀρχὰς, αὐτὸς ὢν καὶ ῥώμη καὶ δύναμις ἀρχῆς ἁπάσης πρὸς ἐκεῖνον ἀποβλεπȣ́σης.

XVIII. Ταῖς μὲν ȣ̃ν πύλαις ἐπέϛησε τȣ̀ς τὸν ἐκπίπτοντα καὶ προλείποντα τὴν πόλιν ὄχλον ἀπείρξοντας· πένθȣς δὲ καὶ τόπον καὶ χρόνον ὥρισε, κατ' οἰκίαν ἀποθρηνεῖν κελεύσας ἐφ' ἡμέρας τριάκοντα τὸν βȣλόμενον. μετὰ

1 deeſt B. 3.

2 R. quærit, num καθάπερ τὴν Καμίλλȣ ἐν τοῖς K. π. —

3 Ita R. dedit pro vulg. δυσέλπιϛος, cum hoc ſit paſſivum, de quo male ſperatur — & a ſententia abhorreat; δύσελπις autem activum, qui male & ægre ſperat — ſententiæ magis conveniat.

4 Tuetur quidem hanc lectionem R. — ad complorandum & lamentandum communiter clades publicas. Suſpicatus tamen fuerat de κενοῖς, vanis, irritis. —

μετὰ δὲ ταύτας ἔδει πᾶν πένθος λύεσθαι, καὶ καθαρεύειν τῶν τοιέτων τὴν πόλιν· ἑορτῆς τε Δήμητρος εἰς τὰς ἡμέρας ἐκείνας καθηκέσης, βέλτιον ἐφάνη παραλιπεῖν ὅλως τάς τε θυσίας καὶ τὴν πομπὴν, ἢ τὸ μέγεθος τῆς συμφορᾶς ὀλιγότητι καὶ κατηφείᾳ τῶν συνερχομένων ἐλέγχεσθαι· καὶ γὰρ τὸ θεῖον ἥδεσθαι τιμώμενον ὑπὸ τῶν εὐτυχέντων. ὅσα μέντοι πρὸς ἱλασμὲς Θεῶν, ἢ τεράτων ἀποτροπὰς συνηγόρευον οἱ μάντεις, ἐπράττετο. καὶ γὰρ εἰς Δελφὲς ἐπέμφθη θεοπρόπος Πίκτωρ συγγενὴς Φαβίε, καὶ τῶν Ἑςιάδων παρθένων δύο διεφθαρμένας εὑρόντες, τὴν μὲν, ὥσπερ ἐςὶν ἔθος, ζῶσαν κατώρυξαν, ἡ δ' ὑφ' ἑαυτῆς ἀπέθανε. μάλιςα δ' ἄν τις ἠγάσατο [1] τὸ φρόνημα καὶ τὴν πρᾳότητα τῆς πόλεως, ὅτε τε ὑπάτε Βάῤῥωνος ἀπὸ τῆς φυγῆς ἐπανιόντος, ὡς ἂν τις αἴχιςα καὶ δυσποτμότατα πεπραχὼς ἐπανίοι, ταπεινε καὶ κατηφε̃ς, ἀπήντησεν αὐτῷ περὶ τὰς πύλας ἥ τε βελὴ καὶ τὸ πλῆθος ἅπαν, ἀσπαζόμενοι. οἱ δ' ἐν τέλει καὶ πρῶτοι τῆς γερεσίας, ὧν καὶ Φάβιος ἦν, ἡσυχίας γενομένης, ἐπῄνεσαν, ὅτι τὴν πόλιν ἐκ ἀπέγνω μετὰ δυςυχίαν τηλικαύτην, ἀλλὰ πάρεςιν ἄρξων ἐπὶ τὰ πράγματα, καὶ χρησόμενος τοῖς νόμοις καὶ τοῖς πολίταις, ὡς σώζεσθαι δυναμένοις.

XIX. Ἐπεὶ δ' Ἀννίβαν ἐπύθοντο μετὰ τὴν μάχην ἀποτετράφθαι πρὸς τὴν ἄλλην Ἰταλίαν, ἀναθαῤῥήσαντες ἐξέπεμπον ἡγεμόνας καὶ ςρατεύματα. τέτων δ' ἐπιφανέςατοι, Φάβιός τε Μάξιμος, καὶ Κλαύδιος Μάρκελλος ἦσαν, ἀπὸ τῆς ἐναντίας σχεδὸν προαιρέσεως θαυμαζόμενοι παραπλησίως. ὁ μὲν γὰρ, ὥσπερ ἐν τοῖς περὶ αὐτε γεγραμμένοις εἴρηται, περιλαμπὲς τὸ δραςήριον ἔχων καὶ γαῦρον, ἅτε δὴ καὶ κατὰ χεῖρα πλήκτης ἀνὴρ καὶ φύσει τοιε̃τος ὢν, οἵες Ὅμηρος μάλιςα καλεῖ φιλοπτολέμες [2] καὶ ἀγερώχες,

1 Junt. ἠγήσατο.
2 B. 3. φιλοπολέμεις.

χϐς, ἐν τῷ παραβόλῳ καὶ ἰταμῷ καὶ πρὸς ἄνδρα τολμηρὸν τὸν Ἀννίβαν ἀντιτολμῶντι [τῷ [1]] τρόπῳ τϐ πολέμϐ συνίςατο τϐς πρώτϐς ἀγῶνας· Φάβιος δὲ, τῶν πρώτων ἐχόμενος λογισμῶν ἐκείνων, ἤλπιζε μηδενὸς μαχομένϐ, μηδ' ἐρεθίζοντος τὸν Ἀννίβαν, αὐτὸν ἐπηρεάσειν ἑαυτῷ, καὶ κατατριβήσεσθαι περὶ τὸν πόλεμον, ὥσπερ ἀθλητικὰ σώματα [2], τῆς δυνάμεως ὑπερτόνϐ γενομένης καὶ καταπόνϐ [3], ταχύτατα τὴν ἀκμὴν ἀποβάλλοντα. διὸ τϐτον μὲν ὁ Ποσειδώνιος Φησὶ θυρεὸν, τὸν δὲ Μάρκελλον, ξίφος ὑπὸ τῶν Ῥωμαίων καλεῖσθαι· κιρναμένην δὲ τὴν Φαβίϐ βεβαιότητα [4] καὶ ἀσφάλειαν τῇ Μαρκέλλϐ συνηθείᾳ [5] σωτήριον γενέσθαι τοῖς Ῥωμαίοις. ὁ δ' Ἀννίβας τῷ μὲν ὡς ῥέοντι σφόδρα ποταμῷ πολλάκις ἀπαντῶν, ὑπεσείετο [6] καὶ παρερρήγνυετο τὴν δύναμιν· ὑφ' ϐ δὲ καὶ κατὰ μικρὸν ὑπορρέοντος ἀψοφητὶ καὶ παρεμπίπτοντος ἐνδελεχῶς, ὑπερειπόμενος καὶ δαπανώμενος ἐλάνθανε. καὶ τελευτῶν εἰς ἀπορίαν κατέςη τοσαύτην, ὥςε Μαρκέλλῳ μὲν ἀποκαμεῖν μαχόμενον, Φάβιον δὲ φοβεῖσθαι μὴ μαχόμενον. τὸ γὰρ πλεῖςον, ὡς εἰπεῖν, τϐ χρόνϐ τϐτοις διεπο-

1 R. uncis hunc artic. inclusit, cum antea jam præcessit. Sequentem artic. τϐ ante πολ. omittit Junt. & Ald.

2 Ita R. dedit in nomin. pro vulg. ἀθλητικϐ σώματος. Subaud. ποιεῖ, vel εἴωθε ποιεῖν, vel κατατρίβεται αὐτὰ περὶ ἑαυτοῖς.

3 R. susp. κατακόρϐ, plus quam par est saturata, h. e. in nimium adaucta.

4 B. 3. γενναιότητα.

5 Sic dedit Ald. prima. Junt. συνηθείᾳ. Utramque lectionem R. vitiosam censet. Sed, quamnam substituat, hæsitat. Equidem vix credo, levem aliquam mutationem vocis quæ lectori satisfaciat, inveniri posse. Forsan aliis placet versio Xylandri: ac Fabii in tutis consiliis constantiam Marcelli *societate* temperatam, salutarem Romanis fuisse.

6 Ita R. dedit pro vulg. ἀπεσείετο. — Convellebatur, labefactabatur. B. 3. ἐσείετο.

διεπολέμησεν ἢ στρατηγοῖς, ἢ ἀνθυπάτοις, ἢ ὑπάτοις ἀποδεικνυμένοις. ἑκάτερος γὰρ αὐτῶν πεντάκις ὑπάτευσεν. ἀλλὰ Μάρκελλον μὲν, ὑπατεύοντα τὸ πέμπτον, ἐνέδρᾳ περιβαλὼν, ἔκτεινε· Φαβίῳ δὲ πᾶσαν ἀπάτην καὶ διάπειραν ἐπάγων πολλάκις, οὐδὲν ἐπέραινε, πλὴν ἅπαξ ὀλίγου [1] παρακρουσάμενος ἔσφηλε τὸν ἄνδρα. συνθεὶς γὰρ ἐπιστολὰς παρὰ τῶν ἐν Μεταποντίῳ δυνατῶν καὶ πρώτων, ἔπεμψε πρὸς τὸν Φάβιον, ὡς τῆς πόλεως ἐνδοθησομένης, εἰ παραγένοιτο, καὶ τῶν τοῦτο πραττόντων ἐκεῖνον ἐλθεῖν καὶ φανῆναι πλησίον ἀναμενόντων. ταῦτ' ἐκίνησε τὸν Φάβιον τὰ γράμματα, καὶ λαβὼν μέρος τι τῆς στρατιᾶς, ἔμελλεν ὁρμήσειν διὰ νυκτός. εἶτα χρησάμενος ὄρνισιν οὐκ αἰσίοις, ἀπετράπη, καὶ μετὰ μικρὸν ἐπεγνώσθη τὰ γράμματα πρὸς αὐτὸν ὑπ' Ἀννίβου δόλῳ συντεθέντα, κἀκεῖνος ἐνεδρεύων αὐτὸν ὑπὸ τὴν πόλιν. ἀλλὰ ταῦτα μὲν ἄν τις εὐνοίᾳ Θεῶν ἀναθείη.

XX. Τὰς δ' ἀποστάσεις τῶν πόλεων καὶ τὰ κινήματα τῶν συμμάχων ὁ Φάβιος μᾶλλον ᾤετο δεῖν ἠπίως ὁμιλοῦντα καὶ πρᾴως, ἀνείργειν καὶ δυσωπεῖν, μὴ πᾶσαν ὑπόνοιαν ἐλέγχοντα, καὶ χαλεπὸν ὄντα παντάπασι [2] τοῖς ὑπόπτοις. λέγεται γὰρ, ὅτι στρατιώτην ἄνδρα Μάρσον, ἀνδρείᾳ καὶ γένει τῶν συμμάχων πρῶτον, αἰσθόμενος διειλεγμένον τισὶ τῶν ἐν τῷ στρατοπέδῳ [3] περὶ ἀποστάσεως, οὐ διηρέθισεν, ἀλλ' ὁμολογήσας ἠμελῆσθαι παρ' ἀξίαν αὐτὸν, νῦν μὲν ἔφη τοὺς ἡγεμόνας αἰτιᾶσθαι, πρὸς χάριν μᾶλλον, ἢ πρὸς ἀρετὴν, τὰς τιμὰς νέμοντας· ὕστερον δ' ἐκεῖνον αἰτιάσεσθαι μὴ φράζοντα, μηδ' ἐντυγχάνοντα πρὸς αὐτὸν, εἴ του δέοιτο. καὶ ταῦτ' εἰπὼν, ἵππον τε πολεμιστὴν ἐδωρήσατο, καὶ τοῖς

1 Ita V. Anon. B. 3. — Vulg. ὀλίγον.
2 Br. mavult πᾶσι.
3 B. 3. τῶν στρατοπέδων.

τοῖς ἄλλοις ἀριστείοις ἐκόσμησεν, ὥστε πιστότατον ἐξ ἐκείνου καὶ προθυμότατον εἶναι τὸν ἄνδρα. δεινὸν γὰρ ἡγεῖτο, τοὺς μὲν ἱππικοὺς καὶ κυνηγετικοὺς, ἐπιμελείᾳ καὶ συνηθείᾳ καὶ τροφῇ μᾶλλον, ἢ μάστιξι καὶ κλοιοῖς τὴν χαλεπότητα τῶν ζώων καὶ τὸ θυμούμενον καὶ τὸ δυσκολαῖνον ἐξαιρεῖν· τὸν δ' ἀνθρώπων ἄρχοντα μὴ τὸ πλεῖστον ἐν χάριτι καὶ πραότητι τῆς ἐπανορθώσεως τίθεσθαι, σκληρότερον δὲ προσφέρεσθαι καὶ βιαιότερον ἤπερ οἱ γεωργοῦντες ἐρινεοῖς καὶ ἀχράσι καὶ κοτίνοις προσφέρονται, τὰ μὲν εἰς ἐλαίας, τὰ δ' εἰς ἀπίους, τὰ δ' εἰς συκᾶς ἐξημεροῦντες καὶ τιθασσεύοντες. ἕτερον τοίνυν τῷ γένει Λευκανὸν ἄνδρα προσήγγειλαν οἱ λοχαγοὶ ῥεμβόμενον ἀπὸ τοῦ στρατοπέδου, καὶ τὴν τάξιν ἐκλείποντα πολλάκις. ὁ δ' ἠρώτησε, τἆλλα ποῖόν τινα τὸν ἄνθρωπον εἰδεῖεν ὄντα. μαρτυρούντων δὲ πάντων, ὅτι ῥᾳδίως ἕτερος οὐκ εἴη στρατιώτης τοιοῦτος, ἅμα τ' αὐτοῦ τινας ἀνδραγαθίας ἐπιφανεῖς καὶ πράξεις [1] λεγόντων, αἰτίαν τῆς ἀταξίας ζητῶν, εὗρεν ἔρωτι παιδίσκης κατεχόμενον τὸν ἄνδρα, καὶ κινδυνεύοντα μακρὰς ὁδοὺς ἑκάστοτε φοιτῶντα πρὸς ἐκείνην ἀπὸ τοῦ στρατοπέδου. πέμψας οὖν τινας ἀγνοοῦντος αὐτοῦ, καὶ συλλαβὼν τὸ γύναιον, ἔκρυψεν ἐν τῇ σκηνῇ, καὶ καλέσας τὸν Λευκανὸν ἰδίᾳ πρὸς αὐτόν· Οὐ λέληθας, ἔφη, παρὰ τὰ τῶν Ῥωμαίων πάτρια καὶ τοὺς νόμους ἀπονυκτερεύων τοῦ στρατοπέδου πολλάκις. ἀλλ' οὐδὲ χρηστὸς ὢν πρότερον ἐλελήθεις. τὰ μὲν οὖν ἡμαρτημένα σοὶ λελύσθω τοῖς ἠνδραγαθημένοις, τὸ δὲ λοιπὸν, ἐφ' ἑτέρῳ ποιήσομαι τὴν φρουράν. θαυμάζοντος δὲ τοῦ στρατιώτου, προαγαγὼν τὴν ἄνθρωπον ἐνεχείρισεν αὐτῷ, καὶ εἶπεν· Αὕτη μὲν ἐγγυᾶταί σε μενεῖν ἐν τῷ στρατοπέδῳ μεθ' ἡμῶν· σὺ δ' ἔργῳ δείξεις, εἰ μὴ δι' ἄλλην τινὰ μοχθηρίαν ἀπέλιπες, ὁ δ' ἔρως καὶ αὕτη, πρόφασις ἦν λεγομένη. ταῦτα μὲν περὶ τούτων ἱστοροῦσι.

XXI.

1 R. suſp. deeſſe μεγάλας.

XXI. Τὴν δὲ Ταραντίνων πόλιν ἔσχεν ἑαλωκυῖαν ἐκ προδοσίας τὸν τρόπον τοῦτον. ἐστρατεύετο παρ' αὐτῷ νεανίας Ταραντῖνος ἔχων ἀδελφὴν εἰς Τάραντα, πιστῶς πάνυ καὶ φιλοστόργως διακειμένην πρὸς αὐτόν. ἤρα δὲ ταύτης ἀνὴρ Βρέττιος τῶν τεταγμένων ὑπ' Ἀννίβου τὴν πόλιν φρουρεῖν ἐφ' ἡγεμονίᾳ [1]. τοῦτο πράξεως ἐλπίδα τῷ Ταραντίνῳ παρέσχε, καὶ τοῦ Φαβίου συνειδότος εἰς τὴν πόλιν ἀφείθη, λόγῳ δ' ἀποδεδράκει πρὸς τὴν ἀδελφήν. αἱ μὲν οὖν πρῶται τῶν ἡμερῶν [2] ἦσαν, καὶ καθ' ἑαυτὸν ὁ Βρέττιος ἀνεπαύετο, λανθάνειν τὸν ἀδελφὸν οἰομένης [3] ἐκείνης. ἔπειτα λέγει πρὸς αὐτὴν ὁ νεανίας· Καὶ μὴν ἐκεῖ [4] λόγος ἐφοίτα πολὺς ἀνδρί σε τῶν δυνατῶν [5] καὶ μεγάλων συνεῖναι. τίς οὗτός ἐστιν; εἰ γὰρ εὐδόκιμός τις, ὥς φασιν, ἀρετῇ καὶ λαμπρῶς, ἐλάχιστα φροντίζει γένους ὁ πάντα συμμιγνὺς πόλεμος. αἰσχρὸν δὲ μετ' ἀνάγκης οὐδὲν, ἀλλ' εὐτυχία τις, ἐν καιρῷ τὸ δίκαιον ἀσθενὲς ἔχοντι, πρᾳοτάτῳ χρήσασθαι τῷ βιαζομένῳ. Ἐκ τούτου μεταπέμπεται μὲν ἡ γυνὴ τὸν Βρέττιον, καὶ γνωρίζει τὸν ἀδελφὸν αὐτῷ. ταχὺ δὲ συμπράττων τὴν ἐπιθυμίαν ἐκεῖνος, καὶ μᾶλλον, ἢ πρότερον, εὔνουν καὶ χειροήθη τῷ βαρβάρῳ δοκῶν παρέχειν τὴν ἀδελφὴν, ἔσχε πιστῶς [6], ὥστε μὴ χαλεπῶς ἐρῶντος ἀνθρώπου μισθοφόρου μεταστῆσαι διάνοιαν ἐπ' ἐλπίσι δωρεῶν μεγάλων, ἃς ἐπηγγέλλετο παρέξειν

αὐτῷ

1 Ita R. dedit pro vulg. ἐφ' ἡγεμονίας — quo dux, præfes oppidi esset, als Kommandant.

2 R. videtur deesse ἀσυνεστίαστοι αὐτοῖς.

3 Teste H. Steph. etiam legitur οἰόμενος: quod reponendum censuit.

4 Hanc lectionem revocavit R. e Junt. & Ald. pro vulg. καὶ μὲν, ἐκεῖ. Ed. Frft. eandem jam exhibet.

5 V. δυναστῶν.

6 R. susp. τοσοῦτον ἔσχε πίστεως, tantam fidem invenit apud Bruttium.

αὐτῷ τὸν Φάβιον. ταῦτα μὲν οὖν οἱ πλεῖστοι γράφουσι περὶ τούτων, ἔνιοι δὲ τὴν ἄνθρωπον, ὑφ' ἧς ὁ Βρέττιος μετήχθη, φασὶν οὐ Ταραντίνην, ἀλλὰ Βρεττίαν τὸ γένος οὖσαν, τῷ δὲ Φαβίῳ παλλακευομένην, ὡς ᾔσθετο πολίτην καὶ γνώριμον ὄντα τὸν τῶν Βρεττίων [1] ἄρχοντα τότε, Φαβίῳ φράσαι, καὶ συνελθοῦσαν εἰς λόγους ὑπὸ τὸ τεῖχος, ἐκπεῖσαι καὶ κατεργάσασθαι τὸν ἄνθρωπον.

XXII. Πραττομένων δὲ τούτων, ὁ Φάβιος περισπάσαι τὸν Ἀννίβαν τεχνάζων, ἐπέστειλε τοῖς ἐν Ῥηγίῳ στρατιώταις τὴν Βρεττίαν καταδραμεῖν, καὶ Καυλωνίαν ἐξελεῖν κατὰ κράτος στρατοπεδεύσαντας [2] ὀκτακισχιλίους ὄντας, αὐτομόλους δὲ τοὺς πολλοὺς, καὶ τῶν ἐκ Σικελίας ὑπὸ Μαρκέλλου κεκομισμένων [3] ἀτίμων τοὺς ἀχρηστοτάτους, καὶ μετ' ἐλαχίστης τῇ πόλει λύπης καὶ βλάβης ἀπολλυμένους [4]. ἤλπιζε γὰρ, τούτους προέμενος τῷ Ἀννίβᾳ καὶ δελεάσας, ἀπάξειν αὐτὸν ἀπὸ τοῦ Τάραντος. ὃ καὶ συνέβαινεν. εὐθὺς γὰρ ἐκεῖ διώκων ὁ Ἀννίβας ἐῤῥύη μετὰ τῆς δυνάμεως. ἡμέρᾳ δ' ἕκτῃ τοὺς Ταραντίνους τοῦ Φαβίου περιστρατοπεδεύσαντος, ὁ προδιειλεγμένος [5] τῷ Βρεττίῳ μετὰ τῆς ἀδελφῆς νεανίσκος ἧκε νύκτωρ πρὸς αὐτὸν, εἰδὼς ἀκριβῶς καὶ καθεωρακὼς τὸν

1 R. legendum censet aut τῶν Ταραντίνων, aut τῶν ἐν Τάραντι Βρεττίων.

2 R. mavult περιστρατοπεδεύσαντας.

3 Ita B. 3. Consentiunt Interpp. — Vulg. κεκοσμημένων. Per seq. ἀτίμους intelligit R. illos milites, qui ob rem ad Cannas male gestam a Senatu Rom. infamia notati & in Siciliam missi, deinde vero a Marcello rursus illinc in Italiam reportati fuerant. Meziriacus conjecit Ἀγαθυρναίων, vel Ἀγαθυρνίτων, ab Agathyrno Siciliæ oppido, unde milites isti Italiam transvecti sunt. V. ἀτίμως.

4 R. subaudiri vult ἂν — perituros. Br. susp. ἀπολουμένους.

5 Ita edidit Br. auctoritate fretus Steph. & B. 3. pro mendoso προδηλεγμένος.

τὸν τόπον, ἐφ' ὃ παραφυλάττων ὁ Βρέττιος ἔμελλεν ἐνδώσειν καὶ παρήσειν [1] τοῖς προσβάλλουσιν. οὐ μὴν ἁπλῶς γε τῆς προδοσίας ἐξήρτησεν ὁ Φάβιος τὴν πρᾶξιν, ἀλλ' αὐτὸς μὲν ἐκεῖσε παρελθὼν ἡσυχίαν ἦγεν, ἡ δ' ἄλλη στρατιὰ προσέβαλλε τοῖς τείχεσιν ἔκ τε γῆς καὶ θαλάττης, ἅμα ποιοῦσα πολλὴν κραυγὴν καὶ θόρυβον· ἄχρις οὗ τῶν πλείστων Ταραντίνων ἐκεῖ βοηθούντων καὶ συμφερομένων τοῖς τειχομαχοῦσιν, ἐσήμηνε τῷ Φαβίῳ τὸν καιρὸν ὁ Βρέττιος, καὶ διὰ κλιμάκων ἀναβὰς ἐκράτησε τῆς πόλεως. ἐνταῦθα μέντοι δοκεῖ φιλοτιμίας ἥττων γενέσθαι· τοὺς γὰρ Βρεττίους πρώτους ἀποσφάττειν ἐκέλευσεν, ὡς μὴ προδοσίᾳ τὴν πόλιν ἔχων φανερὸς γένοιτο. καὶ [2] ταύτης τε διήμαρτε τῆς δόξης, καὶ διαβολὴν ἀπιστίας προσέλαβε καὶ ὠμότητος. ἀπέθανον δὲ πολλοὶ καὶ τῶν Ταραντίνων· οἱ δὲ πραθέντες, ἐγένοντο τρισμύριοι, καὶ τὴν πόλιν ἡ στρατιὰ διήρπασεν· ἀνηνέχθη δ' εἰς τὸ δημόσιον τρισχίλια τάλαντα. πάντων δὲ τῶν ἄλλων ἀγομένων καὶ φερομένων, λέγεται τὸν γραμματέα πυθέσθαι τοῦ Φαβίου περὶ τῶν Θεῶν τι κελεύει, τὰς γραφὰς οὕτω προσαγορεύσαντα καὶ τοὺς ἀνδριάντας· τὸν οὖν Φάβιον εἰπεῖν· Ἀπολείπωμεν τοὺς Θεοὺς Ταραντίνοις κεχολωμένους. οὐ μὴν ἀλλὰ τὸν κολοσσὸν τοῦ Ἡρακλέους μετακομίσας ἐκ Τάραντος, ἔστησεν ἐν Καπιτωλίῳ, καὶ πλησίον ἔφιππον εἰκόνα χαλκῆν ἑαυτοῦ· πολὺ Μαρκέλλου φανεὶς ἀτοπώτερος περὶ ταῦτα, μᾶλλον δ' ὅλως ἐκεῖνον ἄνδρα πρᾳότητι καὶ φιλανθρωπίᾳ θαυμαστὸν ἀποδείξας, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται.



1 B. 3. προήσειν. Seq. τοῖς προσβάλλουσιν redit solum ad ἐνδώσειν, cum παρήσειν postulat accusativum τοὺς προσβ. — quam lectionem mavult R.

2 R. mavult καίτοι ταύτης.

XXIII. Ἀννίβαν δὲ λέγεται διώκοντα τεσσαράκοντα μόνοις ἀπολειφθῆναι σταδίοις, καὶ φανερῶς μὲν εἰπεῖν· Ἦν ἄρα καὶ Ῥωμαίοις Ἀννίβας τις ἕτερος· ἀπεβάλομεν [1] γὰρ τὴν Ταραντίνων πόλιν, ὥσπερ ἐλάβομεν· ἰδίᾳ δὲ τὸ πρῶτον [2] αὐτῷ παραστῆναι πρὸς τοὺς φίλους εἰπεῖν, ὡς πάλαι μὲν ἑώρα χαλεπὸν αὐτοῖς, νῦν δ' ἀδύνατον, κρατεῖν ἀπὸ τῶν ὑπαρχόντων Ἰταλίας. τοῦτον δεύτερον θρίαμβον ἐθριάμβευσε λαμπρότερον τοῦ προτέρου Φάβιος, ὥσπερ ἀθλητὴς ἀγαθὸς [3] ἐπαγωνιζόμενος τῷ Ἀννίβᾳ, καὶ ῥᾳδίως ἀπολυόμενος αὐτοῦ τὰς πράξεις, ὥσπερ ἅμματα καὶ λαβὰς οὐκέτι τὸν αὐτὸν ἐχούσας τόνον. ἡ μὲν γὰρ ἀνεῖτο τῆς δυνάμεως αὐτῷ διὰ τρυφὴν καὶ πλοῦτον, ἡ δ' ὥσπερ ἐξήμβλυντο [4] καὶ κατατέτριπτο τοῖς ἀλωφήτοις ἀγῶσιν· ἦν δὲ Μάρκος Λίβιος, οὗ τὸν Τάραντα φρουροῦντος ὁ Ἀννίβας ἀπέστησεν, ὅμως δὲ τὴν ἄκραν κατέχων, οὐκ ἐξεκρούσθη, καὶ διεφύλαξεν ἄχρι τοῦ πάλιν ὑπὸ Ῥωμαίοις γενέσθαι τοὺς Ταραντίνους. τοῦτον ἠνία Φάβιος τιμώμενος, καί ποτε πρὸς τὴν σύγκλητον, ὑπὸ φθόνου καὶ φιλοτιμίας ἐξενεχθεὶς εἶπεν, ὡς οὐ Φάβιος, ἀλλ' αὐτὸς αἴτιος γένοιτο τοῦ τὴν Ταραντίνων ἁλῶναι. γελάσας οὖν ὁ Φάβιος· Ἀληθῆ λέγεις, εἶπεν· εἰ μὴ γὰρ σὺ τὴν πόλιν ἀπέβαλες, οὐκ ἂν ἐγὼ παρέλαβον.

XXIV. Οἱ δὲ Ῥωμαῖοι τά τ' ἄλλα τῷ Φαβίῳ προσεφέροντο λαμπρῶς, καὶ τὸν υἱὸν αὐτοῦ Φάβιον ἀνέδει-

1 Junt. ἀπεβάλλομεν. Pro ſeq. ὥσπερ ἐλάβομεν Br. legendum cenſet ὡς παρελάβομεν.

2 R. ſuſp. ἰδίᾳ δὲ τότε πρῶτον — privatim autem ad amicos tum primum libere coepiſſe profiteri, quod adhuc diſſimulaſſet.

3 R. ſuſp. ἀγαθὸς ἀγαθῷ ἐπαγων — ſtrenuus athleta adverſus alium non minus ſtrenuum athletam. —

4 Ita dedit B. 3. — V. ἐξήμβλωτο vel ἐξήμβλυτο. Vulg. ἐξημβλύνετο.

δειξαν ὕπατον. παραλαβόντος δὲ τὴν ἀρχὴν αὐτȣ̃ καὶ διοικȣ̃ντός τι τῶν πρὸς τὸν πόλεμον, ὁ πατὴρ, εἴτε διὰ γῆρας καὶ ἀσθένειαν, εἴτε διαπειρώμενος τȣ̃ παιδὸς, ἀναβὰς ἐφ' ἵππον, προσῄει διὰ τῶν ἐντυγχανόντων, καὶ περιεςώτων. ὁ δὲ νεανίας κατιδὼν πόῤῥωθεν, ȣ̓κ ἠνέσχετο, πέμψας δ' ὑπηρέτην, ἐκέλευσε καταβῆναι τὸν πατέρα, καὶ δι' αὐτȣ̃ προσελθεῖν, εἰ δή τι τυγχάνει τῆς ἀρχῆς δεόμενος. καὶ τȣ̀ς μὲν ἄλλȣς ἠνίασε τὸ ἐπίταγμα, καὶ σιωπῇ πρὸς τὸν Φάβιον ὡς ἀνάξια πάσχοντα τῆς δόξης ἀπέβλεψαν· αὐτὸς δ' ἐκεῖνος ἀποπηδήσας κατὰ τάχος, θᾶσσον ἢ βάδην πρὸς τὸν υἱὸν ἐπειχθεὶς καὶ περιβαλὼν καὶ ἀσπασάμενος· Εὖ γ', εἶπεν, ὦ παῖ, Φρονεῖς καὶ πράττεις, αἰσθόμενος, τίνων ἄρχεις, καὶ πηλίκης μέγεθος ἀνείληφας ἀρχῆς. ȣ̔́τω καὶ ἡμεῖς καὶ οἱ πρόγονοι τὴν Ῥώμην ηὐξήσαμεν, ἐν δευτέρῳ καὶ γονεῖς καὶ παῖδας ἀεὶ τῶν τῆς πατρίδος καλῶν τιθέμενοι. λέγεται δ' ὡς ἀληθῶς τȣ̃ Φαβίȣ τὸν πρόπαππον ἐν δόξῃ καὶ δυνάμει μεγίςῃ Ῥωμαίων γενόμενον, πεντάκις μὲν ὑπατεῦσαι καὶ θριάμβȣς ἐκ πολέμων μεγίςων ἐπιφανεςάτȣς καταγαγεῖν· ὑπατεύοντι δ' υἱῷ πρεσβευτὴν συνελθεῖν ἐπὶ τὸν πόλεμον, ἐν δὲ τῷ θριάμβῳ, τὸν μὲν εἰσελαύνειν ἐπὶ τεθρίππῳ, τὸν δ' ἵππον ἔχοντα μετὰ τῶν ἄλλων ἐπακολȣθεῖν, ἀγαλλόμενον, ὅτι τȣ̃ μὲν υἱȣ̃ κύριος, τῶν δὲ πολιτῶν μέγιςος καὶ ὢν, καὶ προσαγορευόμενος, ὕςερον αὐτὸν τȣ̃ νόμȣ καὶ τȣ̃ ἄρχοντος τίθησιν. ἀλλὰ γὰρ ἐκεῖνος ȣ̓κ ἀπὸ τȣ́των μόνον θαυμαςὸς ἦν. τȣ̃ δὲ Φαβίȣ τὸν υἱὸν ἀποθανεῖν συνέβη, καὶ τὴν μὲν συμφορὰν, ὡς ἀνήρ τε Φρόνιμος καὶ πατὴρ χρηςὸς, ἤνεγκε μετριώτατα· τὸ δ' ἐγκώμιον, ὃ ταῖς ἐκκομιδαῖς τῶν ἐπιφανῶν οἱ προσήκοντες ἐπιτελȣ̃σιν, αὐτὸς εἶπε καταςὰς ἐν ἀγορᾷ, καὶ γράψας τὸν λόγον, ἐξέδωκεν.

XXV. Ἐπεὶ δὲ Σκηπίων Κορνήλιος εἰς Ἰβηρίαν πεμφθεὶς, Καρχηδονίȣς μὲν ἐξήλασε μάχαις πολλαῖς κρα-

κρατήσας, ἔθνη δὲ πάμπολλα καὶ πόλεις μεγάλας καὶ πράγματα λαμπρὰ Ῥωμαίοις κτησάμενος, εὔνοιαν εἶχε καὶ δόξαν ἐπανελθὼν, ὅσην ἄλλος οὐδείς· ὕπατος δὲ κατασταθεὶς, καὶ τὸν δῆμον αἰσθόμενος μεγάλην ἀπαιτοῦντα καὶ προσδεχόμενον πρᾶξιν αὐτοῦ, τὸ μὲν αὐτόθι συμπλέκεσθαι πρὸς Ἀννίβαν, ἀρχαῖον ἡγεῖτο λίαν καὶ πρεσβυτικὸν, αὐτὴν δὲ Καρχηδόνα καὶ Λιβύην εὐθὺς ἐμπλήσας ὅπλων καὶ στρατευμάτων, διενοεῖτο πορθεῖν, καὶ τὸν πόλεμον ἐκ τῆς Ἰταλίας ἐκεῖ μεθιστάναι, καὶ πρὸς τοῦτο παντὶ τῷ θυμῷ συνεξώρμα τὸν δῆμον. ἐνταῦθα δὴ Φάβιος ἐπὶ πᾶν δέος [1] ἄγων τὴν πόλιν, ὡς ὑπ' ἀνδρὸς ἀνοήτου καὶ νέου Φερομένην εἰς τὸν ἔσχατον καὶ μέγιστον κίνδυνον, οὔτε λόγου Φειδόμενος, οὔτ' ἔργου δοκοῦντος ἀποτρέψειν τοὺς πολίτας, τὴν μὲν βουλὴν ἔπειθε, τῷ δὲ δήμῳ διὰ Φθόνον ἐδόκει τοῦ Σκηπίωνος εὐημεροῦντος ἐπιλαμβάνεσθαι, καὶ δεδιέναι, μή τι μέγα καὶ λαμπρὸν ἐξεργασαμένου, καὶ τὸν πόλεμον, ἢ παντάπασιν ἀνελόντος [2], ἢ τῆς Ἰταλίας ἐκβαλόντος, αὐτὸς ἀργὸς Φανῇ καὶ μαλακὸς, ἐν τοσούτῳ χρόνῳ οὐ [3] διαπεπολεμηκώς. ἔοικε δ' ὁρμῆσαι μὲν ἐξ ἀρχῆς ὁ Φάβιος πρὸς τὸ ἀντιλέγειν ὑπὸ πολλῆς ἀσφαλείας καὶ προνοίας, μέγαν ὄντα δεδιὼς τὸν κίνδυνον· ἐντεῖναι δέ πως μᾶλλον ἑαυτὸν καὶ πορρωτέρω προαχθῆναι, Φιλοτιμίᾳ τινὶ καὶ Φιλονεικίᾳ κωλύων τοῦ Σκηπίωνος τὴν αὔξησιν, ὅς γε καὶ Κράσσον ἔπειθε, τὸν συνυπατεύοντα τῷ Σκηπίωνι, μὴ παρεῖναι τὴν στρατηγίαν, μηδ' ὑπείκειν, ἀλλ' αὐτὸν, εἰ δόξειεν, ἐπὶ Καρχηδονίους περαιοῦσθαι· καὶ χρήματα δοθῆναι πρὸς τὸν πόλεμον οὐκ εἴασε. χρήματα μὲν οὖν Σκηπίων ἑαυτῷ πορίζειν ἀναγκαζόμενος, ἤγειρε

1 R. mavult πᾶν δέους, in genit.

2 Hanc lectionem revocavit R. e Junt. & Ald. — Vulg. ἀ ελόντος.

3 Hanc particulam negativ. interpositam voluit Xylander. Vulg. deest.

ἤγειρε [1] παρὰ τῶν ἐν Τυῤῥηνίᾳ πόλεων, ἰδίᾳ πρὸς αὐτὸν οἰκείως διακειμένων καὶ χαριζομένων. Κράσσον δὲ τὰ μὲν ἡ φύσις, ἐκ ὄντα φιλόνεικον, ἀλλὰ πρᾶον, οἴκοι κατεῖχε, τὰ δὲ καὶ νόμος θεῖος, ἱερωσύνην ἔχοντα τὴν μεγίστην.

XXVI. Αὖθις ἐν καθ' ἑτέραν ὁδὸν ἀπαντῶν ὁ Φάβιος τῷ Σκηπίωνι, κατεκώλυσε [2] τὲς ὡρμημένες αὐτῷ συστρατεύεσθαι τῶν νέων, καὶ κατεῖχεν, ἔν τε βελαῖς καὶ ταῖς ἐκκλησίαις βοῶν, ὡς ἐκ αὐτὸς Ἀννίβαν ἀποδιδράσκοι μόνος [3] ὁ Σκηπίων, ἀλλὰ καὶ τὴν ὑπόλοιπον ἐκπλέοι λαβὼν δύναμιν ἐκ τῆς Ἰταλίας, δημαγωγῶν ἐλπίσι τὲς νέες, καὶ αναπείθων ἀπολιπεῖν γονέας καὶ γυναῖκας καὶ πόλιν, ἧς ἐν θύραις ἐπικρατῶν καὶ ἀήττητος ὁ πολέμιος κάθηται. καὶ μέντοι ταῦτα λέγων, ἐφόβησε τὲς Ῥωμαίες, καὶ μόνοις αὐτὸν ἐψηφίσαντο χρῆσθαι τοῖς ἐν Σικελίᾳ στρατεύμασι, καὶ τῶν ἐν Ἰβηρίᾳ γεγονότων μετ' αὐτὲ τριακοσίες ἄγειν, οἷς ἐχρῆτο πιστοῖς. ταῦτα μὲν ἐν ἐδόκει πολιτεύεσθαι πρὸς τὴν ἑαυτὲ φύσιν ὁ Φάβιος. ἐπεὶ δὲ Σκηπίωνος εἰς Λιβύην διαβάντος, εὐθὺς ἔργα θαυμαστὰ καὶ πράξεις ὑπερήφανοι τὸ μέγεθος καὶ τὸ κάλλος εἰς Ῥώμην ἀπηγγέλλοντο, καὶ μαρτυρἕντα ταῖς φήμαις εἵπετο λάφυρα πολλὰ, καὶ βασιλεὺς ὁ Νομάδων αἰχμάλωτος, καὶ δύο στρατοπέδων ὑφ' ἕνα καιρὸν ἐμπρήσεις, καὶ φθορὰ πολλῶν μὲν ἀνθρώπων, πολλῶν δ' ὅπλων καὶ ἵππων, ἐν αὐτοῖς συγκατακεκαυμένων, καὶ πρεσβεῖαι πρὸς Ἀννίβαν



1 Ab ἀγείρω, corrogare, mendici ad modum, ostiatim eundo.

2 Error Plutarchi, ut Dacerio videtur, ortus ex male intellecto Liv. loco, L. 28, 45. ut *voluntarios sibi ducere liceret, tenuit.* Referebat nempe illud *tenuit* ad Fabium, & in eo sensu, quo Græci interdum ἔχειν, sumebat: scil. pro prohibuit, cum significet, obtinuit.

3 B. 3. μόνον.

βαν ἐπέμποντο παρὰ Καρχηδονίων καλέντων, καὶ δεομένων ἐάσαντα τὰς ἀτελεῖς ἐκείνας ἐλπίδας οἴκαδε βοηθεῖν· ἐν δὲ Ῥώμῃ πάντων ἐχόντων τὸν Σκηπίωνα διὰ [1] ςόματος ἐπὶ τοῖς κατορθώμασιν· ὁ Φάβιος ἠξίε πέμπεσθαι Σκηπίωνι διάδοχον, ἄλλην μὲν ἐκ ἔχων πρόφασιν, εἰπὼν δὲ τὸ μνημονευόμενον, ὡς ἐπισφαλές ἐςι πιςεύειν ἀνδρὸς ἑνὸς τύχῃ τηλικαῦτα πράγματα· χαλεπὸν γὰρ ἀεὶ εὐτυχεῖν τὸν αὐτόν· ἔτω προσέκρεσεν ἤδη πολλοῖς, ὡς δύσκολος ἀνὴρ καὶ βάσκανος, ἢ πάμπαν ὑπὸ γήρως ἄτολμος γεγονὼς καὶ δύσελπις, περαιτέρω τε τε̃ μετρίε καταπεθαμβημένος [2] τὸν Ἀννίβαν. ἐδὲ γὰρ ἐκπλεύσαντος αὐτε̃ μετὰ τῶν δυνάμεων ἐξ Ἰταλίας, εἴασε τὸ χαῖρον καὶ τεθαῤῥηκὸς τῶν πολιτῶν ἀθόρυβον καὶ βέβαιον· ἀλλὰ τότε δὴ μάλιςα τὰ πράγματα τῇ πόλει, θεέσῃ τὸν [3] ἔσχατον κίνδυνον, ἐπισφαλῶς ἔχειν ἔλεγε· βαρύτερον γὰρ ἐν Λιβύῃ πρὸ Καρχηδόνος αὐτοῖς. Ἀννίβαν ἐμπεσεῖσθαι, καὶ ςρατὸν ἀπαντήσειν Σκηπίωνι πολλῶν ἔτι θερμὸν αὐτοκρατόρων αἵματι καὶ δικτατώρων καὶ ὑπάτων· ὥςε τὴν πόλιν αὖθις ὑπὸ τῶν λόγων τέτων ἀναταράττεσθαι, καὶ τε̃ πολέμε μεθεςῶτος εἰς Λιβύην, ἐγγυτέρω τῆς Ῥώμης οἴεσθαι γεγονέναι τὸν φόβον.

XXVII. Ἀλλὰ Σκηπίων μὲν ἐ μετὰ πολὺν χρόνον, αὐτόν τε νικήσας μάχῃ κατὰ κράτος Ἀννίβαν, καὶ καταβαλὼν τὸ φρόνημα καὶ καταπατήσας τῆς Καρχηδόνος ὑποπεσέσης, ἀπέδωκε μείζονα χαρὰν ἁπάσης ἐλπίδος τοῖς πολίταις, καὶ τὴν ἡγεμονίαν ὡς ἀληθῶς

Πολλῷ σάλῳ σεισθεῖσαν ὤρθωσε πάλιν.

Φάβιος

1 Ita Br. legendum cenſuit pro vulg. ἐπὶ cum B. 3.

2 Ita Br. repoſuit duce B. 3. pro vulg. καταθαμβημένος. Eandem lectionem jam voluit H. Steph.

3 Ita R de ſuo dedit, præpoſitionem παρὰ omittens, quæ in vulgatis intergeſta cernitur.

Φάβιος δὲ Μάξιμος ἐ διήρκεσε τῷ βίῳ πρὸς τὸ τῦ πολέμε τέλος, ἐδ' ἤκεσεν Ἀννίβαν ἡτ]ημένον, ἐδὲ τὴν μεγάλην καὶ βέβαιον εὐτυχίαν τῆς πατρίδος ἐπεῖδεν· ἀλλὰ περὶ ὃν χρόνον Ἀννίβας ἀπῆρεν ἐξ Ἰταλίας, νόσῳ καμὼν ἐτελεύτησεν. Ἐπαμινώνδαν μὲν ἔν Θηβαῖοι δημοσίᾳ διὰ πενίαν, ἣν ἀπέλιπεν ὁ ἀνὴρ, ἔθαψαν· ἐδὲν γὰρ οἴκοι τελευτήσαντος εὑρεθῆναι, πλὴν ὀβελίσκον σιδηρῦν, λέγεσι· Φάβιον δὲ Ῥωμαῖοι δημοσίᾳ μὲν ἐκ ἐκήδευσαν, ἰδίᾳ δ' ἑκάςε τὸ σμικρότατον αὐτῷ τῶν νομισμάτων ἐπενεγκόντος, ἐχ ὡς δι' ἔνδειαν προσεπαρκῦντος [1], ἀλλ' ὡς πατέρα τῦ δήμε θάπ]οντος, ἔχε τιμὴν καὶ δόξαν ὁ θάνατος αὐτῦ τῷ βίῳ πρέπεσαν.

# COMPARATIO PERICLIS CVM FABIO MAXIMO.

Οἱ μὲν ἔν βίοι τῶν ἀνδρῶν τοιαύτην ἔχεσι τὴν ἱςορίαν. ἐπεὶ δὲ καὶ πολιτικῆς καὶ πολεμικῆς ἀρετῆς πολλὰ καὶ καλὰ παραδείγματα καταλελοίπασιν ἀμφότεροι, φέρε, τῶν πολεμικῶν ἐκεῖνο πρῶτον λάβωμεν, ὅτι Περικλῆς μὲν ἄριςα πράτ]οντι τῷ δήμῳ καὶ μεγίςῳ καθ' αὐτὸν ὄντι καὶ μάλιςα πρὸς δύναμιν ἀκμάζοντι χρώμενος, ὑπὸ κοινῆς ἂν δόξειεν εὐτυχίας καὶ ῥώμης πραγμάτων ἀσφαλὴς διαγενέθαι καὶ ἄπ]αιςος· αἱ δὲ Φαβίε πράξεις, ἐν αἰχίςοις καὶ δυσποτμοτάτοις καιροῖς ἀναδεξαμένε τὴν πόλιν, ἐκ ἐπ' ἀγαθοῖς ἀσφαλῆ διετήρησαν, ἀλλ' ἐκ κακῶν εἰς βελτίω μετέςησαν. καὶ

 Περι-

1 Ita dedit R. de ſuo pro vulg. προσαρκέντων, in genit. ſing. referendi ſive ad ἑκάςε præmiſſum ſive ad inſequens δήμε. E Juntina revocavit R. θάπ]οντος, quod etiam habet B. 3. — pro vulg. θάπ]οντες, quæ lectio ex Ald. manavit in reliquas vulgares.

Περικλεῖ μὲν αἱ Κίμωνος εὐπραξίαι, καὶ τὰ Μυρωνίδε καὶ τὰ Λεωκράτες τρόπαια, καὶ πολλὰ καὶ μεγάλα Τολμίδης κατορθῶν, ἐνεορτάσαι [1] μᾶλλον καὶ ἐμπανηγυρίσαι ςρατηγᾶντι τὴν πόλιν, ἢ κ]ήσαθαι [2] πολέμῳ καὶ φυλάξαι παρέδωκε· Φάβιος δ' ὁρῶν πολλὰς μὲν φυγὰς καὶ ἥτ]ας, πολλὰς δὲ θανάτες καὶ σφαγὰς αὐτοκρατόρων καὶ ςρατηγῶν, λίμνας δὲ καὶ πεδία καὶ δρυμὲς νεκρῶν ςρατοπέδων πλήθοντας, αἵματι δὲ καὶ φόνῳ ποταμὲς ἄχρι θαλάτ]ης ῥέοντας, ἐν τῷ καθ' ἑαυτὸν ὁρμωμένῳ καὶ βεβηκότι [3] τὴν πόλιν, ἀντιλαμβανόμενος καὶ ὑπερείδων, ἐκ εἴασε τοῖς ἐκείνων ὑποφερομένην π]αίσμασι τελέως ἐκχυθῆναι. καίτοι δόξειεν ἂν ἐχ ἔτω χαλεπὸν εἶναι, πόλιν ἐν συμφοραῖς μεταχειρίσαθαι ταπεινὴν, καὶ τᾶ φρονᾶντος ὑπ' ἀνάγκης κατήκοον γενομένην, ὡς δι' εὐτυχίαν ἐπηρμένῳ καὶ σπαργῶντι τῷ δήμῳ χαλινὸν ἐμβαλεῖν ὕβρεως καὶ θρασύτητος· ᾧ δὴ μάλιςα φαίνεται τρόπῳ Περικλῆς Ἀθηναίων περιγενόμενος. ἀλλὰ τῶν Ῥωμαίοις συμπεσόντων τότε κακῶν τὸ μέγεθος καὶ τὸ πλῆθος, ἰσχυρὸν τὴν [4] γνώμην καὶ μέγαν ἔδειξεν ἄνδρα, τὸν μὴ συγχυθέντα, μηδὲ προέμενον τὰς αὐτᾶ [5] λογισμάς.

II. Καὶ Σάμῳ μὲν ὑπὸ Περικλέες ἀλέσῃ τὴν Τάραντός ἐςι κατάληψιν ἀντιθεῖναι, καὶ νὴ Δί' Εὐβοίᾳ τὰς περὶ Καμπανίαν πόλεις· ἐπεὶ αὐτήν γε Καπύην οἱ περὶ Φέλβιον καὶ Ἄππιον ὕπατοι κατέχον. ἐκ δὲ παρα-

1 Ita ex conjectura H. Steph. pro vulg. ἑορτάσαι, cum etiam dixerit Plut. ἐμπανηγυρίσαι.

2 R. quaerit, num ἢ ἀνακ]ήσαθαι ἐκ πολέμων, recuperare, relevare e bellis? — φυλάξαι dedit idem de suo pro vulg. φυλάξαθαι. Subaud. σῶαν ἐν πολεμίοις.

3 R. susp. ἐρρωμένῳ καὶ βεβηκότι. Seq. accusativus τὴν πόλιν construendus est cum ἐκ εἴασεν ἐκχυθῆναι; non cum ἀντιλαμβανόμενος.

4 Ita R. de suo dedit pro vulg. ἰσχυρόν τινα γνώμην.

5 Ita ex emend. Br. pro vulg. αὐτᾶς.

παρατάξεως Φάβιος [1] ὀ φαίνεται μάχῃ νενικηκὼς, πλὴν ἀφ' ἧς τὸν πρότερον εἰσήλασε θρίαμβον· Περικλῆς δ' ἐννέα τρόπαια κατὰ γῆν καὶ κατὰ θάλατταν ἔστησεν ἀπὸ τῶν πολεμίων. ὀ μὴν λέγεται τοιαύτη πρᾶξις Περικλέȣς, οἵαν ἔπραξε Φάβιος, Μινȣ́κιον ἐξαρπάσας Ἀννίβȣ, καὶ διασώσας ἐντελὲς στρατόπεδον Ῥωμαίων· καλὸν γὰρ τὸ ἔργον καὶ κοινὸν ἀνδρείας ὁμȣ̃ καὶ φρονήσεως καὶ χρηστότητος. ὥσπερ αὖ πάλιν ὀδὲ σφάλμα λέγεται Περικλέȣς, οἷον ἐσφάλη Φάβιος διὰ τῶν βοῶν καταστρατηγηθεὶς ὑπ' Ἀννίβȣ, λαβὼν μὲν αὐτομάτως καὶ κατὰ τύχην ὑπελθόντα τοῖς στενοῖς τὸν πολέμιον, προέμενος δὲ νυκτὸς λαθόντα, καὶ μεθ' ἡμέραν βιασάμενον, καὶ φθάσαντα μέλλοντος, καὶ κρατήσαντα συλλαβόντος· εἰ δὲ δεῖ μὴ μόνον χρῆσθαι τοῖς παρȣ̃σιν, ἀλλὰ καὶ τεκμαίρεσθαι περὶ τȣ̃ μέλλοντος ὀρθῶς τὸν ἀγαθὸν στρατηγὸν, Ἀθηναίοις μὲν, ὡς Περικλῆς προέγνω καὶ προεῖπεν, ἐτελεύτησεν ὁ πόλεμος· πολυπραγμονȣ̃ντες γὰρ ἀπώλεσαν τὴν δύναμιν· Ῥωμαῖοι δὲ, παρὰ τȣ̀ς Φαβίȣ λογισμȣ̀ς ἐκπέμψαντες ἐπὶ Καρχηδονίȣς Σκηπίωνα, πάντων ἐκράτησαν, ὀ τύχῃ, σοφίᾳ δὲ τȣ̃ στρατηγȣ̃ καὶ ἀνδρείᾳ νικήσαντος [2] τȣ̀ς πολεμίȣς. ὥστε τῷ μὲν τὰ πταίσματα τῆς πατρίδος μαρτυρεῖν, ὅτι καλῶς ἔγνω, τὸν δ' ὑπὸ τῶν κατορθωμάτων ἐλέγχεσθαι τȣ̃ παντὸς ἐσφαλμένον. ἴση δ' ἁμαρτία στρατηγȣ̃, κακῷ περιπεσεῖν μὴ προσδοκήσαντα, καὶ κατορθώματος καιρὸν ἀπιστίᾳ προέσθαι. μία γὰρ, ὡς ἔοικεν, ἀπειρία, καὶ θράσος γεννᾷ, καὶ θάρσος [3] ἀφαιρεῖται. ταῦτα περὶ τῶν πολεμικῶν.

III.

1 deest B. 5.

2 Teste H. Steph. in quibusdam scriptum est: *κατὰ κράτος νικήσαντος*. Ita B. 3.

3 Sic locum hunc R. e Junt. & Ald. restituit cum in vulgatis etiam hic *θράσος* legitur. *θράσος* est audacia, temeritas furiosa. *θάρσος* fiducia cum ratione bene sperans.

III. Τῆς δὲ πολιτείας μέγα μὲν ἔγκλημα τȣ̃ [1] Περικλέȣς, ὁ πόλεμος. λέγεται γὰρ ἐπακτὸς ὑπ' ἐκείνȣ γενέϑαι, Λακεδαιμονίοις ἐρίσαντος μὴ ἐνδȣ̃ναι. δοκῶ δὲ μηδ' ἂν Φάβιον Μάξιμον ἐνδȣ̃ναί τι Καρχηδονίοις, ἀλλ' εὐγενῶς ὑποςῆναι τὸν ὑπὲρ τῆς ἡγεμονίας κίνδυνον. ἡ μέντοι πρὸς Μινȣ́κιον ἐπιείκεια τȣ̃ Φαβίȣ καὶ πρᾳότης ἐλέγχει τὸν πρὸς Κίμωνα [2] καὶ Θȣκυδίδην ςασιασμὸν, ἄνδρας ἀγαϑȣ̀ς καὶ ἀριςοκρατικȣ̀ς, εἰς φυγὴν ὑπ' αὐτȣ̃ καὶ τȣ̀ςρακον ἐκπεσόντας. ἀλλ' ἥ γε δύναμις μείζων ἡ τȣ̃ Περικλέȣς καὶ τὸ κράτος. ὅϑεν ȣ̓δ' ἄλλον εἴασεν ἐνδυςυχῆσαι τῇ πόλει κακῶς βȣλευσάμενον ςρατηγὸν, ἀλλ' ὁ μόνος [3] αὐτὸν ἐκφυγὼν Τολμίδης καὶ διωσάμενος βίᾳ, προσέπταισε Βοιωτοῖς· οἱ δ' ἄλλοι προσετίϑεντο καὶ κατεκοσμȣ̃ντο [4] πάντες εἰς τὴν ἐκείνȣ γνώμην ὑπὸ μεγέϑȣς αὐτȣ̃ τῆς δυνάμεως. Φάβιος δὲ, τὸ καϑ' αὑτὸν ἀσφαλὴς ὢν καὶ ἀναμάρτητος, τῷ πρὸς τὸ κωλύειν ἑτέρȣς ἀδυνάτῳ φαίνεται λειπόμενος. ȣ̓ γὰρ ἂν τοσαύταις συμφοραῖς ἐχρήσαντο Ῥωμαῖοι, Φαβίȣ παρ' αὐτοῖς, ὅσον Ἀϑήνησι Περικλέȣς, δυνηϑέντος. καὶ μὴν τήν γε πρὸς χρήματα μεγαλοφροσύνην, ὁ μὲν τῷ μηδὲν λαβεῖν παρὰ τῶν διδόντων, ὁ δὲ τῷ προέϑαι πολλὰ τοῖς δεομένοις ἐπεδείξατο, λυσάμενος τοῖς ἰδίοις χρήμασι τȣ̀ς αἰχμαλώτȣς. πλὴν τȣ́τῳ [5] μὲν ȣ̓ πολὺς ἦν ἀριϑμὸς, ἀλλ' ὅσον ἓξ τάλαντα [6]. Περικλῆς δ' ȣ̓κ ἂν ἴσως εἴποι

1 R. mavult τῆι, cum redeat ad πολιτείας.

2 R. fusp. τὸν Περικλέȣς πρὸς Κίμωνα.

3 Ita dedit R. de fuo pro vulg. ἀλλ' ἢ μόνος.

4 R. fusp. μετεκοσμȣ̃ντο.

5 R. mavult τȣ́των, fc. captivorum redimendorum.

6 R. videtur deeffe ἀπώλεσε aut ἀπέλαβε. Quod ad ipfum numerum ἓξ attinet, Dacer. & Xyl. fatis demonftrarunt, legendum effe δέκα, ex computatis captorum numero, & cujusque redemtionis pretio.

ποι τις ὅσα καὶ παρὰ συμμάχων καὶ βασιλέων ὠφελεῖσθαι καὶ θεραπεύεσθαι παρὸν, τῆς δυνάμεως διδέσης, ἀδωρότατον ἑαυτὸν καὶ καθαρώτατον [1] ἐφύλαξεν. ἔργων γε μὴν μεγέθεσι καὶ ναῶν, καὶ κατασκευαῖς οἰκοδομημάτων, ἐξ ὧν ἐκόσμησεν ὁ Περικλῆς τὰς Ἀθήνας, ἐκ ἄξιον ὁμȣ̃ πάντα τὰ πρὸ τῶν Καισάρων φιλοτιμήματα τῆς Ῥώμης παραβαλεῖν, ἀλλ' ἔξοχόν τι πρὸς ἐκεῖνα καὶ ἀσύγκριτον ἡ τȣ́των ἔχε μεγαλȣργία καὶ μεγαλοπρέπεια τὸ πρωτεῖον.

1 Haec duo verba ex vet. cod. accesserunt. H. Steph. — nam a vetustioribus edd. absunt.

SVPPLE-

# SVPPLEMENTVM

## LECT. VAR. T. I. PLVT.

Pag. 2. lin. 13. ἐναρμόττειν) B. 1. 2. ἐναρμόττειν τῷ Ῥωμύλῳ. — ἀνεγγύω) V. γὰρ ἐνεγγύω. Vulg. lect. ἄμφω μὲν ἀνεγγύω. Teste H. Steph. legitur γὰρ pro μέν. Jam in textu γὰρ legitur. Quis receperit una cum μέν, non constat. — l. 17. ἔκτισε τὴν Ῥώμην) V. ῥώμην ἔκτισεν. — l. 24. πρώτας) Teste H. Steph. invenitur etiam πρώτως.

p. 3. l. 4. υἱάς) Hoc nomen ex plurium codd. consensu inseruisse affirmat H. Steph.

p. 5. l. 9. 10. τρόπον) V. τὸν πρῶτον. — l. 18. δαίμονες) Etiam Anon. dat δαίμονες. — l. 20. παρέχοιεν) V. παρέσχοιεν. — l. 25. Αἴθρα) B. 1. 2. ἡ Αἴθρα. Probat Bryanus. — l. 28. γάρ) V. δέ.

p. 6. l. 3. τἀληθές) deest etiam in ed. Fl. & Ald. & vet. interprete Philelpho. — l. 6. δεομένων) V. δεόμενον. — l. 14. βιάζεσθαί τι) Anon. βιάζεσθαί τι. Hinc Bryan. lect. in not. 4. pag. 6. observatam colligit.

p. 7. l. 1. οὐδενός) B. 1. 2. add. ἀνδρός. Pro οὐδὲ κατείργ. V. ἢ κατείργ. — l. 4. ἔπεισε) V. Anon. ἐπειθε. — l. 6. τῆς Ἡρακλέους) B. 1. 2. inserunt τοῦ. — l. 18. Αἴθρα) B. 1. 2. ἡ Αἴθρα. — l. 19. Λυσιδίκης) B. 1. 2. ἡ Ἀλκμήνη δὲ τῆς Λ. — not. 4. add. Br. susp. ἐν ἔργοις.

p. 8. l. 5. Κορυνήτην) B. 1. 2. Κορυνίτην. — l. 12. Ἰσθμῷ) B. 1. 2. ἐν δὲ τῷ. — l. 12. Σίννιν) Xyl. mavult *Sinin*, ut apud Pausaniam, Ovid. Metam. l. VII. & Propert. l. 3. & 21. — l. 13. αὐτός) Bry. vult αὐτόν; ut ad Sinnim referatur. — l. 16. ὄνομα) B. 1. 2. τοὔνομα. — l. 23. ἐπιμελήσεται) V. μεληθήσεται. — l. 25. Μελάνιππον) Philelphus, Amiotus & Dacerius Menalippum. Quod nomen rejiciunt Mezir.

&

& Br. secundum Pausaniam. — l. 25. Οἰχαλιέως) V. τοῦ Σκαλιοῦ; ex edit. Frft. τοῦ Σχαλίου. — not. 3. pro Ἰωξίδαις καὶ Ἰωξίοι lege Ἰωξίδαι· καὶ Ἰωξίοι.

Pag. 9. lin. 3. Κρομμυωνία) Ovid. Metam. Cromyona scribit. Apud Pausan. Att. legitur ὗς τῆς Κορινθίας ἐν Κρομμυῶνι; init. Corinth. Κρομμύων ἀπὸ τοῦ Κρώμου τοῦ Ποσειδῶνος. Stephano est Κρεμύων, ut & apud Ovid. quid. codices habent Cremyona. Strabo l. VIII. Κρομυών. (sec. ed. Frft. Κρωμύων) Xyl. — l. 14. Σκίρωνα) Flor. Ald. B. 1. 2. 3. & Strabo l. IX. Σκείρωνα.

p. 10. l. 10. τοῦ γένους) deest artic. B. 1. 2. 3. Juntinæ. — l. 11. λαμβάνοντας) V. καὶ λαμβ.

p. 11. l. 2. τῆς ἑαυτῶν) Ita dedit V. Anon. B. 1. 2. 3. & scribi placuit H. Stephano. Eodem teste vetustiores edd. post ἀδικίας habuerunt interpunctionem. — l. 4. Φυταλιδῶν) B. 1. 2. τῶν Φυταλ. — l. 9. ἑκατόμβαιῶνα) Vulgo ἑκατομβεῶνα.

p. 12. l. 6. δεχομένοις) V. ἐγνώριζεν αὐτὸν ἡδέως δεχομένους. — l. 24. ἐκ τούτου) V. ἐκ τούτων. — l. 25. πρὸς τὸν) B. 3. πρὸς τῶν.

p. 13. l. 15. βαδίζοντος ἐπὶ τὴν μάχην) delet hæc ut supervacanea Ms. Par. Reg. — l. 21. ὅτε) B. 1. 2. ὅ γε.

p. 14. l. 5. ὁμολογοῦσιν) Anon. ὡς ὁμολ. — l. 10. Εὐριπίδης) B. 1. 2. ὁ Εὐριπ. — l. 13. μεμίχθαι) Bry. mavult μέμικται. — l. 23. 24. Βοττιαίων) B. 1. 2. ἐν τῇ τῶν Βοττ.

p. 15. l. 13. τὸν μὲν Μίνω) B. 1. 2. τὸν Μίνω. — l. 26. τό τε) B. 1. 2. τό γε. — l. 27. ἱερὰ) B. 1. 2. add. τὸν Θησέα.

p. 16. l. 10. τὸν πατέρα) B. 1. 2. add. αὐτοῦ. — l. 12. κελεύσαι) B. 1. 2. add. αὐτόν. — l. 15. πεφυρμένον) B. 1. 2. transp. πεφυρμένον ὑγρῷ. — l. 16. αὐτῶν) B. 1. 2. τοῦ τε σωτηρίας αὐτόν. — l. 19. Ναυσίθοον) Vulg. Ναυσίθεον. — l. 23. Σκίρου) V. B. 1. 2. 3. Σκύρου. — l. 25. Σκίρου) Vulg. Σκίρωνος. Et Ms. & vetus interpres Σκίρου, quod probat Dacer. & ipsa sententia postulat, ut ejusdem sit ἱερὸν hic memoratum, a quo Philochorus paulo supra Theseum socios navales accepisse tradit.

p. 17. l. 26. Κλείδημος) Meursius legit Κλειτόδημος.

p. 18. l. 8. ἀπεκρίνατο) Anon. ἀπεκρίναντο. In seq. Vulg. πρᾴως· ὁ δὲ Θησεύς. Locum, uti nunc legitur, ita emendari voluit Xyl. & H. Steph. B. 1. 2. delent δὲ ante Θησεύς. — l. 11. αὐτὸς δὲ) Ita dederunt B. 1. 2. 3. V. habet in seq. ἐπεβούλετο, βουλόμενος τὴν μὲν ἐκ Θυμαιταδῶν, vel εὐθὺ μεταδῶν αὐτόθι μακρὰν τῆς ξενικῆς ὁδοῦ, καὶ τὴν ἐν Τροιζῆνι διὰ Πιτθέως λανθάνειν συμπλεῖν πείσαι, καὶ γενομένων ἑτοίμων.

Pag.

Pag. 19. lin. 5. ἀπολειφθεῖσαν) V. τὴν ἀπολειφθ. — l. 6. Νάξον) B. 1. 2. add. τὴν νῆσον. — l. 7. Ὠνάρῳ) V. Οἰνάρῳ, & teste H. Steph. etiam legitur Αἰνάρῳ. — l. 10. τῦτο γὰρ) V. τῦτο δὲ. — — ἐκ τῶν) B. ἐκ τῶν τῦ. — l. 15. Οἰνοπίωνα) B. 1. 2. τὸν Οἰνοπ. V. Οἰνοπίοπα; Anon. Οἰνονίωνα.

p. 20. l. 14. ὄνομα) B. 1. 2. τὔνομα. — l. 23. διεξόδων) In vetust. edd. fuit ἐξόδων, pro quo H. Steph. maluit διεξόδων.

p. 21. l. 2. συνηρμοσμένον) Edd. antiq. συνηρμοσμένων, non, uti in not. 1. συνηρμοσμένον. — l. 7. ᾧ τὴν) V. ὧν τὴν. — l. 10. θυσίας) B. 1. 2. ἅςινας θυσίας ἐκπλέων. — l. 13. αὖ χαίρεσιν) Ita ex B. 1. 2. legendum placuit Bryano. Vulg. deest αὖ. — l. 16. ἐπὶ) V. εἰς τὴν.

p. 22. l. 7. ἐλαίας) deest B. 1.

p. 23. l. 2. διαμένα) V. διαμένει; item B. 1. 2. 3. quod Br. placuit. — l. 3. ὠσχοφορίων) In catal. lect. var. Ed. Frst. ὠχοσφωρίων, adjecta lit. P. — Quid ista valeat, num vitiose pro V. sive A sit impressa, nescio. — — κατας-ήσαντος) B. 1. 2. add. ταύτην. — l. 13. αὐτόν τε) Br. voluit αὐτὸν τε. — l. 14. ὀσχὰς) Anon. τὰς ὠίσχὰς. Vulg. οἰσχὰς.

p. 24. l. 7. τῶν μὲν) B. 1. 2. καὶ τῶν μὲν. — l. 9. αὐτῷ) B. 1. 2. add. δὲ. — l. 15. ἑκάςοις) V. ἑκάςας. Cat. lect. var. Ed. Frft. — l. 17. ἵδρυται) V. ἵδρυσαι. in Cat. lect. var. Ed. Frft. ἵδρυσαι. — l. 18. Παναθήναια) B. 1. 2. τὰ Παναθ.

p. 25. l. 4. ἐγκατέθηκε) V. ἐγκατέθεικε. — l. 5. πτολίεθρῳ) V. πολίεθρῳ. — l. 7. ποντοπορεύσῃ) V. ποντοπορεύσει, vel ρεύσεις. B. 3. ποντοπορεύσει. — l. 10. βαπτίζῃ) Br. delendum censuit jota subscriptum. — l. 17. εὐπατρίδαις μὲν) B. 1. 3. habent δὲ. — l. 20. δὲ) deest B. 1. 2. 3. — l. ult. Ἀθηναίας) Ita dedere V. Anon. B. 1. 2. 3. & probarunt H. Steph. & Dacer. — Vulg. Ἀθηναίων.

p. 26. l. 3. ἑκατόμβοιον) V. ἑκατομβοίων.

p. 27. l. 15. Σολόοντα) V. B. 1. 2. 3. Σολόεντα, & sic infra. Ed. Flor. paulo post Σολόοντος & Σολόοντα.

p. 28. l. penult. ἱςορεῖ δὲ) B. 1. 2. καὶ Κλείδ. quod Br. probat.

p. 29. l. 7. μέχρι καὶ) B. 1. 2. 3. omittunt καὶ; quod & Br. delendum putavit. — l. 8. Λυκίας) V. Anon. Λυκέας. — l. 14. Μολπαδίας) V. Μαλπαδίας.

p. 30. l. 25. Ἰόπην) Athenæus Ἵππην. Utra melior lectio, dubitat Mezir. cum nusquam alias de hac Iphiclis filia fiat mentio.

p. 33. l. 4. Διοσκόροις) V. Διοσκύροις. Anon. Διοσκύροις. — l. 5. 6. Ἐνάρσφορον) Nomen incertum, cum Apollodoro sit Ἐμάρσφορος, Pausaniæ Ἐναρσφόρος.

Pag.

Pag. 34. lin. 4. 5. Πετεὺς) V. Πετεῷ. Anon. Πέτεω. — Xyl. Πετεῶο, ex Homero & Pausania. R. voluit ὁ Πετέω, nomen Atticæ inclinationis, ὁ Πετέως, τȣ Πετέω. — l. 22. ᾧ δὴ τινι) H. Stephano rectius scriptum videtur ᾠδήτινι.

p. 35. l. 3. ἐχιδήμα) Ita nomen dedit Anon. — Vulgo Ἐχέμα, qua lectione retenta L. Holstenius postea legit ἐχεμηδίαν. — l. 20. Ἀφίδνας) Ita dedit Anon. & probarunt Xyl. & H. Steph. — l. 21. ἐχομένων δ') delent δ' B. 1. 2. quod Br. probat.

p. 37. l. penult. Ἀρατήριον) Etymologicum magnum vocat hunc locum ἀρητήσιον. Meziriac.

p. 43. l. 21. Φαυςύλον) Ita recte secundum Anon. — Vulgo Φαιςύλον.

p. 44. l. 3. Κερμανὸν) Varro, Anon. Κερμαλὸν. — l. 5. Ῥωμινάλιον) Br. rectius videtur Ῥȣμινάλιν. — l. 11. Ῥȣμυλίαν) Ita omnes B. & vetust. edd. — Vul. Ῥωμυλίαν. R. Ῥȣμυλίαν.

p. 50. l. 9. Φαβίȣ) V. τȣ Φαβίȣ.

p. 51. l. 11. Κȣαδράτην) V. Κȣαδράτον. — l. 13. Ῥῶμος) V. ubique Ῥέμος.

p. 52. l. 25. Ῥεμονίᾳ) V. Ῥεμορίᾳ, & Anon.

p. 54. l. 8. Οὐάῤῥωνα) V. B. 1. 2. Βάῤῥωνα, & infra. — l. penult. Θὼθ) V. Θωΰθ.

p. 55. l. 1. Φαρμȣθὶ) V. Φαωφὶ.

p. 58. l. 12. Πρίμαν) V. Πρίμναν.

p. 60. l. 20. ἐν ὅπλοις) V. ἐν τοῖς ὅπλοις. — l. 28. κρατήσειεν) Ita dedere B. 1. 2. Vulgo κρατήσειε.

p. 61. l. 11. Φερῖρε) V. Φέρι. — — εὔξατο) V. ἢ εὔξατο; in edit. Frst. ἣν εὔξ. l. 13. Φησὶν) B. 1. 2. λέγει. — l. 21. μὲν) deest B. 1. 2. — l. 24. τῶν) B. 1. 2. τὸν τῶν — l. 26. δὲ) B. 1. 2. add. Φασὶ.

p. 63. l. 13. ὧν καὶ) B. 1. 2. ὧν εἷς καὶ. — l. 17. Ταρπηία) Anon. Ταρπεία. — — παρὰ) Br. voluit παραὶ, metri causa. — l. 23 Σκηπτȣ́χῳ) Anon. Σκηπτȣ́χȣ, non Σκηπτρ. ut est impressum in nota 5.

p. 65. l. 2. Ἑρσιλίας) V. Ἑρισιλίας.

p. 66. l. 18. 19. θνησκόντων) Br. hic ordo verborum placet, quem dant B. 1. 2. δεδιέναι καὶ κλαίειν μαχομένων καὶ θνησκόντων.

p. 67. l. 2. μὴ) B. 1. 2. ἵνα μὴ.

p. 68. l. 22. Ἀȣεντίνȣ) Ita V. — Olim Λοεντίνȣ; B. 1. 2. Ἀβεντίνȣ; B. 3. Λȣεντίνȣ.

Pag. 70. lin. 4. Φευράτην) B. 1. 2. Φιβράτην.
p. 71. l. 8. εἶναι) B. 1. 2. add. λέγουσι.
p. 72. l. 3. 4. Φυλαττόμενον) B. 1. 2. add. λέγουσι.
p. 73. l. 14. Λαβινίῳ) V. ἐν Λαιβίνῳ.
p. 74. l. 3. Φιδήνας) V. Φηδήλας. — l. 14. μὲν) deest B. 1. 2.
p. 75. l. 4. Καμέριοι) Ita V. Anon. B. 1. 2. 3. Vulg. Καμάριοι.
p. 76. l. 4. Ῥωμύλου) B. 1. 2. add. Φασι. — l. 9. ὑπερημίσεις) V. secundum cat. ed. Frft. ὑπερημήσεις. Vulg. ὑπὲρ ἡμίσεις. — l. 18. Σεπτεμπάγιον) Ita Anon. Vulg. Σεπτεμάγιον.
p. 77. l. penult. λαὸν) V. Ἕλληνες λαόν.
p. 78. l. 10. 11. τῷ πρότεροι.) Br. voluit τῷ πρότερον. Idem conjecit seq. ἐκείνου. — l. 13. τὴν δορύκτητον) B. 1. 2. τὸ δορύκτητον. — l. 18. νόναις) V. νώναις. Varie scribitur hæc vox νόναι, νόνναι & νῶναι.
p. 80. l. 7. ταραττομένων) deest B. 1. 2. uti & Φασί, vulgo post ἄνδρα sequens, deest omnibus B. — l. 10. Ἴλιον) B. 1. 2. τοὔνομα Ἰλ.
p. 82. l. 5. ἀλλ' ἐὰν) B. 1. ἀλλ' ἄν.
p. 85. l. 7. Καπρίφικον) Vulg. Καπρόφικον.
p. 86. l. 12. Σκίρων) V. Σκλίρων.
p. 90. l. 8. 9. Ἐρεχθειδῶν) V. Ἐρεχθηϊδῶν. — l. antep. Καρβίλιος) B. 1. 2. Σκαρβίλιος. Val. Max. l. 11. c. 1. habet *Cabillium.*
p. 92. l. 14. δυοῖν) SG. δυεῖν. Sic pluries.
p. 93. l. 1. ἔτω) SG. ἔτως. — l. 8. Πατροκλέας) Teste H. Steph. legitur etiam Προκλέας. — l. 11. 12. Διανάσσης) SG. & Junt. Διονάσσης. — l. penult. Εὐρυτιωνίδας) SG. Εὐρυτιωντίδας. Pausan. vocat hos Εὐρυποντίδας.
p. 95. l. 4. 5. λέγεται) V. λέγεται fort. vacat. Cat. Var. lect. Ed. Frft. — l. 7. Χαρίλαον) In marg. cod. SG. adnotatum est Χαρίλλαον.
p. 96. l. ult. Κλεοφύλου) V. SG. Κρεωφύλου. Sic & Lapus. Br. probat.
p. 98. l. penult. Ἀρθμιάδαν) SG. Flor. ita habent. Vulg. Ἀριθμιάδαν. Lapus Arthemiadam. Prima vitium induxit Ald.
p. 99. l. 5. Ἀρχίλαον) Pausan. expresse hunc Agesilaum nominat; Lapus Archesilaum. Xyl.
p. 114. l. 16. γυναικοκρατείας) SG. γυναικοκρατίας.
p. 118. l. 22. Γεράδα) In Apophth. Lac. legitur Γεραδάτα. Br.
p. 125. l. ult. Χαρίλαος) V. Χαρίλος. — ad not. 2. addendum — omittit artic. τό.

Pag.

Pag. 134. lin. 2. Πεισιςρατίδας) Hoc ex vet. cod. repositum fuit pro Πολυςρατίδας. H. Steph.

p. 145. l. 4. Νεμᾶς) V. Νομᾶς.

p. 148. l. 19. Ῥωμαῖον) V. Ῥωμαίοις. — l. penult. Πομπίλιον) Teste H. Steph. etiam legitur Πόμπιον. V. Πομπήϊον.

p. 149. l. 9. Πομπωνίε) V. Πομπενίε. Dion. Halic. υἱὸς Πομπιλίε Πόμπωνος.

p. 150. l. 22. Ἄττεω) Atys hic alias, apud Suid. Attis, Ἄττις. — l. 23. Ἀρκάδες) Anon. Κᾶρες.

p. 152. l. 13. 14. Βακχυλίδην) V. Βραγχυλλίδην.

p. 157. l. 19. δοκᾶσα) In ed. Frft. legitur δοκᾶσαν; & in Catal. Var. lect. adnotatum est, V. dare δοκᾶσα.

p. 160. l. 9. Ῥωμαῖοι) SG. Ῥωμαῖοι τῇ πολιτείᾳ πρ. — l. 13. Νεμᾷ) SG. Νομᾷ; & ita semper in hoc cod. scribitur. — l. 15. Αἰμυλίων) SG. Αἰμιλίων; ita & p. 161. l. 21. Αἰμιλίε.

p. 162. not. 2. add. ad lect. Vulc. in ed. Frft. Cat. Var. — f. ἐπιμελώμενον.

p. 163. l. 17. Γεγανίαν) V. Γετανίαν; — Βερηνίαν) Anon. Βεραννίαν; — Κανκληΐαν) SG. Junt. Κανελίαν. — l. 21. ἁγνεία) huic lectioni suffragantur codd. Florent. & Bibl. S. Germani in Pratis.

p. 170. l. ult. οἰκίαν) SG. οἰκείαν.

p. 172. not. 7. non ἐγίνετο, sed ἐγένετο.

p. 173. l. 15. Πῖκον) SG. Πῖκνον.

p. 175. l. 21. ὥσπερ) V. ὡς. — not. 3. add. Vulgo legitur ἐνεμίξατο.

p. 176. not. 4. in ed. Frft. cat. var. συνηνεγκών.

p. 177. l. 6. ἔχοντος) SG. ἔχοντος ἡμέρας. — l. 8. Φιβρεαρίῳ) SG. Φευρεαρίῳ, sic & infra. — l. 9. Μερκιδῖνον) Lapus Μερκηδῖνον videtur legisse. Ita habet SG. — In vita Cæsaris vocatur Μερκηδόνιος. — l. antepen. Ἀκαρνᾶνες) SG. Ἀκαρνᾶνες.

p. 178. l. ult. γλῶσσα) SG. γλῶττα; Id. paulo post Ἑρμεῖ pro Ἑρμῇ.

p. 179. l. 4. Μαΐωρης) SG. Μαΐωρεις. — l. ult. Ἰανὸς) ita SG. Vulgo Ἰαννός.

p. 180. l. 14. Μάρκε) Alii C. Atilium Bulbum vocant; & alibi Plutarchus ipse Γαΐε Ἀτιλίε καὶ Τίτε ὑπάτων. — l. 17. τεσσαράκοντα) SG. τετταράκοντα.

p. 182. l. penult. Καλπερνίες) V. Καλπωνίες.

p. 183. l. 14. Τύλλον) V. μετὰ Τυλτελίωνος Τύλλιον. — l. 14. 15. Ὀσίλλιον) SG. Ὀσίλιον, sic infra.

Pag. 186. lin. ult. ἀπέδωκε) SG. ἀπέδωκεν.

p. 187. l. 2. ἐποίησε) SG. ἐποίησεν. — not. 7. add. deest partic. γὰρ a Vulc & SG.

p. 189. l. 6. Λυκέργειας) SG. Λυκέργιος. — — βαναύσοι) V. βαναύσας.

p. 192. l. 1. Ἴβυκος) V. Ἴυνκος. — l. 16. ὑπὸ) SG. ἀπὸ.

p. 193. l. 8. Καρβίλιος) V. Καρβίνιος. SG. Junt. Καρβίλιος. — l. 11. Ταρκυνίε) SG Γετανίαν Ταρκυνίνιε.

p. 195. l. 17. Ῥώμη) SG. ἡ Ῥώμη προῆλθεν.

p. 196. l. 14. Ἐξηκεστίδε) Lapus divise vertit ex Eceftide. Tota quoque periodus de amoribus Solonis & Pisistrati ab eo est omissa.

p. 205. not. 1. lect. var. παρατετάχθαι V. A. — additum est in Cat. var. lect. ed. Frft. — vel πεπεῖσθαι. A.

p. 207. l. 6. ἐς) Ita V. ex Cat. var. lect. ed. Frft. — Vulgo εἰς.

p. 209. l. 2. Ἰωνίαν) B. 1. 2. 3. Ἰαονίαν.

p. 210. l. 11. Φλυέως) B. 1. 2. Junt. Φυλέως. Lapus vitiose *Phliei* F. — nec non Amiotus *Phliasium*, quasi a Phliunte Achajæ oppido, vertit, cum Φλυεῖς curia est Cecropidis tribus apud Athenienses. Xyl. — l. penult. Βάλτης) Suidas Βλάστας.

p. 211. l. 19. θαλλὸν) Ita B. 3. Vulgo simplici cum λ.

p. 212. l. 3. Διακρίων) V. Διακριέων. Herodot. eandem rem narrans Ὑπερακρίες vocat. Idem Pediæos (ita vult Xyl. — Πεδιαίων, non Πεδιέων) τὰς ἐκ τῶ πεδίε, quasi Campestres, Suid. Πεδιασίες; Aristot. Πεδιακὲς.

p. 213. not. 3. lege: dedit. Vulgo ἀρέσκειν.

p. 214. l. 16. καὶ) deest B. 1. 2. 3. Junt.

p. 215. l. 4. αὐτὸς) ita etiam V. pro vulg. ἀσκός. — l. 10. ἐπήγαγεν) V. ἐπανήγαγεν.

p. 232. l. 21. Σόλων) Anon. Σολίων. — l. penult. χρόνον) Edit. Frft. χρόνος. In var. lect. χρόνον. V.

p. 241. l. 4. Ὀλυμπιεῖον) Fl. Ὀλύμπιον. Ita & Plut. in Nicia; & Strabo l. IX. — l. 9. Ἐρέσιος) Vulgo Ἐφέσιος. — l. 20. Οὐαλέριος) Anon. Οὐαλέριος Λεβῖνος.

p. 248. l. 8. Οὐαλέριε) Anon. Οὐόλεσε Τιβέριε. Posterius ὦ abest a Junt. & Ald. — l. 9. 10. ἐρωτηθέντες) desunt τρὶς ἐρωτηθ. B. 1.

p. 249. l. 6. ἀνεθάῤῥησαν) V. ἀνεθάρσησαν.

p 251 l. 25. Οὔρσον) Anon. Ἄρσιον. Livio, Arsia sylva.

p 252. l. penult. Μαρτίε) V. Μαρτίων.

p. 253. l. antep. Οὐαλίαν) V. Οὐιτελλίαν. B. 1. 2. 3. Οὐιτελλίαν.

Pag. 254. lin. 16. πόπλικοι) V. Anon. Οὔῖκαι πόκαι vel Οὐϊκασπόκαι. Item B. 1. 2. 3. & Junt. — Vulgata ex Aldina in libros excufos immigravit. Livius, Vicæ potæ; Lapus, Vicas pofcas.

p. 257. l. 10. Ὡράτιος) Anon. Ὁράτιος, fic alibi quoque fcribi oportuit.

p. 259. l. 9. Μεταγειτνιῶνος) Junt. Ald. Μεταγειτνιῶντος.

p. 261. l. 15. Κλάραν) Fl. Λάραν, quod probat Dacer. & Br. — Livius vocat Lartem Porfennam. Anon. Λάρτην. Aldina prima dedit vulgatam. Pro Πορσήναν dant B. 1. 2. 3. Junt. Ald. conftanter Πορσίναν.

p. 267. l. 1. Σιγλιαρίαν) Anon. Σιγγίαν, quod fcribendum fuiffe fufpicatus eft Xyl. — l. 17. Λακρήτιος) Ex Livio & Dionyfio Br. & Xyl. corrigendum cenfuerunt Λάρτιος.

p. 264. l. 14. Σάνδωνος) Ita Perizonius ad Aelian. legit. Athenodorus nempe fuit Tarfenfis Sandonis filius. Vulgo ὁ Σάνδων. — l. 27. Τυῤῥηνίδος) Junt. perperam τυραννίδος. Ald. recte Τυῤῥηνίδος.

p. 266. l. 3. Παλάτιον) Junt. Ald. Παλάντιον. — l. 24. Παλατίῳ) B. 1. 2 3. Junt. Ald. ἐν τοῖς Παλατίοις.

p. 269 l. 2. Ἀνίηνα) B. 1. 2. 3. Junt. Ald. Ἀνίωνα. — l. 7. Κλαυδίων) Iidem Κλαυσίων.

p. 272. l. 10. Οὐαλέριοι) Xyl. legi voluit καὶ ἄλλοι Οὐαλέριοι: cum Valerii gentis fit nomen, neque inter familiarum cognomina reponi poffit. — l. 21. ποιήσαιμι) Stobæus habet καλλείποιμι, quod rectius effe judicat Davifius ad Tufc. Difp. ut Ciceronis verfio oftendit, linquamus amicis.

p. 278. l. 4. Λυκομηδῶν) Meurfius in Attic. lect. hic & infra legit Λυκομιδῶν.

p. 280. l. 18. Τηΐῳ) Omnes Bodl. Fl. & Ald. fcribunt Τίῳ, perperam, ut Xyl. obfervat. In Ariftide Stefileos hic appellatur ex eodem Ariftone Κεῖος. Utrum rectius hic, an ibi, legatur, difficile eft pronunciare.

p. 283. l. 24. Κεῖον) Ita fcribi voluit Xyl. Vulgo Χῖον. B. 2. 3. Flor. & Ald. Κῖον.

p. 284. l. penult. Χάλεων) Ita B. 2. 3. Vulgo Χίλεον.

p. 285. l 11. Ἀρτεμίσιον) B. 3. Ἄρτεμιν.

p. 286. l. 18. Φανίας) B. 3. Φαννίας.

p. 290 l 6. Γοργόνειον) V. Γοργόνιον, ex Cat. v. l. ed. Frft.

p. 293. l. 15. Σίκινον) Junt. Σίκκινον, & ftatim poft Σίκκινος. Etiam B. 3. Σίκκινος. Vix credit Dacer. Themiftoclem liberis fuis Perfam præficere voluiffe, & hoc Plutarchum ifto

 loco

loco Herodoti male lecto deceptum referre censet: πέμπει ἐς τὸ στρατόπεδον τὸ Μήδων ἄνδρα, legebat nempe, τῶν Μήδων ἄνδρα, quendam ex Medis.

Pag. 295. lin. 6. Σανδαύκης) Teste H. Steph. in quodam exemplari est Σανδάκης (& ita V.) item Ἀρταΰκτης, (sic. B. 3.) quod apud Herodotum Persæ cujusdam est nomen. — l. 27. πλῆθος) Aeschylus in Persis v. 342. habet: ὧν ἦγε τὸ πλῆθος.

p. 298. not. 2. lege: προσκατασκευάσαντες.

p. 306 l. 10. Λεωβότης) V. Λεοβότης.

p. 311. l. 21. Ἀρτάβανε) V. Ἀρτάβαν.

p. 317. l. penult. Νικομήδης) Teste H. Steph. legitur etiam Νικόδημος, & Νεομάχην pro Νικομάχην. Νεομάχην habet V.

p. 318. l. 9. Νεοκλέα) B. 3. Νικοκλέα. — l. 14. Ἄλκιμον) dubitat Xyl. de hoc nomine, eique videtur monumentum cujusdam Alcimi, forte herois, indicare. Meursius corrigit Ἄλιμον, cujus loci meminit & Pausanias, & Stephanus de urbibus.

p. 319. l. 1. Φουρίου) B. 3. Ald. Φρουρίου.

p. 320. l. 1. Αἰκανοὺς) Anon. Αἰκούς. — — δικτάτωρι) Anon. δίκτωρι. Dele num. 1. post h. v. in textu. — l. 15. Οὐεντανοὺς) Anon. Οὐαεντανοὺς; B. 3. Οὐετανούς.

p. 324. l. 14. Ματούταν) Ita V. — In edit. Frft. Ματοῦτα.

p. 326. l. 17. Λίκιος) V. e Junt. Λιλκίος.

p. 327. not. 4. add. quod Br. elegantius videtur.

p. 337. l. penult. Κλουσῖνοι) B. 3. Κλούσιοι.

p. 341. not. 1. lege κολακεύοντος.)

p. 342. l. 6. Λεύκτρα) B. 3. Λεῦκτραν.

p. 347. l. 16. Μάρκος) Junt. & Ald. Μάρκιος. — l. 27. Μανίῳ) V. Μάρκῳ B. 3. Junt. & Ald. Μαρίῳ.

p. 350. l. 6. Ἀλίᾳ) V. B. 3. Ἀλβανίᾳ.

p. 357. l. 1. Γαβινίαν) Ita Anon. & Xyl. Vulgo Σαβινίαν.

p. 361. l. 16. Αἰκανῶν) V. Αἰκύων.

p. 362. l. 6. Τουτούλαν) In Romulo dicta fuit *Tutola*. In Macrobianis libris Tutela etiam legitur. — l. 6. 7. Φιλωτίδα) B. 3. Φιλωτίδαν.

p. 365. l. 7. Αἰκανῶν) V. Αἰκύνων.

p. 369. l 24. Σατρίαν) Xylander habet *Satricam coloniam*: annotatque: Sic est constanter apud Livium: hic Σουτρίαν est inculcatum ex superioribus (ita & hic B. 3.) Ego Livium sequi, quam mendum ab interpretibus retentum, malui.

p. 374. l. 6. Ἀνίηνα) B. 3. Ἀνιῶνα; Junt. Ald. Ἀνίωνα.

p. 377. l. ult. Αἰμίλιος) Xylander habet *Aemilius Mamercinus*, anno-

annotans, ita legi ex Livio (is L. prænomen addit) & iis, quæ in Numa de Mamerco & Mamercino habentur. Pro Sextio Junt. & Ald. vitiose Sextum nominant.

Pag. 380. lin. 11. Φιλήμων) Br. adnotat: Si codd. faverent, libenter legerem Φιλητᾶς: Poëta Cous, qui & ætate & scribendi genere ad Anacreontem & Archilochum, quibuscum hic jungitur, magis accedit. — not. 1. lege ψάλλοντα.

p. 393. l. 6. Ταναγρικῆ) Br. mavult Ταναγραϊκῆ.

p. 405. l. 4. Μαλιέα) Ita V. Anon. B. 3. Vulgo Μαλέα.

p. 409. l. 17. Ἑστιαιεῖς) B. 3. Junt. Ald. Ἑστιεῖς.

p. 411. l. 11. Πυρωνίδην) Anon. Μυρωνίδην, quale nomen Xyl. probat.

p. 415. l. penult. Ἀρχιλόχου) V. Ἀρχιλάου.

p. 418. l. 2. Πολυάρκη) V. Πολυάλκη. — l. antepen. μεθυσοκότταβοι) B. 3. μεθυσσοκότταβοι.

p. 432. l. 8. ποιήμασι) Teste H. Steph. etiam scriptum est μυθεύμασι.

p. 433. l. 16. Ῥέλλου) Vulgo Ῥυλάου. Anon. Ῥυλλοιανοῦ.

p. 434. l. 11. βίβαιον) B. 3. βίαιον. — l. antep. Λιγύων) V. Λιγύρων. B. 3. & Junt. Λιβύων.

p. 436. l. 8. Κάμιλλος) Ita reposuit H. Steph. pro Καλλίμαχος, quod est in Junt. & Ald.

p. 437. l. 1. Τρεβίου) Anon. Θρασυμένης. — l. 24. Λεύκιον) Marcum vocant Polybius, Livius & Plinius; etiam V. & Anon. dant Μάρκον.

p. 441. l. 26. Λοθρένος) Br. adnotat: Sub hac voce latere videtur verum nomen fluvii, scil. Vulturnus; quod glossator aliquis sequenti clausula explanavit: ὃν Οὐατουράνον οἱ Ῥωμαῖοι καλοῦσιν: ubi etiam nomen ipsum pari fato mendosum ad nos pervenit. Sed viderunt omnes Οὐουλτοῦρνον reponendum esse. — Anon. Οὐλτοῦρνος, ὃν Οὐουλτοῦρνον.

p. 444. l. 19. Μετιλίου) Interpp. Metellum ex Livianis libris supposuerunt. Anon. Μετίλλου. Xyl. laudat Sigonium, quod Metilium legi debere monuerit.

p. 459. l. 18. Βάρκαν) Livius habet *Mabarbalem.* Cruser.

p. 461. l. 10. Πίκτωρ) V. e Junt. Πιάτωρ.

p. 462. l. 9. ἀποβάλλοντα) V. ἀποβαλόντα.

p. 466. l. 10. Βρεττίαν) V. Βρεττανίαν.

p. 468. l. 14. 15. Μάρκος Λίβιος) Junt. dat Μάρκιος. Pro Λίβιος, quod dat Anon. olim vitiose legebatur Λεύκιος. V. Λικούιος.

p. 472. not. 2. lege κατεθαμβημένος.

p. 474. l. ult Φούλβιον) Ita exhibet Anon. — Olim male Φούριον.

# ANNOTATIONES VARIAE

## ILLVSTRATIONI PLVRIVM LOCORVM, PLVT. T. I. OBVIORVM, INSERVIENTES.

---

## *Thefeus.*

Cum poft infcriptionem hujus vitæ B. 1. 2. addant καὶ Ῥώμυλος Παράλληλον πρῶτον, Bryanus obfervat, non recte dici πρῶτον, quia Plutarchus non primas has fcripferit Vitas, uti ex pluribus ejus locis patet. Subjungit idem, Plutarchum in Vitis conficiendis nullum fervaffe accuratum ordinem, nullam faltem temporum rationem habuiffe, fed potius prout per otium liceret, vel collectanea fua fuppeditarent, vel amici, præfertim Senecio, rogarent, hujus vel illius viri, Græci vel Romani, facta celebraffe, atque has Vitarum, quafi bigas, modo βιβλία, modo λόγυς infcripfiffe. Quod ad Thefei ætatem attinet, Xylander ex pluribus rationibus colligit, eum annis circiter CCCCL ante Romam conditam floruiffe.

Pag. 1. lin. 3. ἐνίοις. in nota 2. lege: Vulcob. & quidam &c. — Xyl. vertit ac fi ἐνίοτε fcriptum effet: *aliquando* adfcribere folent. Cruferius vertit, ac fi legiffet ἐνιαχῦ: in margine *alicubi* adnotant. Gallicus interpres fecutus eft illam ex vet. cod. petitam lectionem αἰτίαις. Utraque lectio, judice Stephano, ftare poteft. Sed retinendo ἐνίοις reftringetur, quod alioqui generaliter dictum videri poffet, legendo αἰτίαις.

— 1. — 5. πηλὸς ἀϊδνής) H Steph. adnotat, ita habere vett. codd. at Hefychium πηλὸς αἰδνός, & certi cujusdam loci appellationem effe velle. Bryano hæc vocabula ex poëta quodam defumta videntur, & verfum claudere. Nifi tamen Hefychius obftaret, legeret hic ἀειδής. Xyl. vertit: *cænove obfita*, tanquam ad θῖνας ἀνύδρυς referat. Crufer. *infuperabilem limum.*

— 1. — 6. περὶ) R. fufp. παρὰ in confcribendis verfanti mihi vitis inter fe comparatis excellentium virorum.

— 1. not. 3 loco Junt. lege Flor.

— 5. — 8. Ἄβαντας) cf. Paufan. Attic. de more comam deo nuncupandi & confecrandi: Τὸ δὲ ἕτερον ἀνάθημα κειρομένυ τὴν κόμην παιδὸς οἱ ἐπὶ τῷ Κηφισσῷ. καθεστάναι δὲ ἐκ παλαιῦ καὶ τοῖς πᾶσι τῦτο Ἕλλησι, τῇ Ὁμήρυ τις ἂν τεκμαίροιτο ποιήσει, ὃς τὸν Πηλέα εὔξασθαί φησι τῷ Σπερχειῷ κερεῖν

ριν ἀνασωθέντος ἐκ Τροίας Ἀχιλλέως τὴν κόμην. Quomodo hi Abantes, Euboeæ incolæ, ab Arabibus vel Myfis, quibuscum nulla tunc exercuerunt commercia, hunc tonfuræ morem difcere potuerint, quærit Dacerius. Bryanus vero quoad Arabas bene folvit hanc difficultatem per Strabonem L. 10. ubi recenfentur inter veteres incolas Infulæ καὶ Ἄραβες οἱ Κάδμῳ συνδιαβάντες.

Pag. 8. lin. 11. μετ' αὐτῶ) H. Steph. — „Eft μετ' αὐτῶ pro μεθ' αὐτῶ accipiendum: nifi potius ita fit fcribendum."

— 12. — 2. μάχαιραν) Xyl. Lapum reprehendit, quod verterit *gladium*. Ipfe vertit *cultrum*, ex ufu vocis, quam vult obfervaffe in Homero aliisque.

— — — 8. Δελφινίῳ) Delphinium templum Athenis erat, Apollini dedicatum. Suidas, & mox ipfe Plutarchus Apollinis Delphinii meminit, & Euftath in Φ. Iliad. δικαστήριον fuiffe Athenis eo nomine fcribit, ubi de cædibus judicaretur. *Xyl.*

— 26. — 23. θεωρίδος νεὼς) Eft Theoris navis publica Athenienfium, ut Paralus, ut Salaminia Hanc autem quotannis folebant Delphos mittere, ex voto Thefei, qui ea in Cretam vectus revectusque fuerat: eaque miffa, dum rediret, quafi juftitium Athenis erat. Ex hoc loco patet, hanc navim non Delphos modo, fed & alio publice ad fpectacula & facrificia mitti confueviffe. *Xyl.*

## *Romulus.*

Pag. 72. lin. 10. ἡ κλειδῶν ὑποβολῆ.) De loco, qui proxime ad leges moresque prifcarum gentium fpectat, de ejus fenfu, interpretatione, integritate & auctoritate ulterius meditari, haud abs re alienum puto. Legem potius, ab editore fcriptoris cujusdam fanctiffime obfervandam cenfeo, ut omni, quæ & quanta penes ipfum eft, adhibita opera, non folum in vocibus fingulis & more loquendi, quo fcriptor utitur, fed & præcipue in rebus ipfis intelligentiam lectoris adjuvet dirigatque. Sermo nunc eft hoc loco de legibus Romuli, quibus ipfi placuit, divortium concedere, a muliere faciendum. De duabus caufis, nimirum *veneficio*, five mavis in genere, ut textus Reiskii eft explicandus, five nominatim veneficio circa prolem, uti eft in lectione vulgata; nec non de *adulterio* — fane non eft, quod dubites. At quod ad eam, quam inter utramque interpofitam legis, cau-

ſam ſpectat, *clavium ſuppoſitionem vel falſationem*, certo ſcio, quemcunque lectorem in illa eſſe hæſitaturum. Varietatem lectionis, ſive conjecturas eruditorum nolo h. l. repetere. Probandum mihi videtur, quod R. cum Bryano poſt Φαρμακείας diſtinxerit. Si retineas τέκνων, conjectura Xylandri, κλειδῶν rejicientis, & παίδων ſubſtituentis, vix cuiquam placebit. Hac voce παίδων ſtante & recepta, vox τέκνων prorſus abundans videbitur & delenda. At cum Xyl. non adduci poſſum, ut vocem κλειδῶν genuinam veramque judicem. Sunt quidem jurisperiti, quorum ſententia cum textu Reisk. prorſus convenit. Loco omnium nomino *Heinecc. Antiqq. rom. ſynt.* App. l. 1. c. 1. 44. „Divortium maritis quidem „permiſerat Romulus, at non uxoribus, ut tradit Plutarch. „vit. Rom. Sed nec illis quidem, eodem teſte Plutarcho, „ſine cauſa ſontica licebat uxoribus mittere nuncium, verum „ſi conſtaret, eas aut ſtuprum paſſas, aut *venenum paraſſe*, „*aut liberos clavesve ſubjeciſſe.*“ Alii ſunt, qui lectioni vulgatæ adhærent, ex. gr. *Calvini* Lex. jurid. in voce *divortium.* Sed quis, quæſo, hanc vel iſtam lectionem, quæ ſubjectionem vel falſationem clavium cauſis divortii ex mente Romuli legitimis annumerat, probet, quem ex antiquitatibus romanis haud fugit, *mulieri domum intranti mariti*, tanquam dominii in familiam argumentum, *claves fuiſſe traditas, & divertenti ademtas.* Conf. Ros. Antiqq. rom. p. 439. Conſentit ipſe Heinecc. l. c. par. 48. „Quemadmodum „novæ nuptæ, ingreſſæ domum mariti, claves in ſignum „communicati cum ea dominii tradebantur — ita clavibus „ademtis dirimebantur connubia.“ Quod ſi ita eſt, equidem ſane non video, cur mulieri unquam opus fuerit, ut de clavibus cogitaret ſubjiciendis aut falſandis. Aliis quidem interpp. alio modo rem expedire, textumque receptum tueri placet. Teſte nimirum Plinio non licebat fœminis Romæ vinum bibere. Refert idem l. 14. c. 13. „Invenimus inter „exempla, Egnatii Mecennii uxorem, quod vinum bibiſſet „e dolio, interfectam fuſte a marito, eumque cædis a Romu„mulo abſolutum. Fabius Pictor in annalibus ſuis ſcripſit: „Matronam quod loculos, in quibus erant claves vinariæ „cellæ, reſignaviſſet; a ſuis inedia mori coactam. Cato, „ideo propinquos fœminis oſculum dare, ut ſcirent, an „temetum olerent. Hoc tum nomen vino erat, unde & te„mulentia appellata. Cn. Domitius judex pronunciavit, mu„lierem videri plus vini bibiſſe, quam valetudinis cauſa vi-

„ro

„ro insciente, & dote multavit.“ Cf. A. Gell. noct. Att. L. 10. c. 23. Dion. Halic. l. 2.|Tertull. Apol. c. 6. Hinc colligunt eruditi, caussis divortii, Romuli lege sancitis, annumerandam esse temulentiam, & Plutarchi locum, eo referendum, in specie intelligendum esse de suppositione clavium vinariæ cellæ, quæ solæ semper in potestate viri manserint, nec cum reliquis clavibus mulieri sint traditæ. Hoc est, quod *Schirach* ad h. Plut. locum in defendendo textu recepto sentit, at minus apte ad rei ipsius veritatem exprimit. „Die Schlüssel waren bey den Römern so sehr unter der Herrschaft des Mannes, dass eine Frau nicht einmal ungestraft Wein trinken konnte.“ Omnia quidem in hac re lubentissime concedo, quidquid est concedendum Sed ex altera parte, cui vero simile videtur, per κλειδῶν ὑποβολὴν Plutarchum suo lectori temulentiam mulieris, aut suppositionem clavium cellæ vinariæ indicare voluisse & potuisse? Quis lectorum huncce sensum ex ejus sermone eruere unquam valebit? Quid ergo in hoc loco Plutarchi agendum? Liceat mihi proferre, quæ sentire audeam. Equidem vocem κλειδῶν aut prorsus falsam existimo, rejiciendam, & cum Xylandro per vocem παίδων emendandam, ita ordinans locum: Φαρμακείᾳ, ἢ παίδων ὑποβολῇ: — aut locutio Plutarchi est manca, &, si mavis, ut sensus plenus, historiæque & antiquitatibus conveniens in ea deprehendatur, inserenda voce οἴνου supplenda, Φαρμ. ἢ οἴνου κλειδῶν ὑποβ. — Rosinus in recensendis divortii caussis sequitur Xylandrum: „Si veneficium „circa prolem usa fuisset, aut alienam pro sua subdidisset, „aut adulterium commisisset.“ *Kindium*, ita vertentem: Wenn sie die Kinder mit Gift vergeben, oder von Andern Kinder gebohren, und die Ehe gebrochen hat — omni jure *Schirach* reprehendit.

Pag. 90. lin. 23. ἔτεσι τριάκοντα καὶ διακοσίοις) Xyl. ad hæc: Quid de hoc numero statuam, ambigo, nisi forte dissensisse ab aliis plerisque auctoribus Plutarchus est putandus, in re ita illustri atque insigni. — Dion. Halic. l. 2. ait hoc factum Olympiade 137. M. Pomponio, C. Papirio Coss. id est V. C. anno DXXIII. — Tertullianus affirmat, sexcentis prope post Romam conditam annis Sp. Catullium cum uxore divortium fecisse. Certe trecentis prope annis ab aliis Plutarchi numerus distat. *Cruser.* annotat, Valer. Maximum habere viginti & quingentis.

Ex

c. 25.

Ex *Johannis Rualdi Animadversionibus* ad insigniora σφάλματα, sive Lapsiones in Vit. Parall. Plut. paucis ea, quæ ad Romuli Vitam pertinent, excerpenda duxi:

1) Reprehendit Plutarchum ratione temporis, quo Romulus fuerit conceptus: pag. 54. Ex testimoniis summorum scriptorum patere dicit, Romulum urbis jecisse fundamenta anno ætatis suæ duodevicesimo, primo VII. Olympiadis; hinc sequi evidentissime, natum non esse ante annum tertium secundæ Olympiadis, nec proinde conceptum ante annum secundæ ejusdem Olympiadis. Item demonstrat, anno, quem Plutarch. allegat, nullam omnino contigisse Eclipsin.

2) ad §. 20. pag. 67. animadvertit Rualdus — αἱ λεγεῶνες ἐγένοντο πεζῶν ἑξακισχιλίων, ἱππέων δὲ ἑξακοσίων — geminum Plutarchi ἁμάρτημα. Unum est, quod tametsi numerus equitum cuique legioni attributus multoties variaverit, adeo ut nonnunquam ducenarius, interdum quadringenarius, sæpe trecenarius fuisse reperiatur: sexcenos tamen equites in unam legionem esse constitutos vel florentissimis Reip. Rom. temporibus, apud nullum idoneum auctorem Græcum, Latinum, quisquam reperire queat; tantum abest, ut hoc uni soli Plutarcho de primis & nascentis urbis Romæ temporibus referenti accredere debeamus. Alterum est, quod non nisi multis post Romulum seculis factam senum millium peditum legionem constat: Etsi quando id primum placuerit, ita varie narrant auctores, ut convenire pax inter illos non possit. Hæc ad Plutarchi locum adnotasse, sufficiat. De reliquis, quæ Rualdus ad explicandam Romanorum rem militarem prolixius commentatur, lector ut eum ipsum accedat, rogo.

3) In fine vitæ Romuli, ad verba: λέγεται δὲ Ῥωμύλος τέσσαρα μὲν ἔτη καὶ πεντήκοντα γεγονὼς, ὄγδοον δὲ βασιλεύων ἐκεῖνο καὶ τριακοστὸν, ἐξ ἀνθρώπων ἀφανισθῆναι, Rualdo Plutarchus in utroque numero diverse labi videtur. Nam T. Livius, & Dionysius Halic. qui uni omnium veterum diligentissime rem Romanam investigarunt, ætatem Romuli anno longiorem, & regnum anno brevius constituerunt.

## *Lycurgus.*

Pag. 95. lin. 15. πρὸς τὴν αὔξησιν ὄντι νέῳ πειρώμενον ἐνίστασθαι. coll. not. 5. Constat, alios esse, ex. gr. *Cruserium* & *Amiotum*, qui verba hæc ad Lycurgum referant. Hos jam sequitur *Schirach*, conjecturæ Reisk. in voce ὄντι non adsen-

adſentiens, affirmansque, Lycurgum adhuc tum temporis dici potuiſſe νέον, quaſi virum, nondum ætate provectum. At ne dicam de uſu loquendi, cui hæc interpretatio, me judice, nonniſi ægre reſpondet; ſententia potius Plutarchi per eam mihi prorſus frigida videtur. Alii ſunt, qui verba ὄντι νέῳ de Charilao dicta volunt. Ita *Lupus* & *Kind.* Nemo tamen facile erit, qui hujus verſionem: bey zunehmenden Jahren des Prinzen, probet, textu recepto non indigitatam. Dacerius prorſus omittit vocem νέῳ. In hac diverſitate, interpretandique haud neganda difficultate vix, quid ipſe ſentiam, proferre audeo. Si in textu recepto hærendum; verba ὄντι νέῳ ad Charilaum refero, eaque æſtimo quaſi valere: während der Minderjährigkeit. Si quid mutandum, fateor, vocem νέῳ mihi maxime ſuſpectam videri. Quid? ſi legere placeret: πρὸς τὴν αὔξησιν νεύοντι, ad incrementum tendenti? aut, τὰ ὄντα νεῦντι, rerum ſtatum mutanti? At quid commendem, in quo ipſe non ſatis acquieſco, mutandi licentiam omni modo cohibendam cenſens.

## *Numa.*

Pag. 145. lin. 4. 5. λεγομένα δ' ἦν, ὡς Νεμᾶς γένοιτο Πυθαγόρᾳ συνήθης. Hoc, aliisque locis clare innuit Plutarchus, ſe ambigere quidem ſuper ætate Pythagoræ, inclinare tamen adhuc magis in eorum opinionem, qui Numæ atque Pythagoræ συγχρονισμὸν & familiaritatem aſſeruerunt. Xylander Rualdusque ex pluribus teſtimoniis, diligenter collatis, Dionyſii, Ciceronis, Laërtii, Gellii, Euſebii, Strabonis, Luciani, demonſtrant, Pythagoram philoſophum permultis annis Numa poſteriorem fuiſſe, Servio, Tarquinio, Bruto æqualem.

— 147. — penult. & ult. ἐξ μὲν ὥρας τῆς νυκτὸς, ἐξ δὲ τῆς ἡμέρας Κυρίνῳ καὶ Τατίῳ. *Schirach* in hujus loci verſione ſequitur Salmaſium: „Daſs ein jeder von ihnen, nach der Reihe, die königlichen Ehrenzeichen annehmen, und ſechs Stunden des Tages, ſechs Stunden des Nachts die oberſte Gewalt in allen Sachen der Religion und des Staats haben ſollte. Dieſe Eintheilung der Zeit ſchien den Patriciern für beide Parthien eine gute Gleichheit zu haben." Idem in nota hæc ſubjungit: „Ich folge der Lesart des Salmaſius, welcher Κυρίνῳ wegſtreicht. Die Emendation des Auratus κύριον ὄντα pro κυρίνῳ dünkt mir ganz wider die Schreibart des Plutarchs zu ſeyn, und iſt dazu eine unnöthige

thige Erklärung des Vorhergehenden: Ich wundere mich, dafs fie Amiot, Dacier und Meziriac angenommen haben. Lapus fezt zu Κυρίνῳ noch hinzu καὶ Τατίῳ, und Bryanus pflichtet diefer Lesart bey, ohne gehörige Beweife anzuführen; denn was er von dem nachfolgenden Worte ἑκατέρα fagt, beweist nichts, und ἑκατέρα kann nicht wohl auf den Romulus und Tacitus gezogen werden.“ His non obftantibus, quæ *Schiracho*, pariter nullo ulteriori argumento Bryanum refutaturo, placent, hunc fequi malo. Neutiquam in vocibus ἑκατέρα πρὸς ἰσότητα καλῶς ἔχειν ἐδόκει τοῖς ἄρχουσι, eum fenfum invenio, quem Schir. illis affingit. Aptius, ut mihi videtur, ἑκατ. πρ. ἰσότ. referes ad reges, quorum perfonam fuftinere voluerunt fenatores, omnem fufpicionem regiæ auctoritatis, fibi ipfis vindicatæ, evitaturi. Eorum omnino fuit prudentiæ, cavere, ne divifio Romanos inter Sabinosque oriretur. Quid ergo commodius, quam curare, ut imperium fub utriusque gentis regum, Romuli & Tatii, aufpiciis exerceretur? De *Kindii* verfione lector ipfe judicet: dafs von ihnen einer nach dem andern unterdeffen, und zwar fechs Stunden des Nachts anftatt des Romulus, und fechs Stunden des Tags anftatt des Tatius, die königlichen Ehrenzeichen haben, die gewöhnlichen Opfer bringen, das Recht fprechen, und überhaupt Herr und König feyn follte. Diefe Eintheilung der Zeit, fo lange nehmlich ihre Herrfchaft währen follte, fchien fowohl in Anfehung der Rathsherrn ihrer Gleichheit wegen, als auch in Anfehung des Volks, wohl ausgedacht zu feyn.

Pag. 164. lin. 8. τιμὰς δὲ μεγάλας ἀπέδωκεν αὐταῖς &c. Bis aut ter Plutarchum fua opinione falfum, animadvertit ad h. l. Rualdus. „Primo quod jus trium liberorum a Numa vult conceffum Veftalibus, quod Auguftus nonnifi ferme DCC poft Numæ interitum annis omnium primus cum iis tandem communicavit. Deinde, non a Numa lictoris honorem eædem virgines habuerunt, fed ab Octavio Cæfare, M. Antonio, & M. Lepido, triumviris, tefte Dione l. 47. A. V. C. 712. — Non denique Plutarcho damus, oportuiffe jurare Veftalem facerdotem, cafu fe, non confilio, factam obviam reo, qui ad fupplicium ducebatur. Nam facerdotii honore ei vel injuratæ credebatur, & ad jusjurandum ipfam adigere populus Romanus ducebat fummum nefas.“

ad §. 18. Plutarchique relationem de anno Romuleo hæc habet Rualdus: „Duo dicit (Plut.) & annum fub Romulo

fuiffe

fuisse dierum CCCLX & duodenos menses in ipsum annum sub eodem rege fuisse imputatos: ideo deerrat dupliciter. — In annum veterum Romanorum ante ordinationem Pompilianam denos solummodo menses, dies trecenos quaternos fuisse assignatos & docti sciunt, & testibus πολλοῖς κἀγαθοῖς adversus Plutarchum — pervincimus."

ad §. 20. ad ea, quæ Plut. de Jani templo, ter clauso profert, adnotat Rualdus: „Illud non recte ait Plutarchus, semel duntaxat Janum clusisse Augustum: non item illud recte, post Augustum ad sua vel Trajani tempora, clausam Jani portam a quoquam alio non fuisse. — Totidem alias ut minimum addere oportuit: duas ejusdem Augusti, Vespasiani unam, & Neronis fortassis unam aut plures."

## *Solon.*

Pag. 216. 217. §. 15. ἑκατὸν γὰρ ἐποίησε δραχμῶν τὴν μνᾶν — τὰς κομιζομένας. „Duo errores, ait Rualdus, alter exscriptoris s. librarii, alter Plutarchi. Plutarchi quidem, μηδὲν βλάπτεσθαι τὰς κομιζομένας, affirmantis. Nam etsi primo quidem aspectu, & in speciem creditores non lædi viderentur, quia drachmas eodem numero, qui syngrapha ferebatur, eademque qualitate sive puritate, nec non & extrinseca eadem bonitate, (ut artis vocabula usurpem) hoc est, eadem iudicatura vel æstimatione a debitoribus accipiebant: in hoc tamen fraudem sive damnum pati eos oportuit, quia pondus sive quantitas imminuta, levioresque, quam dederant, drachmæ iis restitutæ. Librarii, (nec enim Plutarcho tam crassum errorem facile adscripserim) minam veterem drachmarum ἑβδομήκοντα καὶ τριῶν fuisse scribentis. Auctor enim dixerat, aut certe dicere debuerat, ἑβδομήκοντα καὶ πέντε. Quam enim certum est, Atticam minam recentem, i. e. Soloninam, centenum fuisse drachmarum; veterem, & quæ ante Solonem in usu, quinas & septuagenas duntaxat habuisse, tam confessum exploratumque habemus. — Cæterum exscriptorem potius, quam Plutarchum, accusandum dixi, quia comperi, proclivem esse lapsum τὰ OE in OΓ. quibus notis Arithmeticis primum eam ab auctore summam expressam mihi sit credibile.

— 222. — 7. τοῖς Ἐφέταις) Virorum octoginta, quorum nullus quinquagenario minor esset, concilium fuit, qui Athenis in Palladio, Prytaneo, Delphinio & Phreatis de cæde judicabant,

dicabant. Sic dicti, quod ab his provocari non posset. Hæc fere Suidas. — *Xyl.*

## Themistocles.

Pag. 299. l. 4. ἀπὸ τȣ̃ βωμȣ̃.) — Mos Græcis fuit, præcipue Atheniensibus, ut jurandi causa ad aram accederent. Quod cum alias, tum ex historia Xenocratis patet, quem jurare prohibuerunt Athenienses, cum testimonium dixisset, & (ut mos Græcorum est) jurandi causa ad aras accederet. — *Xyl.* Guil. Canterus censebat ex Aristidis oratione quadam supplendum esse τȣ̃ Ποσειδῶνος; quod autem Bryano minus necessarium est visum, cum in Plut. Pericle eadem occurrat locutio ἀπὸ τȣ̃ βωμȣ̃ τὴν ψῆφον φέροντες, sine ulla mentione numinis, cujus ara fuerit.

— 305. — 15. ἐν Μελίτῃ) Locus est Athenis, quem Curia tribus Cecropidis, seu Oeneidis (hoc Stephanus habet, illud Suidas) habitabat. — *Xyl.*

## Camillus.

Præter ea, quæ Rualdus ad §. 13. de re nummaria, emendandoque loco Plutarchi (pag. 334. not. 3.) profert, duo præsertim observat contra Plutarchum, quod neque sit verisimile, Gallos solius vini amore illectos in Italiam demigrasse, §. 15. p. 336. ὀψὲ δ' οἴνȣ γευσάμενοι τότε πρῶτον ἐξ Ἰταλίας διακομισθέντος, ὥστε ἄρα θαυμάσαι τὸ πόμα: — neque verum, eosdem a Camillo Roma pulsos & cæsos, ut narrat Plutarchus, fin. §. 29. pag. 357. αὐτὰς τρέπεται πολλῷ φόνῳ — ἔκτεινον. „Credatne aliquis, ait Rualdus, qui non sit iniquo, vel exulcerato animo in Gallos, neque judicium accusatorum in reos pro aliquo præjudicio valere patiatur, gentem, quæ animosissima, & fortium facinorum appetentissima semper habita est, solius dulcedine vini allectam, primum in Italiæ Alpibus subjectam planitiem venisse, locaque plurima occupavisse: deinde vero victrices ejus legiones ab hoste fracto & consternato cæsas ad ultimam internecionem? Nam constat apud omnes Græcos & Latinos, nullius alterius gentis plures colonias in varias orbis terræ partes solius honoris ac belli gerendi desiderio expeditionem suscepisse: non alterius metu, quod ait in extremo Jugurtha, Crispus Sallustius, Italiam omnem æque contremuisse: Romanos

manos alia omnia virtuti prona credidisse, cum Gallis pro salute, non pro gloria, certare consuevisse; quos arma expedire quotiens Romæ nunciatum sit, repente e vestigio decretum tumultum, indictum justitium, itum ad saga, nullo adspectu beneficii, honoris, ætatis. — Adduco ego unum testem, sed gravissimum & locupletissimum, quibus esse debeat εἷς ἀντὶ μυρίων, si quidem ab ætate propius absuit, quam ullus alius, qui de hac re scripsit: neque aliquam pro Gallis adversus Romanos mentiendi causam habuit. — Is est Polybius, qui primo & altero volumine historiarum, clarissimis & indubitatis argumentis docet, Gallos Senones captam & incensam urbem Romanis suapte sponte tandem reddidisse, foedereque inito in suas sedes victores remigravisse, scilicet interveniente casu, qui domum eos revocabat, quod Veneti ipsorum fines cum infesto exercitu ingressi nunciabantur. — Sed vel ipsi contrariæ opinionis assertores, quasi conscientiæ stimulis agitati, mendacium tam manifestum affirmate tradere religioni habuerunt: eaque causa in famam, quæ mater fabularum est, suam illam narrationem retulerunt. Ita Liv. l. V. *traditur fama;* Plinius Hist. nat. l. XII. c. 1, *produnt;* ipse Plutarchus: λέγονται τὴν αὐτῶν ἀπολιπόντες &c. & mox: Ἄῤῥων λέγεται γενέσθαι &c." Hanc Rualdi sententiam *Palmerius* non solum sequitur, sed & ulterioribus argumentis, ex Polybio, Justino, Suetonio, ipsoque Livio desumtis, copiose probat & tuetur.

## *P e r i c l e s.*

Pag. 389. lin. 16. Θουκυδίδου τοῦ Μιλησίου) Palmerius ad hæc: „Nullus fuit Thucydides Mileto oriundus, quod sciam. Itaque repono non dubitans τοῦ Μελησίου. Thucydides ille Melesii filius fuit, qui Pericli in reip. Atheniensium administratione adversabatur, ut videre est apud Aristophanis Scholiasten in Acharnis."

— 390. — 18. θεωρικὰ) *Xylander*: „Sic dicebantur pecuniae, quæ Panathenaicis & Dionysiacis feriis populo ex aerario tribuebantur, ut spectare ludos conducto in theatro loco, & sacrificia obire, etiam tenuis fortunæ cives possent. Vide Suidam, Hesychium & Libanium in primam Olynthicam" —

— — l. ult. Οἴηθεν) Ita & legi voluit *Palmerius*: „Tres pagi, addit, sive demi fuerunt in Attica, quibus hoc adverbium convenire potest, Οἶον scilicet, Deceleicum dictum, Hippothoontidis tribus, Οἶον Ceramicum, Leontidis, & Οἴη, sive Ὄη, Pandionidis: quinam vero Demus ex his tribus fuerit Demonidis illius patria, incertum est. Putarem tamen, eum potius

tius fuisse natum ἐν Οἴῃ, in Oea Pandionidis tribus, de aliis enim magis dicitur ἐξ Οἴκ, quam Οἴηθεν."

Pag. 399. lin. 27. Ταῶνας ὑφιέναι ταῖς γυναιξίν.) Ad haec *Palmer.* „Vertunt omnes interpretes, pavones submittere vel subjicere. Sed ita vertendo nullus erit sensus commodus, & est sententia obscurissima. At ego minima mutatione ex his tenebris me expedio, & lego ταωνὰς retracto accentu in ultimam syllabam, ut sit ταωνῆ, pavonis spolium, cutis scilicet cum plumis. Nam ut dicitur λεοντῆ, leonis spolium cum jubis & pilis, ἀλωπεκῆ pellis vulpina, αἰγῆ, capræ exuvium, τραγῆ, παρδαλῆ, ἀρκτῆ, γυπῆ, λυκῆ, γαλεῆ; sic, ut credo. Plutarchus usurpavit ταωνὰς, ut significet ταώνων δορὰς, quæ scilicet ob colorum elegantiam & plumæ mollitiem subjiciebantur mulieribus loco stragulæ vestis. Nec mirum, si ea vox alibi non occurrit, nam & res ipsa omnino extraordinaria & rara. In re nova, & quæ nunquam forte alibi evenit, usus est Plutarchus voce rara, forte & ab ipso formata, sed analogiae usitatissimae."

— 420. — penult. εἰς τοὺς Πρυτάνεις) Senatus Atheniensis ex quingentis personis constabat. Decem enim erant Athenis tribus: ex his quinquaginta electi senatum quingentum virorum constituebant. Ex hoc senatu quinquaginta unius tribus (ut ordo ferebat) viri decimam anni lunaris partem omnia senatus munera obibant: hoc est per dies XXXV. tum alii, atque deinceps alii, decem, ut singulis annis per omnes tribus circumiret ea administratio, quum quidem quatuor reliqui dies (nam annus lunaris CCCLIV. diebus constabat) in quatuor tribus singuli distribuerentur. Et ii quinquaginta, quibus tum forte tempus illud administrationis obtigisset, Πρυτάνεις vocabantur. Hæc fere ex Suida. *Xyl.*

## *Fabius Maximus.*

Pag. 439. lin. 3. sqq. θέας δὲ μυσικὰς καὶ θυμελικὰς — καὶ δύο ὀβολοί.) In hoc loco explicando emendandoque eruditi multum laborarunt. Palmerii animadversio eo redit: plerosque viros magnos recte suspectum de mendo hunc Plutarchi locum habuisse, Budæum, Othomanum, Jos. Scaligerum; — Omne vitium uni Plutarcho totum esse adscribendum, qui Livii locum, l. XXII. male reddiderit, sestertiosque pro assibus inscite posuerit. Budaeus ita suspicabatur legendum: CCCXXXIII. millibus, CCCXXXIII assibus triente. Jos. Scaliger librarium incusavit, quod τὸ χιλιάδων hic desideretur. Xyl. non concedit, Plutarchum ex Livio sua descripsisse.

BIBLIOTEKA ELBLĄSKA
BIBLIOTEKA W TORUNIU UNIWERSYTECKA

92 [illegible]